JOSÉ DECLERCK / TOBIAS THUM

# DIE SCHRIFTEN DES JOHANNES VON DAMASKOS
VIII / 2

PATRISTISCHE TEXTE UND STUDIEN

IM AUFTRAG DER
PATRISTISCHEN KOMMISSION
DER AKADEMIEN DER WISSENSCHAFTEN
IN DER BUNDESREPUBLIK DEUTSCHLAND

HERAUSGEGEBEN VON

HANNS CHRISTOF BRENNECKE UND
EKKEHARD MÜHLENBERG

BAND 72

De Gruyter

# DIE SCHRIFTEN DES JOHANNES VON DAMASKOS

HERAUSGEGEBEN VON DER

BAYERISCHEN AKADEMIE DER WISSENSCHAFTEN

VIII / 2

Iohannis monachi (VII saeculo ineunte)
*Sacra*
olim Iohanni Damasceno attributa

Liber I. *De deo.*
Zweiter Halbband.
Z–X (I 1086–1852)

BESORGT VON

JOSÉ DECLERCK

UND

TOBIAS THUM

De Gruyter

Das Vorhaben *Die Schriften des Johannes von Damaskos* wird im Rahmen des Akademienprogramms von der Bundesrepublik Deutschland und vom Freistaat Bayern gefördert.

ISBN 978-3-11-138508-2
e-ISBN (PDF) 978-3-11-138600-3
ISSN 0553-4003

*Library of Congress Control Number:* 79490267

*Bibliografische Information der Deutschen Nationalbibliothek*
Die Deutsche Nationalbibliothek verzeichnet diese Publikation in der Deutschen Nationalbibliografie; detaillierte bibliografische Daten sind im Internet über http://dnb.dnb.de abrufbar.

© 2024 Walter de Gruyter GmbH, Berlin/Boston
Druck und Bindung: CPI books GmbH, Leck

www.degruyter.com

# Inhaltsverzeichnis

Sigel der Textzeugen ..... VIII

Abkürzungen in den Apparaten ..... IX

Στοιχεῖον Ζ ..... 701
Στοιχεῖον Η ..... 719
Στοιχεῖον Θ ..... 758
Στοιχεῖον Ι ..... 795
Στοιχεῖον Κ ..... 805
Στοιχεῖον Λ ..... 848
Στοιχεῖον Μ ..... 862
Στοιχεῖον (Ν) (Ξ) Ο ..... 873
Στοιχεῖον Π ..... 919
Στοιχεῖον (Ρ) Σ ..... 970
Στοιχεῖον (Τ) Υ ..... 984
Στοιχεῖον Φ ..... 994
Στοιχεῖον Χ ..... 1018

TEXTUS

# IOHANNIS MONACHI

# SACRA

## Liber I

## Z–X

## Sigel der Textzeugen

Im kritischen Apparat der Titloi bezeichnet ein hochgestelltes „pin“ hinter einem Siglum das Inhaltsverzeichnis, ein hochgestelltes „txt“ den Text; ohne Zusatz bezeichnet das Siglum die Übereinstimmung von Inhaltsverzeichnis und Text (z.B.: $C^{pin}$, $C^{txt}$, $C = C^{pin\ et\ txt}$).

| | |
|---|---|
| C | Paris, *Bibliothèque nationale de France*, Coislin 276 (10. Jh.) |
| | |
| $V^{E}$ | El Escorial, *Real Biblioteca del Monasterio de San Lorenzo*, Ω. III. 9 (11. Jh.) |
| $V^{W}$ | Wien, *Österreichische Nationalbibliothek*, Suppl. Gr. 178 (11. Jh.) |
| $V^{O}$ | Vatikanstadt, *Bibliotheca Apostolica Vaticana*, Ottob. gr. 79 (15. Jh.) |
| $V^{Ph}$ | Nikosia, *Βιβλιοθήκη Φανερωμένης*, 1 (a. 1600) |
| V | Übereinstimmung von $V^{E}V^{W}V^{O}V^{Ph}$ |
| | |
| $H^{I–III}$ | Jerusalem, *Πατριαρχικὴ Βιβλιοθήκη*, Παναγίου Τάφου 15 (11. Jh.) |
| $A^{I–III}$ | Athen, *Ἐθνικὴ Βιβλιοθήκη τῆς Ἑλλάδος*, Μετόχιον τοῦ Παναγίου Τάφου 274 (14. Jh.) |
| | |
| P | Paris, *Bibliothèque nationale de France*, gr. 923 (9. Jh.) |
| M | Venedig, *Biblioteca Nazionale Marciana*, gr. 138 (10./11. Jh.) |
| $L^{b}$ | Florenz, *Biblioteca Medicea Laurenziana*, plut. VIII. 22, f. 46r–73v (14. Jh.) |
| $Q^{1}$ | Athos, *Μονὴ Μεγίστης Λαύρας*, ΣΠ. 19 (9. Jh.) |
| $Q^{2}$ | Paris, *Bibliothèque nationale de France*, suppl. gr. 1155 (9. Jh.) |
| | |
| E | Modena, *Biblioteca Estense universitaria*, gr. 111 (II D 12) (12. Jh.) |
| | |
| T | Thessaloniki, *Μονὴ Βλατάδων*, 9 (10. Jh.) |
| | |
| R | Berlin, *Staatsbibliothek zu Berlin – Preußischer Kulturbesitz*, Phill. 1450 (12. Jh.) |
| $L^{c}$ | Florenz, *Biblioteca Medicea Laurenziana,* plut. VIII. 22, f. 74r–189v (14. Jh.) |

## Abkürzungen in den Apparaten

| | |
|---|---|
| a. c. | ante correctionem |
| acc. | accentus |
| add. | addidit / -erunt |
| adnot. | adnotatio |
| ap. | apud |
| app. crit. | apparatus criticus |
| a. ras. | ante rasuram |
| atrament. | atramentum |
| cancellav. | cancellavit |
| cap. | caput |
| cf. | confer |
| cod. / codd. | codex / codices |
| coniec. | coniecit / -erunt |
| corr. | correctio |
| correx. | correxit |
| delev. | delevit |
| ed. | editio |
| e. g. | exempli gratia |
| eras. | erasit |
| evanesc. | evanescens |
| expunx. | expunxit |
| exspectav. | exspectaveris |
| f. | folium |
| hab. | habet |
| ibid. | ibidem |
| interpunx. | interpunxit / -erunt |
| iterav. | iteravit |
| l. | linea |
| lac. | lacuna |
| mg. | margo |
| man. prim. | manus prima |
| man. rec. | manus recens |
| mut. | mutilatio |
| om. | omisit / -erunt |
| p. | pagina |
| p. c. | post correctionem |
| pin | pinax |
| Praef. | Praefatio |
| praem. | praemisit / -erunt |
| p. ras. | post rasuram |
| propt. | propter |
| rescrips. | rescripsit |
| resect. | resectus |
| s. a. | sine attributione[1] |
| sc. | scilicet |
| scrips. | scripsit |
| s. d. | sine distinctione[2] |
| seclus. | seclusit |
| secund. | secundum |
| ser. | series |
| s. l. | supra lineam |
| spir. | spiritus |
| sqq. | sequentes |
| superscrips. | superscripsit |
| supplev. | supplevit |
| txt | textus |
| transpos. | transposuit / -erunt |
| vers. | versio |

[1] Eine Stelle ist von der vorhergehenden zwar getrennt, aber die Attribution fehlt.

[2] Eine Stelle ist von der vorhergehenden weder durch eine Attribution noch durch ein Zeichen noch durch einen Zwischenraum getrennt.

# Στοιχεῖον Ζ

**Τίτλος α′ Περὶ τοῦ ζητεῖν τὸν θεὸν καὶ αὐτῷ ἕπεσθαι καὶ ἀκολουθεῖν, καὶ πάντα ἐπὶ τῷ ὀνόματι αὐτοῦ διαπράττεσθαι.**

**α′ Περὶ τοῦ ζητεῖν τὸν θεὸν καὶ αὐτῷ ἕπεσθαι καὶ ἀκολουθεῖν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ πάντα ἡμᾶς διαπράττεσθαι.**

**α′ Περὶ τοῦ ἐπιζητεῖν τὸν θεὸν καὶ αὐτῷ ἕπεσθαι, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ πάντα διαπράττειν.**

## I 1086 / C cap. Z 1, 1

Ἀπὸ τῶν Ἀριθμῶν·

Ἐν τοῖς ἐγγίζουσίν μοι ἁγιασθήσομαι.

---

**2 – 3** Περὶ – διαπράττεσθαι] cf. I / $C^{pin}$ Παραπομπαὶ Ε 3 et Κ 4 (SJD VIII/1)

---

**10 I 1086** Num., re vera Lev. 10, 3

---

**1 Stoicheion** $C^{txt}$ (181r15) $C^{pin}$ **2 – 3 Titlos (a)** C (181r16–18) $A^{II\ pin}$ R; *deest in* $H^{II}A^{II\ txt}$; PG 96, 525, 12 **4 – 5 Titlos (b)** V $A^{I\ pin}$; *deest in* $H^{I}A^{I\ txt}$; PG 95, 1568, 23–25 **6 – 7 Titlos (c)** $PML^{b\ pin}$ $T^{txt}$; *deest in* $L^{b\ txt}$ $T^{pin\ (lac.)}$ **9 – 10 I 1086** C (181r[19] 19–20); $V^{E}$ cap. Z 1, 1; $V^{W}$ cap. Z 1, 1; $V^{O}$ cap. Z 1, 1; $V^{Ph}$ cap. Z 1, 1; P cap. Z 1, 1; M cap. Z 1, 1; T cap. Z 1, 1; R cap. Z 1, 1; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 26

---

**1 Stoicheion** Ζ] ζητα $C^{pin}$ **2 – 3 Titlos (a) 2** Τίτλος] *om.* $A^{II\ pin}$ $R^{pin}$ α′] πρῶτος $R^{txt}$ ἐπιζητεῖν R θεὸν] *add.* ἐν ἅπασιν $C^{pin}$ **2 – 3** καὶ ἀκολουθεῖν] *om.* $C^{pin}$ **3** πάντα] *ante* διαπράττεσθαι *transpos.* $C^{pin}$ ὄνομα $C^{pin\ a.\ c.\ man.\ rec.}$ **4 – 5 Titlos (b) 4** α′] *praem. (iuxta* Στοιχεῖον Ζ*)* τίτλος α′ $V^{E\ pin}$ $V^{O\ pin}$, *praem.* τίτλος $V^{W\ txt}$ καὶ¹ – ἕπεσθαι] *om.* $V^{E\ txt}$ $V^{O\ txt}$ $V^{Ph\ txt}$ $A^{I\ pin}$ ἀκολουθεῖν] *add.* αὐτῶ $V^{Ph\ txt}$ $A^{I\ pin}$, αὐτ $V^{E\ txt}$ $V^{O\ txt}$ **5** ἡμᾶς] *praem.* χρὴ $V^{E}V^{O}V^{Ph}$ $A^{I\ pin}$ πράττεσθαι $V^{E\ txt}$ $V^{O\ txt}$ $V^{Ph\ txt}$, πράττειν $A^{I\ pin}$ **6 – 7 Titlos (c) 6** α′] κθ′ $M^{pin}$ *(qui hoc caput litterae E adnexit)*, τίτλος α′ $T^{txt}$ ζητειν $M^{txt}$ **6 – 7** καὶ¹ – διαπράττειν] *om.* $M^{pin}$ **6 – 7** καὶ² – διαπράττειν] *om.* $M^{txt}$ **7** πράττειν $L^{b\ pin}$

---

**I 1086** Ἀπὸ τῶν] *om.* V PM Ἀπὸ] *om.* T

---

**10** ἐγγίζουσί με $V^{E}V^{O}V^{Ph}$

## I 1087 / C cap. Z 1, 2

Τοῦ Δευτερονομίου·

Κύριον τὸν θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· οὗτος καύχημά σου, καὶ οὗτος θεός σου.

## I 1088 / C cap. Z 1, 3

Παραλειπομένων α′·

Εἶπεν Δαυῒδ πρὸς Σολομῶντα· Ἐὰν ζητήσῃς τὸν κύριον, εὑρεθήσεταί σοι· καὶ ἐὰν καταλείψῃς αὐτόν, καταλείψει σε εἰς τέλος.

## I 1089 / C cap. Z 1, 4

Παραλειπομένων β′·

Εἶπεν Ἀσὰ ὁ βασιλεὺς τῷ Ἰούδα· Καθὼς ἐζητήσαμεν κύριον τὸν θεὸν τῶν πατέρων ἡμῶν, ἐζήτησεν ἡμᾶς καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν.

---

**3 – 5 I 1087** Deut. 10, 20–21 (Wahl, *Deuteronomium-Text*, p. 125) **8 I 1088** Εἶπεν – Σολομῶντα] cf. I Par. 28, 1 **8 – 9** Ἐὰν – τέλος] Ibid. 28, 9 (Wahl, *1 Chronik-Text*, p. 143) **12 – 14 I 1089** II Par. 14, 7 (quibusdam omissis; Wahl, *2 Chronik-Text*, p. 145)

---

**2 – 5 I 1087** C (181r[20]20–23); $V^{E}$ cap. Z 1, 2; $V^{W}$ cap. Z 1, 2; $V^{O}$ cap. Z 1, 2; $V^{Ph}$ cap. Z 1, 2; P cap. Z 1, 2; M cap. Z 1, 2; T cap. Z 1, 2; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 95, 1568, 27–30 **7 – 9 I 1088** C (181r[23]24–26); R cap. Z 1, 2; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T **11 – 14 I 1089** C (181r[26]27–29); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T R

---

**I 1087** (a) T R (b) Δευτερονομίου $V^{E}V^{W}V^{O}$ PM (c) *s. a.* $V^{Ph}$

---

**3** αὐτῷ] *add.* μόνω *(*μώνωι T*)* $V^{E}V^{O}V^{Ph}$ M T λατρεύσης $V^{E}V^{O}V^{Ph}$ T **4** τῷ] ἐπὶ τῶ *(*τῶι T*)* $V^{W}V^{O}V^{Ph}$ T, ἐπι τω M, ἐπὶ *(*-ι $V^{E}$*)* τὸ $V^{E}$ P ὀμῇ] ὠμῇ $C^{a. c.}$, ωμῇ P, ὠμὴ T, ὀ- *e corr.* $V^{W}$, ὅτι M, *om.* $V^{O}$ **4 – 5** καύχημά – οὗτος] *om.* T **5** θεός σου] ζωῆ σου $V^{E}V^{O}V^{Ph}$ **8** Δαυῒδ] γὰδ $C^{mg.}$ R σολομὼν R **9** καταλείψῃς] καταλείπης C καταλείψει σε] καταλείψη σε C **12** Ἀσὰ] *scripsimus*, ἀσᾶ C **13 – 14** κυκλώθεν $C^{a. c.}$

## I 1090 / C cap. Z 1, 5

Τῆς αὐτῆς·

Ἐξῆλθεν Ἀζαρίας, υἱὸς Ὠδήδ, εἰς ἀπάντησιν τῷ Ἀσά, καὶ εἶπεν αὐτῷ· Ἄκουσόν μου, Ἀσὰ καὶ πᾶς Ἰούδα καὶ Βενιαμίν· κύριος μεθ’ ὑμῶν ἐν τῷ εἶναι ὑμᾶς μετ’ αὐτοῦ, καὶ ἐὰν ἐκζητήσητε αὐτόν, εὑρεθήσεται ὑμῖν, καὶ ἐὰν ἐγκαταλείπητε αὐτόν, ἐγκαταλείψει ὑμᾶς.

## I 1091 / C cap. Z 1, 6

Δαυῒδ ἐν ψαλμῷ θʹ·

Οὐκ ἐγκατέλιπας τοὺς ἐκζητοῦντάς σε, κύριε.

## I 1092 / C cap. Z 1, 7

Ἐν ψαλμῷ λαʹ·

Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις
τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

---

**3 – 6 I 1090** II Par. 15, 1–2 (Wahl, *2 Chronik-Text*, p. 146) **9 I 1091** Ps. 9, $11^{2}$ **12 – 13 I 1092** Ps. 31, $9^{2-3}$

---

**2 – 6 I 1090** C (181r[30]30–181v5); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T R **8 – 9 I 1091** C (181v[5]5–6); $V^{E}$ cap. Z 1, 3; $V^{W}$ cap. Z 1, 3; $V^{O}$ cap. Z 1, 3; $V^{Ph}$ cap. Z 1, 3; P cap. Z 1, 3; M cap. Z 1, 3; T cap. Z 1, 3; R cap. Z 1, 3; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 31 **11 – 13 I 1092** C (181v[6]6–7); $V^{E}$ cap. Z 1, 4; $V^{W}$ cap. Z 1, 4; $V^{O}$ cap. Z 1, 4; $V^{Ph}$ cap. Z 1, 4; P cap. Z 1, 4; M cap. Z 1, 4; T cap. Z 1, 4; R cap. Z 1, 4; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 32–33

---

**I 1091** (a) C P T (b) Ψαλμοῦ θʹ R (c) Δαυῒδ V (d) *s. a.* M **I 1092** (a) C T (b) Ψαλμοῦ λαʹ P R (c) *s. a.* $V^{E}V^{W}$ M (d) *s. d.* $V^{O}V^{Ph}$

---

**3** ἀσᾶ $C^{a. c.}$ **4** ἀσᾶ $C^{a. c.}$ **9** ἐγκατέλειπας $V^{W\ a. c.\ ut\ videtur}$ T, εγκατελειπας P, ἐγκατέλιπες *(*-ελ- M*)* $V^{O}$ M R, ἐγκατέλειπες $V^{E}V^{Ph}$ κύριε] *om.* M **12** κιμῶ $V^{E}V^{O}V^{Ph}$ M τὰς – αὐτῶν] *om.* $V^{E}V^{O}V^{Ph}$, τὰς σϊαγόνας *in mg. supplev.* $V^{E\ man.\ rec.}$ ἄγξαις R *(cf. LXX app. crit.)*, ἄγξις $V^{E\ a. c.\ ut\ videtur}$ $V^{O}$, ἄγξης P, ἄξεις T **13** πρὸς σέ] *om.* P

## I 1093 / C cap. Z 1, 8

Ἐν ψαλμῷ λγ′·

Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέν μου,
καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

## <I suppl. 389 / V cap. Z 1, 6>

## I 1094 / C cap. Z 1, 9

Τοῦ αὐτοῦ·

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν,
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται
[παντὸς ἀγαθοῦ.

---

**5 I suppl. 389** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1093** Ps. 33, $5^{1-2}$ **8 – 10 I 1094** Ps. 33, $11^{1-2}$

---

**2 – 4 I 1093** C (181v[8]8–9); $V^{E}$ cap. Z 1, 5; $V^{O}$ cap. Z 1, 5; $V^{Ph}$ cap. Z 1, 5; P cap. Z 1, 5; T cap. Z 1, 5; R cap. Z 1, 5; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $ML^{b}$; PG 95, 1568, 34–35 **7 – 10 I 1094** C (181v[9]10–11); $V^{E}$ cap. Z 1, 7; $V^{O}$ cap. Z 1, 7; $V^{Ph}$ cap. Z 1, 7; P cap. Z 1, 7; M cap. Z 1, 5; T cap. Z 1, 6; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$ R; PG 95, 1568, 37–39

---

**I 1093** (a) C T (b) Ψαλμοῦ λγ′ P R (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1094** (a) C (b) Ἐν τῷ αὐτῷ T (c) Ψαλμοῦ λγ′ P (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ (e) *s. d.* M

---

**4** καὶ – μου] ἕως R θλίψεών – με] θλίψεων P ἐρρύσατό με] ἐρρ$^{ύ}$ $V^{E}$, ἐρρῦ $V^{O}$, ἐρ$^{ύ}$ $V^{Ph}$

## I 1095 / C cap. Z 1, 10

Ἐν ψαλμῷ λθʹ·

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ
[ζητοῦντές σε, κύριε.

## I 1096 / C cap. Z 1, 11

Ἐν ψαλμῷ ξηʹ·

Ἐκζητήσατε τὸν κύριον, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

## I 1097 / C cap. Z 1, 12

Ἐν ψαλμῷ ρδʹ·

Εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον·
ζητήσατε τὸν κύριον καὶ κραταιώθητε,
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.

---

**3 – 4 I 1095** Ps. 39, $17^{1}$ **7 I 1096** Ps. 68, $33^{2}$ **10 – 12 I 1097** Ps. 104, $3^{2}$–$4^{2}$

---

**2 – 4 I 1095** C (181v[12]12–13); $V^{E}$ cap. Z 1, 8; $V^{O}$ cap. Z 1, 8; $V^{Ph}$ cap. Z 1, 8; P cap. Z 1, 8; M cap. Z 1, 6; T cap. Z 1, 7; R cap. Z 1, 6; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 40–41 **6 – 7 I 1096** C (181v[13]13–14); $V^{E}$ cap. Z 1, 9; $V^{O}$ cap. Z 1, 9; $V^{Ph}$ cap. Z 1, 9; P cap. Z 1, 9; M cap. Z 1, 7; T cap. Z 1, 8; R cap. Z 1, 7; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 42–43 **9 – 12 I 1097** C (181v[14]14–17); $V^{E}$ cap. Z 1, 10; $V^{W}$ cap. Z 1, 6; $V^{O}$ cap. Z 1, 10; $V^{Ph}$ cap. Z 1, 10; P cap. Z 1, 10; M cap. Z 1, 8; T cap. Z 1, 10; R cap. Z 1, 8; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1568, 44

---

**I 1095** (a) C T (b) Ψαλμοῦ λθʹ P R (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ M **I 1096** (a) C T (b) Ψαλμοῦ ξηʹ P R ξηʹ] οζʹ P (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ M **I 1097** (a) C T (b) Ψαλμοῦ ρδʹ P R (c) *s. a.* V M

---

**3** ἀγαλλιάσοιντο C εὐφρανθείησαν C **4** ζητοῦντες σε $V^{E}V^{O}V^{Ph}$ P T R, εκζητοῦντες σε M κύριε] ὁ θεός $V^{Ph\ a.\ c.}$, *om.* P **7** κύριον] θεὸν $V^{E}V^{O}V^{Ph}$ P T ἡμῶν $V^{O}V^{Ph}$ M **11 – 12** ζητήσατε – διαπαντός] *om.* V PM T **11 – 12** ζητήσατε – αὐτοῦ] ἕως R

## I 1098 / C cap. Z 1, 13

Τῶν Παροιμιῶν·

Ὁ ζητῶν τὸν κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτόν, εὑρήσουσιν εἰρήνην.

## I 1099 / C cap. Z 1, 14

Τῶν αὐτῶν·

Οἱ ζητοῦντες τὸν κύριον, συνήσουσιν ἐν παντί.

## I 1100 / C cap. Z 1, 15

Ὠσηὲ προφήτου·

Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν κύριον ἕως τοῦ ἐλθεῖν ὑμῖν γενήματα δικαιοσύνης.

Ὡς ἔτι καιρός, ἐκζητήσατε τὸν κύριον.

---

**3 – 4 I 1098** Prov. 16, $8^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 81) **7 I 1099** Prov. 28, $5^{2}$ (Wahl, *Proverbien-Text*, p. 135) **10 – 11 I 1100** ***Versio*** **C R** Os. 10, 12 (Wahl, *Prophetenzitate*, p. 170) **12 I 1100** ***Versio*** **V PM T** Os. 10, 12 (cum app. crit.; Wahl, *Prophetenzitate*, p. 170)

---

**2 – 4 I 1098** C (181v[17]17–19); V$^{E}$ cap. Z 1, 11; V$^{W}$ cap. Z 1, 7; V$^{O}$ cap. Z 1, 11; V$^{Ph}$ cap. Z 1, 11; P cap. Z 1, 11; M cap. Z 1, 9; T cap. Z 1, 11; R cap. Z 1, 9; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$; PG 95, 1568, 45 – 1569, 2 **6 – 7 I 1099** C (181v[19]20); R cap. Z 1, 10; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T **9 – 12 I 1100** C (181v[21]21–23); V$^{E}$ cap. Z 1, 12; V$^{W}$ cap. Z 1, 8; V$^{O}$ cap. Z 1, 12; V$^{Ph}$ cap. Z 1, 12; P cap. Z 1, 12; M cap. Z 1, 10; T cap. Z 1, 12; R cap. Z 1, 12; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$; PG 95, 1569, 3

---

**I 1098** (a) C (b) Παροιμιῶν V P T R (c) *s. a.* M **I 1099** (a) C (b) *s. d.* R **I 1100** (a) C V R ὡσηὲ C, ὡσιέ V$^{E}$V$^{O}$V$^{Ph}$, ὁσιὲ V$^{W}$ προφήτου] *om.* V R (b) Τῶν αὐτῶν T (c) *s. a.* PM

---

**7** ἐν] *om.* R **12** Ὡς ἔτι] ὅ ἔστιν T$^{a.\,c.}$, ὅς ἔστιν T$^{p.\,c.}$

## I 1101 / C cap. Z 1, 16

Τοῦ αὐτοῦ·

Ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν θεόν σου διαπαντός.

Ἔγγιζε πρὸς τὸν θεόν σου διαπαντός.

## I 1102 / C cap. Z 1, 17

Ἀμὼς προφήτου·

Ἐκζητήσατε τὸν κύριον, καὶ ζήσεσθε.

## I 1103 / C cap. Z 1, 18

Τοῦ αὐτοῦ·

Διώξωμεν τοῦ γνῶναι τὸν κύριον, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν, καὶ ἥξει ὡς ὑετὸς ἡμῖν πρώϊμος καὶ ὄψιμος.

---

**3 – 4 I 1101** ***Versio*** **V PM T R**$^{\mathbf{cap.\ Z\ 1,\ 11}}$ Os. 12, 6 (Wahl, *Prophetenzitate*, p. 173) **5 I 1101** ***Versio*** **C R**$^{\mathbf{cap.\ Z\ 1,\ 13}}$ Os. 12, 6 (Wahl, *Prophetenzitate*, p. 173) **8 I 1102** Am. 5, 6 (Wahl, *Prophetenzitate*, p. 185) **11 – 12 I 1103** Am., re vera Os. 6, 3 (Wahl, *Prophetenzitate*, p. 160)

---

**2 – 5 I 1101** C (181v[23]23–24); $V^{E}$ cap. Z 1, 13; $V^{W}$ cap. Z 1, 9; $V^{O}$ cap. Z 1, 13; $V^{Ph}$ cap. Z 1, 13; P cap. Z 1, 13; M cap. Z 1, 11; T cap. Z 1, 13; R cap. Z 1, 11; R cap. Z 1, 13; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 4–5 **7 – 8 I 1102** C (181v[24]24–25); R cap. Z 1, 14; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T **10 – 12 I 1103** C (181v[25]25–27); R cap. Z 1, 15; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T

---

**I 1101** (a) C (b) Τῶν αὐτῶν T $R^{cap.\ Z\ 1,\ 11}$ (c) *s. a.* V (d) *s. d.* M $R^{cap.\ Z\ 1,\ 13}$ (e) *non liquet in* P **I 1102** ἀμῶς $C^{a.\ c.}$ προφήτου] *om.* R **I 1103** (a) C (b) *s. d.* R

---

**3** κρῖμα $V^{E}V^{Ph}$ R, κριμα P T **11** ὡς] *praem.* καὶ R **12** αὐτόν] *om.* R ὑμῖν R

## I 1104 / C cap. Z 1, 19

Ἰωὴλ προφήτου·

Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.

## I 1105 / C cap. Z 1, 20

Μιχαίου προφήτου·

Ἀνηγγέλη σοι, ὦ ἄνθρωπε, τί καλόν, καὶ τί κύριος ἐκζητεῖ παρὰ σοῦ ἀλλ' ἢ τοῦ ποιεῖν κρῖμα καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ κυρίου τοῦ θεοῦ σου.

## I 1106 / C cap. Z 1, 21

Ἡσαΐου προφήτου·

Τὸν κύριον οὐκ ἐζήτησαν, καὶ αὐτὸς σοφῶς ἦγεν ἐπ' αὐτοὺς κακά.

---

**3 I 1104** Ioel 2, 32 (Wahl, *Prophetenzitate*, p. 218) **6 – 8 I 1105** Mich. 6, 8 (Wahl, *Prophetenzitate*, p. 206) **11 – 12 I 1106** Is. 31, 1–2 (Wahl, *Prophetenzitate*, p. 369–370)

---

**2 – 3 I 1104** C (181v[28]28–29); R cap. Z 1, 16; *deest in* H[II] V H[I] PML[b] T **5 – 8 I 1105** C (181v[29]30–182r2); R cap. Z 1, 17; *deest in* H[II] V H[I] PML[b] T **10 – 12 I 1106** C (182r[3]3–4); R cap. Z 1, 18; *deest in* H[II] V H[I] PML[b] T

---

**I 1104** προφήτου] *om.* R **I 1105** προφήτου] *om.* R **I 1106** προφήτου] *om.* R

---

**6** ἀνηγγέλλει R **7** κρῖμα] *sic acc.* C R **11** ἦγεν] ἤγαγεν R

## I 1107 / C cap. Z 1, 22

Τοῦ αὐτοῦ·

Αἰσχυνθήσονται πάντες οἱ διορίζοντες ἑαυτοὺς ἀπὸ κυρίου.

## I 1108 / C cap. Z 1, 23

Τοῦ αὐτοῦ·

Ἀκούσατέ μου καὶ φάγεσθε ἀγαθά, καὶ τρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου.

## I 1109 / C cap. Z 1, 24

Ἱερεμίου προφήτου·

Ἐκζητήσατέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ ἐπιφανοῦμαι ὑμῖν, φησὶν κύριος.

---

**3 I 1107** Is. 45, 24–25 (Wahl, *Prophetenzitate*, p. 409–410) **6 – 8 I 1108** Is. 55, 2–3 (Wahl, *Prophetenzitate*, p. 437–438) **11 – 12 I 1109** Ier. 36, 13–14 (Wahl, *Prophetenzitate*, p. 563–564)

---

**2 – 3 I 1107** C (182r[4]4–5); $V^{E}$ cap. Z 1, 15; $V^{W}$ cap. Z 1, 11; $V^{O}$ cap. Z 1, 15; $V^{Ph}$ cap. Z 1, 15; P cap. Z 1, 15; M cap. Z 1, 13; T cap. Z 1, 15; R cap. Z 1, 19; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 8–9 **5 – 8 I 1108** C (182r[6]6–8); $V^{E}$ cap. Z 1, 14; $V^{W}$ cap. Z 1, 10; $V^{O}$ cap. Z 1, 14; $V^{Ph}$ cap. Z 1, 14; P cap. Z 1, 14; M cap. Z 1, 12; T cap. Z 1, 14; R cap. Z 1, 20; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 6–7 **10 – 12 I 1109** C (182r[9]9–10); $V^{E}$ cap. Z 1, 16; $V^{W}$ cap. Z 1, 12; $V^{O}$ cap. Z 1, 16; $V^{Ph}$ cap. Z 1, 16; P cap. Z 1, 16; M cap. Z 1, 14; T cap. Z 1, 16; R cap. Z 1, 21; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 10–11

---

**I 1107** (a) C T (b) *s. a.* V P (c) *s. d.* M R **I 1108** (a) C (b) Ἡσαΐου προφήτου V P T ἡσαϊου T, ησαϊου P προφήτου] *om.* V P (c) *s. a.* M (d) *s. d.* R **I 1109** (a) C T ϊερεμίου T (b) Ἱερεμίου $V^{W}$ PM R ιηρεμιου PM (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**3** ἀφορίζοντες *(*αφοριζ- M*)* V PM T R **6** φάγεσθαι *(*φα- PM*)* C PM T τρυφήση M, ἐντρυφήσει C $V^{W}$ R **7** ὑμῶν[1]] ἡμῶν $V^{O}V^{Ph\ a.\,c.}$ **7 – 8** Προσέχετε – μου] *om.* V PM T **7** ἀκολουθήσατε R **11 – 12** καὶ – κύριος] *om.* M **11 – 12** φησὶν κύριος] *om.* V P T

## I 1110 / C cap. Z 1, 25

Σοφίας Σολομῶντος·

Ἐν εὐθύτητι καρδίας ἐκζητήσατε αὐτόν,
ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν,
ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.

## I 1111 / C cap. Z 1, 26

Τοῦ Σιράχ·

Κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς,
ἵνα αὐξηθῇς ἐπ᾽ ἐσχάτων σου.

## I 1112 / C cap. Z 1, 27

Τοῦ αὐτοῦ·

Δόξα μεγάλη ἀκολουθεῖν κυρίῳ.

## I 1113 / C cap. Z 1, 28

Τοῦ αὐτοῦ·

Κρεῖσσον ὑπομονὴ ἀπαραίτητος ἐν ζητήσει κυρίου
ἢ ἀδέσποτος τροχηλάτησις τῆς ἰδίας ζωῆς.

---

**3 – 5 I 1110** Sap. 1, $1^{3}$–$2^{2}$ **8 – 9 I 1111** Sir. 2, $3^{1-2}$ (Wahl, *Sirach-Text*, p. 46) **12 I 1112** Sir. 23, $28^{1}$ (Wahl, *Sirach-Text*, p. 112) **15 – 16 I 1113** Sir. 20, $32^{1-2}$ (Wahl, *Sirach-Text*, p. 103)

---

**2 – 5 I 1110** C (182r[10]11–13); R cap. Z 1, 22; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T **7 – 9 I 1111** C (182r[13]14–15); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T R **11 – 12 I 1112** C (182r[15]15–16); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T R **14 – 16 I 1113** C (182r[16]16–18); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T R

---

**3** ἁπλότητι *LXX* **5** αὐτόν R **15** ἐν ζητήσει] *correximus (LXX)*, ἐκζητήσει C **16** τροχηλάτησις] *sic* C, τροχηλάτης *LXX*

## I 1114 / C cap. Z 1, 29

Ἰωάννου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ πς′·

Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ’ ἕξει τὸ φῶς τῆς ζωῆς.

## I 1115 / C cap. Z 1, 30

Ἐκ τῆς πρὸς Κολασσαεῖς ἐπιστολῆς·

Πᾶν ὅτι ἂν ποιῆτε, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ δι’ αὐτοῦ.

## I 1116 / C cap. Z 1, 31

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς·

Τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης ὁ θεὸς γίνεται.

---

**3 – 4 I 1114** Ioh. 8, 12 **7 – 8 I 1115** Col. 3, 17 **11 I 1116** Hebr. 11, 6

---

**2 – 4 I 1114** C (182r[18–19]19–21); R cap. Z 1, 23; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T **6 – 8 I 1115** C (182r[21]22–23); R cap. Z 1, 24; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T **10 – 11 I 1116** C (182r[23]24); $V^{E}$ cap. Z 1, 17; $V^{W}$ cap. Z 1, 13; $V^{O}$ cap. Z 1, 17; $V^{Ph}$ cap. Z 1, 17; P cap. Z 1, 17; M cap. Z 1, 15; T cap. Z 1, 17; R cap. Z 1, 25; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 12–13

---

**I 1114** εὐαγγελιστοῦ – πς′] *om.* R **I 1115** Ἐκ τῆς] *om.* R κολοσσαεῖς $C^{a.c.}$ ἐπιστολῆς] *om.* R **I 1116** (a) C T Ἐκ] *praem.* τοῦ ἀποστολου T Ἑβραίους] *scripsimus*, εβραίους C T (b) Πρὸς Ἑβραίους $V^{E}V^{O}V^{Ph}$ PM R ἑβραιους M, εβραιους P, εβρε $V^{E}$ (c) Τοῦ Ἀποστόλου $V^{W}$

---

**3** ἐγὼ εἰμὶ R περιπατήσει C **7** ποιῆτε] *scripsimus*, ποιεῖτε C R **11** ὁ θεὸς] *om.* C M R *(NT)*

## I 1117 / C cap. Z 1, 32

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν.

## I 1118 / C cap. Z 1, 33

Ἐκ τῆς αὐτῆς·

Ἄγε νῦν οἱ λέγοντες· Σήμερον ἢ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσώμεθα καὶ κερδήσωμεν, οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον. Ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ κύριος θέλῃ καὶ ζήσωμεν καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο.

## I 1119 / C cap. Z 1, 34

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

Πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψατε ἐπ᾽ αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.

## <I suppl. 390 / V cap. Z 1, 19>

---

**15 I suppl. 390** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 I 1117** Iac. 4, 8 **6 – 10 I 1118** Iac. 4, 13–15 **13 – 14 I 1119** I Petr. 5, 7

---

**2 – 3 I 1117** C (182r[25]25–26); $V^E$ cap. Z 1, 18; $V^W$ cap. Z 1, 14; $V^O$ cap. Z 1, 18; $V^{Ph}$ cap. Z 1, 18; P cap. Z 1, 18; M cap. Z 1, 16; T cap. Z 1, 18; R cap. Z 1, 26; *deest in* $H^{II}$ $H^I$ $L^b$; PG 95, 1569, 14 **5 – 10 I 1118** C (182r[26]26–182v1); *deest in* $H^{II}$ V $H^I$ $PML^b$ T R **12 – 14 I 1119** C (182v[1]2–3); R cap. Z 1, 27; *deest in* $H^{II}$ V $H^I$ $PML^b$ T

---

**I 1117** (a) C PM T Ἐκ] *om.* M ϊακώβου P, ϊακωβ M ἐπιστολῆς] *om.* T (b) Ἰακώβου $V^W$ R (c) *s. a.* $V^EV^{Ph}$ (d) *s. d.* $V^O$ **I 1119** (a) C (b) Πέτρου καθολικῆς α′ R

---

**9** ποιήσωμεν] *scripsimus*, ποιήσομεν C **13** μέλλει R

## I 1120 / C cap. Z 1, 35

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός·

Ὅσον ἀφίστατο τῆς ζωῆς ὁ Ἀδάμ, τοσοῦτον προσήγγιζεν τῷ θανάτῳ. Ζωὴ γὰρ ὁ θεός, στέρησις δὲ ζωῆς ὁ θάνατος, ὥστε τὸν θάνατον ὁ Ἀδὰμ διὰ τῆς ἀναχωρήσεως τοῦ θεοῦ ἑαυτῷ κατεσκεύασεν, κατὰ τὸ γεγραμμένον ὅτι *Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.*

## I 1121 / C cap. Z 1, 36

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν·

Ἀνάγκη τὴν ἐρημωθεῖσαν ψυχὴν τῆς οἰκειώσεως τοῦ θεοῦ, οἰκητήριον γενέσθαι πνευμάτων ἀκαθάρτων.

---

**7 – 8** Ps. 72, 27[1]

---

**4 – 8 I 1120** BASILIUS CAESARIENSIS, *Quod deus non est auctor malorum*, 7 (PG 31, 345, 6–11) **11 – 12 I 1121** (PS.-)BASILIUS CAESARIENSIS, *Enarratio in prophetam Isaiam*, XIII, 276 (PG 30, 604, 17–18)

---

**2 – 8 I 1120** C (182v[3–4]5–10); $V^{E}$ cap. Z 1, 20; $V^{W}$ cap. Z 1, 16; $V^{O}$ cap. Z 1, 20; $V^{Ph}$ cap. Z 1, 20; P cap. Z 1, 20; M cap. Z 1, 18; T cap. Z 1, 20; R cap. Z 1, 28; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 17–22 **10 – 12 I 1121** C (182v[11]12–13); $V^{E}$ cap. Z 1, 21; $V^{W}$ cap. Z 1, 17; $V^{O}$ cap. Z 1, 21; $V^{Ph}$ cap. Z 1, 21; P cap. Z 1, 21; M cap. Z 1, 20; T cap. Z 1, 21; R cap. Z 1, 30; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 23–25

---

**I 1120** (a) C R ἐκ – τὸ] ὅτι R οὐκ ἔστιν] οὐκ C (b) Τοῦ αὐτοῦ $V^{W}$ P T (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ (d) *s. d.* M **I 1121** (a) $V^{W}$ PM T R Τοῦ – τοῦ] *om.* $V^{W}$ P Τοῦ αὐτοῦ] *om.* M τοῦ] τῶν T ησαΐαν T, ῆσαϊαν P (b) Τοῦ αὐτοῦ, ἐκ τῆς εἰς τὸν Κάϊν ἐπιστολῆς C (c) *s. a.* $V^{E}V^{Ph}$ (d) *s. d.* $V^{O}$

---

**4** ἀδᾶμ $C^{a.\,c.}$, ἀδὰμ $V^{W}$, ἀδαμ M, αδὰμ $V^{O}$ ἤγγιζε(ν) C R **5** στέρρησις *(*στε- M*)* M R, στερήσϊς $V^{O}$, στέρησεις P, στέρησης T ὁ$^{2}$] *om.* C **6** αδὰμ P, ἀδαμ M ἀναχωρήσεως] *add.* τῆς ἀπὸ R ἑαυτῷ] *om.* V PM T **11** οἰκιώσεως P, οἰκήσεως M R *(ed.)* **12** πνευμάτων] *praem.* καὶ *(*και P*)* P R

## I 1122 / C cap. Z 1, 37

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Τάξις ἀρίστη παντὸς ἀρχομένου καὶ λόγου καὶ πράγματος, ἐκ θεοῦ τε ἄρχεσθαι καὶ εἰς θεὸν ἀναπαύεσθαι.

## I 1123 / C cap. Z 1, 38

Ἐκ τῶν μονοστίχων Γνωμῶν·

Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ θεόν.

## I 1124 / C cap. Z 1, 39

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τοῦ περὶ θείων ὀνομάτων·

Κρεῖττον εἶναι θεοῦ καὶ μὴ ἑαυτῶν· οὕτως γὰρ ἔσται τὰ θεῖα δοτὰ τοῖς μετὰ θεοῦ γινομένοις.

---

**4 – 5 I 1122** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 1, 4–6 (ed. Bernardi, p. 84–86) **8 I 1123** Gregorius Nazianzenus, *Carmina*, I,2,30 *(Versus iambici acrostichi)*, 1 (PG 37, 908, 14) **12 – 13 I 1124** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, VII. 1 (ed. Suchla, p. 194, 14–15)

---

**2 – 5 I 1122** C (182v[14]15–16); $V^{E}$ cap. Z 1, 22; $V^{W}$ cap. Z 1, 18; $V^{O}$ cap. Z 1, 22; $V^{Ph}$ cap. Z 1, 22; P cap. Z 1, 22; M cap. Z 1, 21; T cap. Z 1, 22; R cap. Z 1, 31; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 26–28 **7 – 8 I 1123** C (182v[17]17–18); $V^{E}$ cap. Z 1, 23; $V^{O}$ cap. Z 1, 23; $V^{Ph}$ cap. Z 1, 23; P cap. Z 1, 23; M cap. Z 1, 22; T cap. Z 1, 23; R cap. Z 1, 32; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$; PG 95, 1569, 29 **10 – 13 I 1124** C (182v[18–19]20–21); R cap. Z 1, 33; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T

---

**I 1122** (a) C PM T R Τοῦ – Γρηγορίου] *om.* PM T R (b) Τοῦ Θεολόγου V **I 1123** (a) C (b) Τοῦ αὐτοῦ, ἐκ τῶν Ἐπῶν M T Τοῦ αὐτοῦ] *om.* M (c) Τοῦ αὐτοῦ R (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P **I 1124** τοῦ[1]] *om.* C Ἀρεοπαγίτου] *scripsimus*, αρεοπαγιτ C

---

**4** ἀρχομένῳ *ed., sed cf. app. crit.* **5** ἀναπαύεσθε $V^{E}V^{O}$, ἀναπαύεσθ $V^{Ph}$

## I 1125 / C cap. Z 1, 40

Θεοτίμου ἐπισκόπου Σκυθίας, ἐκ τοῦ εἰς τὸ *Ἐὰν προσφέρῃς τὸ δῶρον σου·*

Παρὰ τὸν θεὸν οὐδὲν ἐπίστασθαι δεῖ.

## I 1126 / C cap. Z 1, 41

Ἐκ τοῦ αὐτοῦ·

Δεόντως οὕτω τίς πρόσεισιν τῷ θεῷ, εἰ τὸ πᾶν αὐτῷ νέμει, παρ' οὗπερ ἔχει τὸ πᾶν λαβών, καὶ αὐτὰς τὰς φροντίδας καὶ ὑπὲρ ὧν αὗται τυγχάνουσιν.

## I 1127 / C cap. Z 1, 42

Κυρίλλου Ἀλεξανδρείας, ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν·

Ἀγαθὸς ὁ θεός, καὶ τοῖς ἀγαθῇ διανοίᾳ προσιοῦσιν αὐτῷ τὰ πρὸς σωτηρίαν ὀρέγει φάρμακα, καὶ παντὸς ἑτοίμως περιγίνονται πάθους.

---

**4 I 1125** THEOTIMUS SCYTHIAE, *In illud:* Si offers munus tuum *(Matth. 5, 23)*, locus non repertus (ed. Lequien [secund. R]) **7 – 9 I 1126** THEOTIMUS SCYTHIAE, locus non repertus (ed. Lequien [secund. R]) **12 – 14 I 1127** CYRILLUS ALEXANDRINUS, *Commentarius in Isaiam prophetam*, locus non repertus

---

**2 – 4 I 1125** C (182v[22–23]23–24); R cap. Z 1, 34; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T; PG 96, 525, 14–15 **6 – 9 I 1126** C (182v[24]24–27); R cap. Z 1, 35; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T; PG 96, 525, 16–19 **11 – 14 I 1127** C (182v[28]29–183r1); R cap. Z 1, 36; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T

---

**I 1125** εἰς τὸ] *om.* R **I 1126** Ἐκ] *om.* R **I 1127** Κυρίλλου Ἀλεξανδρείας] τοῦ ἁγίου κυρίλλου R

---

7 νέμοι C

## I 1128 / C cap. Z 1, 43

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς παρθένους·

Δεῖ ἐξ ὅλης τῆς καρδίας ἐπιζητεῖν τὸν θεόν· τὸ δὲ ἐπιζητεῖν ἐστὶν τὸ αὐτῷ λατρεύειν, καὶ τὰ αὐτῷ δοκοῦντα κατορθοῦν ἐπείγεσθαι. Τοῖς οὕτως ζητοῦσιν τὸν θεόν, πολλοὶ γίνονται τῆς εὐσεβείας καρποί, καὶ τὸ ἐκ τοῦ ἁγίου πνεύματος *ἀνατέλλει φῶς*.

## I 1129 / C cap. Z 1, 44

Φίλωνος, ἐκ τοῦ η′ καὶ θ′ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Ἀναζητοῦσιν τοῖς φιλοθέοις τὸ ὄν, κἂν μηδέποτε εὕρωσιν, συγχαίρομεν· ἱκανὴ γὰρ ἐξ ἑαυτῆς προευφραίνειν ἡ τοῦ καλοῦ ζήτησις, κἂν ἀτυχῇ τὸ τέλος αὐτῆς.

## I 1130 / C cap. Z 1, 45

Ἐκ τῶν αὐτῶν·

Τὸ σὺν θεῷ πᾶν ἐπαινετόν· τὸ δὲ ἄνευ θεοῦ, φευκτόν.

---

**6** Ps. 96, 11[1]

---

**3 – 6 I 1128** Cyrillus Alexandrinus, *Ad virgines*, locus non repertus **9 – 11 I 1129** Philo Iudaeus, *Legum allegoriae*, VIII et IX *(De posteritate Caini)*, 21 (ed. Wendland, p. 5, 11–14) **14 I 1130** Philo Iudaeus, *Legum allegoriae*, VIII et IX *(De posteritate Caini)*, re vera *De Cherubim*, 24 (ed. Cohn, p. 176, 3–4)

---

**2 – 6 I 1128** C (183r[1–2]2–7); R cap. Z 1, 37; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T; PG 96, 525, 21–25 **8 – 11 I 1129** C (183r[7–8]8–12); R cap. Z 1, 38; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T **13 – 14 I 1130** C (183r[12]12–13); R cap. Z 1, 39; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T

---

**I 1128** Τοῦ αὐτοῦ] *om.* R **I 1129** ἐκ – ἀλληγορίας] *om.* R **I 1130** (a) C (b) *s. d.* R

---

**3** τῆς] *om.* R **11** κἂν ἀτυχῇ] *sic* $C^{txt}$, καν τυχη $C^{mg.}$, κἂν τύχῃ R, κἂν ἀτυχῆται *ed.* **14** ἅπαν R φευκτόν] ψεκτόν *ed.*

## I 1131 / C cap. Z 1, 46

Ἐκ τοῦ β′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ἄρρην μὲν θηλείᾳ συνελθὼν τὴν παρθένον ἀποδείκνυσιν γυναῖκα· ψυχαὶ δέ, ὅταν *προσκολληθῶσιν θεῷ*, ἐκ γυναικῶν γίνονται παρθένοι, τὰς μὲν γυναικώδεις ἀποβάλλουσαι φθορὰς τῶν ἐν αἰσθήσει καὶ πάθει, τὴν δὲ ἄψαυστον καὶ ἀμιγῆ παρθένον, ἀρέσκειαν θεοῦ, μεταδιώκουσαι. Κατὰ λόγον οὖν αἱ τοιαῦται ψυχαὶ χηρεύουσιν <***> ἄνδρα τὸν τῆς φύσεως ὀρθὸν νόμον πρὸς συμβίωσιν, καὶ πατέρα τὸν αὐτὸν ἃ χρὴ πράττειν παραγγέλλοντα, καθάπερ ἐγγόνοις μετὰ τῆς ἀνωτάτω κηδεμονίας.

## I 1132 / C cap. Z 1, 47

Ἐκ τοῦ τελευταίου τῶν αὐτῶν·

Μία ἀνάπαυσις ψυχῆς ἐστὶν ἡ κρατίστη, εἰς τὸν ἱερὸν τοῦ ὄντος πόθον ἡγεμόνι πάντων χρῆσθαι θεῷ καὶ βουλευμάτων καὶ λόγων καὶ πράξεων.

---

**4** Ibid. 72, 28[1]

---

**3 – 10 I 1131** Philo Iudaeus, *Quaestiones in Exodum*, II. 3b (ed. Petit, p. 241) **13 – 15 I 1132** Philo Iudaeus, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 291.11); Royse 176.52

---

**2 – 10 I 1131** C (183r[13–14]14–25); R cap. Z 1, 40; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T **12 – 15 I 1132** C (183r[25]26–28); R cap. Z 1, 41; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ T

---

**I 1131** (a) C (b) Τοῦ αὐτοῦ R **I 1132** (a) C (b) Τοῦ αὐτοῦ R

---

**3** ἄρρεν C θῆλεια C συνελθὼν] -ων *e corr.* R, συνερχόμενον C **6** ἄψευστον R **6 – 7** ἀρέσκειαν] *forsan* πρὸς ἀρέσκειαν *legendum* **7** μεταδιώκουσαι] *sic* C R$^{p. c. ut videtur}$, μεταδιώκουσαν R$^{a. c. man. rec. ut videtur}$ **7 – 8** *post* χηρεύουσιν *quaedam excidisse videntur (vide vers. arm.)* **8 – 9** πρὸς συμβιοῦσιν C$^{a. c. ut videtur}$, προσσυμβιοῦσιν C$^{p. c. ut videtur}$ **13** ψυχῆς ἐστὶν] ψυχῆς R κρατίστη] *add.* μὲν R **14 – 15** καὶ[2] – πράξεων] *om.* R

## I 1133 / C cap. Z 1, 48

Ἐκ τοῦ αὐτοῦ·

Πέρας εὐδαιμονίας τὸ ἀκλινῶς καὶ ἀρρεπῶς ἐν μόνῳ θεῷ στῆναι.

---

**3 I 1133** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 291.12); Royse 177.70

---

**2 – 3 I 1133** C (183r[29]29–30); R cap. Z 1, 42; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ T

---

**I 1133** (a) C (b) *s. d.* R

---

**3** Πέρας] μετ᾽ R τὸ] τοῦ R

# Στοιχεῖον Η

## Τίτλος αʹ  Περὶ ἡμέρας ἐσχάτης καὶ τοῦ Ἀντιχρίστου.

### I 1134 / C cap. H 1, 1

Γενέσεως·

Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν,
ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ.
Καὶ γενηθήτω Δὰν ὄφις ἐφ᾽ ὁδοῦ
ἐγκαθήμενος,
δάκνων πτέρναν ἵππου,
καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω,
τὴν σωτηρίαν περιμένων κυρίου.

### I 1135 / C cap. H 1, 2

Ἀπὸ τῶν Ἀριθμῶν·

Ἀναλαβὼν Βαλαὰμ τὴν παραβολὴν αὐτοῦ, εἶπεν·
Ὦ, ὤ, τίς ζήσεται, ὅταν θῇ ταῦτα ὁ θεός;
Καὶ ἐξελεύσεται ἐκ χειρὸς Κιτιέων,
καὶ κακώσουσιν Ἀσούρ, καὶ κακώσουσιν Ἑβραίους,
καὶ αὐτοὶ ὁμοθυμαδὸν ἀπολοῦνται.

---

**2** Περὶ – Ἀντιχρίστου] cf. I / $C^{pin}$ Παραπομπὴ Δ 2 (SJD VIII/1); vide etiam C cap. A 10 (titulos b et c)

---

**5 – 11 I 1134** Gen. 49, $16^1$–$18^1$ **14 – 18 I 1135** Num. 24, $23^1$–$24^3$

---

**1 Stoicheion** $C^{txt}$ (183v1) $C^{pin}$ **2 Titlos** C (183v1–2) $A^{II\,pin}$ R; *deest in* $H^{II}A^{II\,txt}$; PG 96, 525, 27–28 **4 – 11 I 1134** C (183v[3]3–7); R cap. H 4, 1; *deest in* $H^{II}$ **13 – 18 I 1135** C (183v[7]7–11); R cap. H 4, 2; *deest in* $H^{II}$

---

**1 Stoicheion** H] ητα $C^{pin}$ **2 Titlos** Τίτλος] *om.* $A^{II\,pin}$ $R^{pin}$ αʹ] δʹ R, *propt. mg. resect. non liquet in* $A^{II\,pin}$ *(αʹ secund. ser.)*

---

**5** κρίνει R **10** ἵππος R **14** παραβολην $C^{a.\,c.}$, παρεμβολην $C^{p.\,c.\,man.\,rec.}$ **15** Ὦ, ὤ] ὦ· ὦ· C **16** κητϊέων R

## I 1136 / C cap. H 1, 3

Ἀπὸ τοῦ Δευτερονομίου·

Δὰν σκύμνος λέοντος,
καὶ αὐτὸς ἐκπηδήσει ἐκ τοῦ Βασάν.

## I 1137 / C cap. H 1, 4

Παραλειπομένων β′·

Ἐν τοῖς καιροῖς ἐκείνοις οὐκ ἔστιν εἰρήνη τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ, ὅτι ἔκστασις κυρίου πολλὴ ἐπὶ πάντας τοὺς κατοικοῦντας γαίας. Καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος καὶ πόλις πρὸς πόλιν, ὅτι ὁ θεὸς ἐξήτησεν αὐτοὺς ἐν πάσῃ θλίψει.

## I 1138 / C cap. H 1, 5

Ἰωὴλ προφήτου·

Μεγάλη ἡ ἡμέρα κυρίου, μεγάλη καὶ ἐπιφανὴς σφόδρα· τίς ἔσται ἱκανὸς αὐτῇ;

## I 1139 / C cap. H 1, 6

Τοῦ αὐτοῦ·

Δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ

---

**3 – 4 I 1136** Deut. 33, 22$^{2-3}$ (Wahl, *Deuteronomium-Text*, p. 154–155) **7 – 10 I 1137** II Par. 15, 5–6 (Wahl, *2 Chronik-Text*, p. 146) **13 – 14 I 1138** Ioel 2, 11 (Wahl, *Prophetenzitate*, p. 215) **17 – 721, 3 I 1139** Ioel 2, 30–31 (Wahl, *Prophetenzitate*, p. 217–218)

---

**2 – 4 I 1136** C (183v[12]12–13); R cap. H 4, 3; *deest in* H$^{II}$ **6 – 10 I 1137** C (183v [13–14]14–19); R cap. H 4, 4; *deest in* H$^{II}$ **12 – 14 I 1138** C (183v[19]19–21); *deest in* H$^{II}$ R **16 – 721, 3 I 1139** C (183v[21]21–25); *deest in* H$^{II}$ R

---

**I 1136** Ἀπὸ τοῦ] *om.* R

---

**9** γαίας] τὰς γενεὰς R **10** ἐξήτησεν] *sic* C, ἐξεζήτησεν R, ἐξέστησεν *LXX*

πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρινὴ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

## <I suppl. 289 / V cap. A 15, 10>

## I 1140 / C cap. H 1, 7

Μαλαχίου προφήτου·

Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν Ἡλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

## I 1141 / C cap. H 1, 8

Ἱερεμίου προφήτου·

Ἐκ Δὰν ἀκουσόμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ· σεισθήσεται πᾶσα ἡ γῆ, καὶ ἥξει καὶ καταφάγεται τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ.

---

**4 I suppl. 289** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**7 – 8 I 1140** Mal. 4, 4 (Wahl, *Prophetenzitate*, p. 281) **11 – 13 I 1141** Ier. 8, 16 (Wahl, *Prophetenzitate*, p. 513–514)

---

**6 – 8 I 1140** C (183v[25]26–27); $V^{W}$ cap. A 15, 11; $V^{O}$ cap. A 15, 11; $V^{Ph}$ cap. A 15, 11; $H^{I}$ cap. A 13, 11; $L^{c}$ cap. A 42, 11; P cap. A 46, 11; M cap. A 46, 11; E cap. 153, 3; T cap. A 68, 10; *deest in* $H^{II}$ $V^{E\,(lac.)}$ $L^{b}$ R **10 – 13 I 1141** C (183v[28]28–184r1); R cap. H 4, 5; *deest in* $H^{II}$

---

**I 1140** (a) C E προφήτου] *om.* E (b) *s. a.* $V^{W}V^{O}V^{Ph}$ $H^{I}$ $L^{c}$ (c) *s. d.* PM T **I 1141** προφήτου] *om.* R

---

**7** ἀποστέλω P, ἀποστελῶ $L^{c}$ E ὑμῖν] *om.* $V^{O}$ ἡλιαν M, ἠλίαν $H^{I}$ θεσβιτην M

## I 1142 / C cap. Η 1, 9

Δανιὴλ προφήτου·

Ὀπίσω τούτου ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ θηρίον τέταρτον, φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ μεγάλοι, ἐσθίον καὶ λεπτύνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ διέφερεν περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα αὐτῷ δέκα. Καὶ προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβαινεν ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ, καὶ ἰδοὺ ὀφθαλμοὶ ὡς ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα. Ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ· κριτήριον ἐκάθισεν, καὶ βίβλοι ἠνεώχθησαν.

## I 1143 / C cap. Η 1, 10

Καὶ μετ᾽ ὀλίγα·

Καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν θηρίον καὶ φοβερὸν περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτύνον, καὶ τὰ λοιπὰ τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ περὶ τῶν κεράτων αὐτοῦ

---

**3 – 17 I 1142** Dan. 7, 7–10 (Wahl, *Prophetenzitate*, p. 689–691) **20 – 723, 18 I 1143** Dan. 7, 19–26 (Wahl, *Prophetenzitate*, p. 692–694)

---

**2 – 17 I 1142** C (184r[2]2–20); R cap. Η 4, 6; *deest in* $H^{II}$ **19 – 723, 18 I 1143** C (184r[20]21–184v18); R cap. Η 4, 7; *deest in* $H^{II}$

---

**I 1142** προφήτου] *om.* R **I 1143** (a) C (b) *s. d.* R

---

**4** ἰσχύον R **5** σιδηροὶ $C^{p.\,c.\ ut\ videtur}$ R ἤσθιον R λεπτύνον] *sic acc.* C, ἐλέπτυνον R **6** διέφερεν] διέφθειρε R **9** τρία] γ′ C **10** ἐξεριζώθη C **13** ἐκάθισε R καὶ$^{2}$] *om.* R **14** ὡσεὶ ἔριον] ὡς ἱμάτιον R **15 – 16** ἐκπορευόμενος] *om.* R **20 – 21** διαφέρον] διαφθεῖρον R **21** πᾶν θηρίον] πάντα τὰ θηρία R **22** σιδηροί R χαλκοί $C^{p.\,c.}$ R ἤσθιον R λεπτύνον] *sic acc.* C, ἐλέπτυνον R

τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ περὶ τοῦ ἑτέρου τοῦ ἀναβαίνοντος καὶ ἐκτινάξαντος τῶν προτέρων τρία· καὶ τὸ κέρας ἐκεῖνο, ᾧ οἱ ὀφθαλμοὶ αὐτῷ καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν. Ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσεν πρὸς αὐτούς, ἕως οὗ ἦλθεν ὁ παλαιὸς τῶν ἡμερῶν καὶ τὸ κρῖμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ ὁ καιρὸς ἔφθασεν, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. Καὶ εἶπεν μοι οὕτως· Τὸ θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτήν, καὶ κατακόψει αὐτήν. Καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει· καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθήσεται ἐν τῇ χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καὶ ἥμισυ καιροῦ. Τὸ κριτήριον ἐκάθισεν, καὶ τὴν ἀρχὴν αὐτοῦ μεταστήσουσιν τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους.

## I 1144 / C cap. H 1, 11

Τοῦ αὐτοῦ·

Ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου, καὶ ἔσται καιρὸς θλίψεως, οἵα οὐ γέγονεν ἐπὶ τῆς γῆς ἕως τοῦ καιροῦ ἐκείνου.

---

**21 – 23 I 1144** Dan. 12, 1 (Wahl, *Prophetenzitate*, p. 695–696)

---

**20 – 23 I 1144** C (184v[18]19–22); R cap. H 4, 8; *deest in* H$^{II}$

---

**I 1144** (a) C (b) *s. d.* R

---

**2** τριῶν R **3** ᾧ] ὃ R **6** κρῖμα] *sic acc.* C R **7** κατεῖχον C **8** εἶπον *(-ο- e corr.)* R **9** βασιλείας] *add.* τῆς γῆς R **11** αὐτοῦ] *om.* R δέκα$^2$] ι' C **12** ἕτερος ἀναστήσεται R **14** παλαιώσει] πολεμήσει R **15** καιρὸν R **16** καιρῶν] καιρὸν R **23** οἵα] *sic* C, οἷος R γέγονεν] *add.* ἀπ' ἀρχῆς R

## I 1145 / C cap. H 1, 12

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ σμγʹ·

Προσῆλθον τῷ κυρίῳ οἱ μαθηταὶ αὐτοῦ κατ᾽ ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ συντελείας τοῦ αἰῶνος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν. Μελλήσετε δὲ ἀκούειν πολέμους· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ᾽ οὔπω ἐστὶν τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους· ταῦτα δὲ ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν καὶ μισήσουσιν ἀλλήλους. Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς· καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος.

---

**3 – 726, 19 I 1145** ***Versio*** **C R** Matth. 24, 3–44

---

**2 – 727, 2 I 1145** C (184v[22–23]23–186r14); $V^{W}$ cap. A 15, 23–24; $V^{O}$ cap. A 15, 28–29; $V^{Ph}$ cap. A 15, 27–28; $H^{I}$ cap. A 13, 27–28; $L^{c}$ cap. A 42, 28–29; P cap. A 46, 27–28; M cap. A 46, 27–28; E cap. 153, 4; T cap. A 68, 26–27; R cap. H 4, 9–10; *deest in* $H^{II}$ $V^{E\,(lac.)}$ $L^{b}$

---

**I 1145** (a) C (b) Ματθαίου, κεφαλαίῳ σμγʹ / Τοῦ αὐτοῦ R *(cf. infra, app. crit. txt.)* (c) Κεφαλαίου σνηʹ / Κατὰ Μάρκον, κεφαλαίου ρνβʹ, κατὰ Ματθαῖον, κεφαλαίου ϲξʹ P (d) Κεφαλαίου σνηʹ / Μάρκου κεφαλαίου ρνβʹ, Ματθαίου κεφαλαίου ϲξʹ M T Μάρκου] μαρκου M, *praem.* ὁμοίως T ρνβʹ] ρνςʹ T κεφαλαίου²] *om.* M ϲξʹ] ϲζʹ M (e) Ὁμοίως / *s. a.* $V^{O}V^{Ph}$ (f) Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ $V^{W}$ (g) Εὐαγγελίου E (h) σνηʹ / *s. d.* $L^{c}$ (i) *s. a.* / *s. a.* $H^{I}$

---

**3** τῷ κυρίῳ] *om.* R κατ᾽ ἰδίαν] *om.* R **5** συντελείας] *praem.* τῆς R **7** ἐγὼ εἰμὶ R **8 – 9** Μελλήσετε – τέλος] *om.* R *(hic etiam caesura in* R*)* **9** γὰρ²] δὲ R **10** ἐπὶ¹] ἐπ᾽ C **11** τόπον C ὠδίνων εἰσὶ R Τότε] *add.* γὰρ C **12** θλίψιν] *sic acc.* C R **18** τοῦτο] *om.* C

Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη, ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μὴ δὲ σαββάτου. Ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ᾽ οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε· ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν, μὴ ἐξέλθητε· Ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου· ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς· καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος καὶ φωνῆς μεγάλης, καὶ συλλέξουσιν τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλός, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς

**1** Dan. 9, 27; 11, 31; 12, 11

**1** εἴδητε C **3** ἐπὶ[1]] εἰς R **4** δόματος R καταβαινέτω R τὰ] τὸ R αὐτοῦ] ἱμάτιον R **5** ὀπίσω] *praem.* εἰς τὰ R **8** θλίψις] *sic acc.* C R οἷα C **9** οὐδ᾽ οὐ] οὐδὲ R **10** ἐκλεκτούς μου C **12** ὧδε[2]] ἐκεῖ R γὰρ] *om.* R **14** ἐκλεκτούς μου C **15** ὑμῖν[2]] *om.* C **16** ταμίοις C[a. c. ut videtur] **17** φαίνει R **19** οἱ] *praem.* καὶ R ἀετοί] *hic perperam caesura in* C **20** θλίψιν] *sic acc.* C **22** ἐκ] ἀπὸ R **31** φῦλλα R[p. c.]

τὸ θέρος· οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν· Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν ταῦτα πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.

Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατὴρ μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ, τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται· δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασεν διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διατοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Εὐθέως μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς· καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος καὶ φωνῆς μεγάλης, καὶ συλλέξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ’ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

---

**20 – 27 I 1145 *Versio* $V^{W}$ cap. A 15, 23 $V^{O}$ cap. A 15, 28 $V^{Ph}$ cap. A 15, 27 $H^{I}$ cap. A 13, 27 $L^{c}$ cap. A 42, 28 $PML^{b}$ cap. A 46, 27 $T$ cap. A 68, 26** Matth. 24, 29–31

---

**1** γινώσκετε] *praem.* τότε R **3** ἂν] *om.* C *(supplev. man. rec.)* πάντα ταῦτα R **5** καὶ] ἢ R **6** πατήρ μου R δὲ] γὰρ R **10** ἕως] ὡς R **11** ἔσται] *om.* R **15** ἡμέρᾳ] ὥρα R **16** φυλακῇ] ὥρα R **17** ἂν] *om.* R **20** θλίψιν] *sic acc. codd.* **22** φανίσονται $V^{O}$ **25** ἀποστελει P, ἀποστελλεῖ M αὐτοῦ] αὐτῆς $V^{O}$ **26** καὶ[1]] *om.* $V^{O}V^{Ph}$ $L^{b}$ E τοὺς ἐκλεκτοὺς] *in mg.* $V^{W}$ **27** τεσσαρων M, τεσάρων $V^{O\,a.\,c.}$ P οὐρανῶν] ουρανον T, του ουρανου M

Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατὴρ μόνος.

## <I suppl. 290 / V cap. A 15, 29>

## <I suppl. 291 / V cap. A 15, 31>

## I 1146 / C cap. H 1, 13

Λουκᾶ εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ σνζʹ·

Τότε ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἤχους θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

**3 I suppl. 290** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **4 I suppl. 291** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**1 – 2 I 1145** ***Versio*** $V^{W\ \text{cap. A 15, 24}}$ $V^{O\ \text{cap. A 15, 29}}$ $V^{Ph\ \text{cap. A 15, 28}}$ $H^{I\ \text{cap. A 13, 28}}$ $L^{c\ \text{cap. A 42, 29}}$ $PML^{b\ \text{cap. A 46, 28}}$ $E^{\text{cap. 153, 4}}$ $T^{\text{cap. A 68, 27}}$ Matth. 24, 36 **7 – 12 I 1146** Luc. 21, 25–27

**6 – 12 I 1146** C (186r[14]15–21); $V^{W}$ cap. A 15, 28; $V^{O}$ cap. A 15, 33; $V^{Ph}$ cap. A 15, 32; $H^{I}$ cap. A 13, 32; $L^{c}$ cap. A 42, 33; P cap. A 46, 31; M cap. A 46, 31; T cap. A 68, 30; R cap. H 4, 11; *deest in* $H^{II}$ $V^{E\ (\text{lac.})}$ $L^{b}$

**I 1146** (a) C R εὐαγγελιστοῦ, ἐν] *om.* R (b) Κεφαλαίου σνζʹ $L^{c}$ PM T Κεφαλαίου] *om.* $L^{c}$ (c) Ὁμοίως $V^{O}V^{Ph}$ $H^{I}$ (d) Τοῦ αὐτοῦ $V^{W}$

**1** δὲ] *om.* T ἐκείνης] *post* ὥρας *transpos.* M τῆς$^{2}$] *om.* $V^{Ph}$ $H^{I}$ $L^{c}$ **8** ἤχου R **8 – 9** ἀπὸ ψυχῶν τῶν $V^{W}$ P, ἀποψυχῶν τῶν T, ἀποψυχων τῶν M **11** ἐν νεφέλῃ] ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ κατὰ ἀνατολὰς *(cf. Ps. 67, 34¹)* R

## I 1147 / C cap. H 1, 14

Τοῦ αὐτοῦ, ἐν κεφαλαίῳ σνθʹ·

Προσέχετε ἑαυτοῖς μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνιδίως ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

## I 1148 / C cap. H 1, 15

Τῶν Πράξεων·

Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτόν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπεν δὲ πρὸς αὐτούς· Οὐχ᾽ ὑμῶν ἐστὶν γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

---

**3 – 5** Προσέχετε – ἐκείνη] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 30.1./1. (ed. Ihm, p. 625)

---

**3 – 6 I 1147** Luc. 21, 34–35 **9 – 12 I 1148** Act. 1, 6–7

---

**2 – 6 I 1147** C (186r[21–22]22–27); $V^{O}$ cap. A 15, 34; $V^{Ph}$ cap. A 15, 33; $H^{I}$ cap. A 13, 33; $L^{c}$ cap. A 42, 34; P cap. A 46, 32; M cap. A 46, 32; T cap. A 68, 31; R cap. H 4, 12; *deest in* $H^{II}$ $V^{E\ (lac.)}$ $V^{W}$ $L^{b}$ **8 – 12 I 1148** C (186r[27]27–186v1); *deest in* $H^{II}$ R

---

**I 1147** (a) C (b) Κεφαλαίῳ ονθʹ *(sic)* R (c) Κεφαλαίου σνθʹ $L^{c}$ PM T Κεφαλαίου] *om.* $L^{c}$ M (d) *s. a.* $V^{O}$ $H^{I}$ (e) *s. d.* $V^{Ph}$

---

**3** βαρηθῶσιν *(-ω- M)* C M ὑμῶν] *post* καρδίαι *transpos.* M R **4** ἐφνιδίως P, ἐφνίδιος $V^{Ph\ a.\ c.}$, ἐφνηδίως $V^{O\ a.\ c.}$, αιφνηδιως M, αἰφνηδίος $V^{O\ p.\ c.}$, αἰφνίδιος $V^{Ph\ p.\ c.}$ $H^{I}$ *(NT)*, αἰφνίδιον R **4 – 5** ἐφ᾽ ἡμᾶς ἐπιστῇ M T, εἰς ὑμᾶς ἐπιστῇ $L^{c}$, ὑμᾶς ἐπιστῇ C, ἐπιστῇ ἐφ᾽ ὑμᾶς R **5** ἐλεύσεται $L^{c}$ **6** καθημένους] κατοικοῦντας M προσώπου *(-ῶ-)* C P T

## I 1149 / C cap. H 1, 16

Ἐκ τῆς πρὸς Θεσσαλονικεῖς α′ ἐπιστολῆς·

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται. Ὅταν γὰρ εἴπωσιν· Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐπιστήσεται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.

## I 1150 / C cap. H 1, 17

Πρὸς Θεσσαλονικεῖς β′·

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ’ αὐτόν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, μήτε θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι’ ἐπιστολῆς ὡς δι’ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα κυρίου. Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ

---

**3 – 7 I 1149** I Thess. 5, 1–3 **10 – 730, 16 I 1150** II Thess. 2, 1–12

---

**2 – 7 I 1149** C (186v[2]2–8); $V^{W}$ cap. A 15, 36; $V^{O}$ cap. A 15, 42; $V^{Ph}$ cap. A 15, 41; $H^{I}$ cap. A 13, 41; $L^{c}$ cap. A 42, 42; P cap. A 46, 40; M cap. A 46, 40; E cap. 153, 6; T cap. A 68, 39; R cap. H 4, 13; *deest in* $H^{II}$ $V^{E\,(lac.)}$ $L^{b}$ **9 – 730, 16 I 1150** C (186v [8]9–187r4); $V^{W}$ cap. A 15, 37–38; $V^{O}$ cap. A 15, 43; $V^{Ph}$ cap. A 15, 42; $H^{I}$ cap. A 13, 42; $L^{c}$ cap. A 42, 43; P cap. A 46, 41; M cap. A 46, 41; T cap. A 68, 40; R cap. H 4, 14; *deest in* $H^{II}$ $V^{E\,(lac.)}$ $L^{b}$

---

**I 1149** (a) C T R Ἐκ τῆς] *om.* R θεσαλονικεις T α′] β′ T ἐπιστολῆς] *om.* T R (b) Ἀποστόλου E (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{O}V^{Ph}$ $H^{I}$ $L^{c}$ (e) *s. d.* PM **I 1150** (a) R (b) Ἐκ τῆς αὐτῆς C (c) Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ $V^{W}$ *(cf. infra, app. crit. txt.)* (d) *s. a.* $V^{O}V^{Ph}$ $H^{I}$ $L^{c}$ PM (e) *s. d.* T

---

**3 – 4** Περὶ – ὅτι] *om.* E **3** ἔχεται *(*ἐ- M*)* $V^{O\,a.\,c.}$ PM T **4** γράφεσθαι ὑμῖν R οἴδατε] γνώσεσθαι $L^{c\,a.\,c.\,ut\,videtur}$ **5 – 7** Ὅταν – ἐκφύγωσιν] καὶ τὰ ἑξῆς $V^{W}$ **6** εφνιδίως P, εφνιδιος M, ἐφνήδιος $V^{O\,a.\,c.}$ $V^{Ph}$, αἰφνήδιος $V^{O\,p.\,c.}$ αὐτοῖς] *om.* C ἐφίσταται *(*εφι- M*)* M R ὥσπερ] *praem.* καὶ R **6 – 7** ωδὶν P, ωδιν M, ὡδὴν $V^{O}V^{Ph}$, ὡδὶς T **7** ἐν γαστρὶ] ἐγγαστρὶ $V^{Ph}$ T **10** ὑμᾶς] ἡμᾶς $V^{O}$, ὑμεῖς M **11** ἐπ’ αὐτόν] επιτοαυτο M **12** ἡμᾶς $V^{O\,a.\,c.}$ T ἀπὸ] ὑπὸ $V^{W}$ μήτε[1]] μητε M, μὴ δὲ $V^{W}V^{O}V^{Ph}$ $H^{I}$ $L^{c}$ P T θροεῖσθε T R, θροεῖστε $V^{O}$ **13** μήτε[1] – λόγου] *om.* $V^{O}$ **14** ἀνέστηκεν $V^{O}$ ἡμᾶς $V^{O}$ ἐξαπατήσει $V^{O}$ P T, ἐξαπατησι M, ἐξαπατάτω R **15** ἀποκαλυφθήσεται C

ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστιν θεός. Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν; Καὶ νῦν τὸ κατέχον οἴδατε εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται. Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία κατ’ ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις, ἀνθ’ ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς. Καὶ διατοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσιν πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ’ εὐδοκήσαντες τῇ ἀδικίᾳ.

## I 1151 / C cap. H 1, 18

Ἐκ τῆς πρὸς Τιμόθεον β′ ἐπιστολῆς·

Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς,

---

**19 – 731, 2 I 1151** II Tim. 3, 1–5

---

**18 – 731, 2 I 1151** C (187r[4–5]5–12); R cap. H 4, 15; *deest in* H$^{II}$

---

**I 1151** Ἐκ τῆς] *om.* R β′] δευτέρας R ἐπιστολῆς] *om.* R

---

**1** ἁμαρτίας] ἀνομίας *(*-ι- M*)* V$^{W}$ M **3** καθῆσαι V$^{Ph}$, καθισε M, *praem.* ὡς θεὸν T ἀποδεικνῦντα *(*-δι- M*)* M T, ἀποδεικνύοντα V$^{O}$V$^{Ph}$ L$^{c}$ H$^{I}$ R ἑαυτὸν] *om.* R **4** θεός] *hic caesura in* V$^{W}$ μνημονεύεται C$^{a.\ c.\ man.\ rec.}$ V$^{O}$ M ἔτι] *om.* C ὑμῖν] ἡμῖν M **6** αὐτοῦ V$^{W}$V$^{O}$V$^{Ph}$ H$^{I}$ L$^{c}$ PM T R **7** ἄρτι] *om.* R γεγένηται L$^{c}$ R **8** Ἰησοῦς] *add.* χριστὸς V$^{W}$V$^{O}$V$^{Ph}$ H$^{I}$ L$^{c}$ PM T ἀνέλοι C **9** αὐτοῦ – παρουσίας] *om.* C τὴν ἐπιφάνειαν V$^{O}$ **11 – 16** τέρασιν – ἀδικίᾳ] τὰ ἑξῆς V$^{W}$ **11 – 12** ἀδικίας] *praem.* τῆς R **12** τοῖς] *praem.* ἐν R ἀνθ’ ὧν] *add.* ἀπέλαβον τὸ ψεῦδος· καὶ C **13** ἐδέξατο L$^{c}$ Καὶ] *om.* C πέμπει V$^{O}$V$^{Ph}$ H$^{I}$ L$^{c}$ M T, πέμπη P **14** ψευδεῖ P, ψευδει M T **15** ἅπαντες *(*ἅ- P*)* P T

τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι.

## I 1152 / C cap. H 1, 19

Καὶ μεθ᾽ ἕτερα·

Πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται· πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

## I 1153 / C cap. H 1, 20

Ἐκ τῆς Πέτρου β′ ἐπιστολῆς·

…τοῦτο πρῶτον γινώσκοντες ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐν ἐμπαιγμονῇ ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι καὶ λέγοντες· Ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; Ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτως διαμένει ἀπ᾽ ἀρχῆς κτίσεως.

---

**5 – 7 I 1152** II Tim. 3, 12–13 **10 – 14 I 1153** II Petr. 3, 3–4

---

**4 – 7 I 1152** C (187r[13]13–16); *deest in* H$^{II}$ R **9 – 14 I 1153** C (187r[16]16–22); R cap. H 4, 16; *deest in* H$^{II}$

---

**I 1153** β′ ἐπιστολῆς] καθολικῆς δευτέρας R

---

**1** μᾶλλον φιλήδονοι R **11** ἐμπαιγμονῇ] ἐμπαίγμασιν R **13** ἧς] οὗ R

## I 1154 / C cap. H 1, 21

Καὶ μετ᾽ ὀλίγα·

Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. Οὐ βραδύνει κύριος τῆς ἐπαγγελίας ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ δι᾽ ὑμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. Ἥξει δὲ ἡ ἡμέρα κυρίου ὡς κλέπτης, ἐν ᾗ οἱ οὐρανοὶ ῥυζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσονται. Τούτων δὲ πάντων οὕτως λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας.

Ἥξει ἡ ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοὶ μὲν ῥυζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται.

---

**3 – 12 I 1154** ***Versio*** **C R** II Petr. 3, 8–12 **13 – 15 I 1154** ***Versio*** **$V^{W}V^{O}V^{Ph}$ $H^{I}$ $L^{c}$ PM T** II Petr. 3, 10

---

**2 – 15 I 1154** C (187r[22]22–187v4); $V^{W}$ cap. A 15, 40; $V^{O}$ cap. A 15, 45; $V^{Ph}$ cap. A 15, 44; $H^{I}$ cap. A 13, 44; $L^{c}$ cap. A 42, 45; P cap. A 46, 43; M cap. A 46, 43; T cap. A 68, 42; R cap. H 4, 17; *deest in* $H^{II}$ $V^{E\,(lac.)}$ $L^{b}$

---

**I 1154** (a) C R (b) Ἐκ τῆς Πέτρου β′ ἐπιστολῆς $H^{I}$ $L^{c}$ PM T Ἐκ τῆς] *om.* $L^{c}$ β′ ἐπιστολῆς] καθολικῆς β′ T β′] *om.* $H^{I}$ (c) Ἐκ τοῦ Πέτρου $V^{W}V^{O}$ Ἐκ τοῦ] *om.* $V^{W}$ (d) *s. a.* $V^{Ph}$ *(cf.* I suppl. 294 / V cap. A 15, 43 *lemma a* [SJD VIII/3]*)*

---

**3** ἀγαπητοί] *om.* R **4** κυρίου R μία ἡμέρα C **5** τὴν ἐπαγγελίαν R **6** ἡμᾶς $R^{p.\,c.\,ut\,videtur}$ βουλόμενος τινὰς R πάντας] *add.* ἡμᾶς R **7** δὲ] γὰρ R **8** ρυζηδὸν $C^{a.\,c.}$, ῥοιζηδὸν $C^{p.\,c.\,man.\,rec.}$ **11** καὶ[1]] ἐν R **13** Ἥξει] ἄξει *(rubricatoris vitio)* $L^{c}$, ἷξει M ρυζηδον M, ρυζιδὸν *(-ι- e corr.* $V^{W}$*)* $V^{W}$ P, ῥοιζηδὸν *(-*δον T*)* $H^{I}$ $L^{c}$ T **14** λυθήσεται $L^{c}$ γῆ] *praem.* καὶ $V^{W}$, *add.* δε M αὐτῇ] ναυτη M, αὐτοῖς $L^{c}$

# I 1155 / C cap. H 1, 22

Τοῦ ἁγίου Εἰρηναίου Λουγδούνων·

Εἰς τὸ θηρίον τὸ ἐρχόμενον ἀνακεφαλαίωσις γίνεται πάσης ἀδικίας καὶ παντὸς δόλου, ἵνα ἐν αὐτῷ συρρεύσασα καὶ συγκλυδωνισθεῖσα πᾶσα δύναμις ἀποστατικὴ εἰς τὴν κάμινον βληθῇ τοῦ πυρός. Καταλλήλως οὖν καὶ τὸ ὄνομα αὐτοῦ ἕξει τὸν ἀριθμὸν χξϛʹ, ἀνακεφαλαιούμενον ἐν αὐτῷ τὴν πρὸ τοῦ κατακλυσμοῦ πᾶσαν κακίαν – *Νῶε γὰρ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς* ἐπῆλθεν *τῇ γῇ* εἰς ἐξάλειψιν τῆς κακίας –, ἀνακεφαλαιούμενον δὲ καὶ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ πᾶσαν εἰδωλολατρείαν, μέχρις οὗ ἡ τοῦ Ναβουχοδονόσωρ ἀνασταθεῖσα εἰκών, ἥτις ὕψος μὲν εἶχεν πηχῶν ἑξήκοντα, εὖρος δὲ πηχῶν ἕξ· ὅλη γὰρ ἡ εἰκὼν ἐκείνη, προτύπωσις ἦν τῆς τοῦ Ἀντιχρίστου παρουσίας. Τὰ οὖν ἑξακόσια ἔτη τοῦ Νῶε, ἐφ᾿ οὗ ἐγένετο ὁ κατακλυσμὸς διὰ τὴν ἀποστασίαν, καὶ ὁ πηχισμὸς τῆς εἰκόνος τὸν ἀριθμόν, ὡς εἴρηται, σημαίνουσιν τοῦ ὀνόματος, εἰς ὃν συγκεφαλαιοῦται τῶν ἑξακισχιλίων ἐτῶν πᾶσα ἀποστασία καὶ ἀδικία καὶ πονηρία.

Τούτων δὲ οὕτως ἐχόντων καὶ ἐν πᾶσιν τοῖς σπουδαίοις καὶ ἀρχαίοις ἀντιγράφοις τοῦ ἀριθμοῦ τούτου κειμένου, καὶ μαρτυρούντων ἐκείνων αὐτῶν τῶν κατ᾿ ὄψιν τὸν μακάριον Ἰωάννην ἑωρακότων, ὅτι ὁ ἀριθμὸς οὗτος τῶν χξϛʹ τοῦ ὀνόματός ἐστιν τοῦ

---

**5 – 6** εἰς – πυρός] cf. Apoc. 19, 20 **6** χξϛʹ] cf. ibid. 13, 18 **8 – 9** Gen. 7, 6

---

**3 – 12 I 1155** Εἰς – ἕξ] Irenaeus Lugdunensis, *Adversus haereses*, V, 29, 22–37 (Fr. gr. 24, 6–20) (ed. Rousseau/Doutreleau/Mercier, p. 366–368); Holl, n° 171, 1–10 **12 – 17** ὅλη – πονηρία] Ibid., V, 29, 40–48 (Fr. gr. 24, 20–26) (p. 368); Holl, n° 171, 10–16 **18 – 734, 1** Τούτων – ἐκείνου] Ibid., V, 30, 1–7 (Fr. gr. 24, 27–31) (p. 370); Holl, n° 171, 17–21

---

**2 – 735, 3 I 1155** C (187v[4–5]5–188v4); R cap. H 4, 18; *deest in* H[II]; PG 96, 525, 30

---

**I 1155** Λουγδούνων] *om.* C

---

**3** Εἰς – ἐρχόμενον] *haec verba lemmati adnectuntur in* C R **4 – 5** συγκλοίδωνισθεῖσα R[a. c. ut videtur], συγκλυδασθεῖσα C **5** εἰς] κατὰ R **7** ἀνακεφαλαιούμενον] *correx. Rousseau/Doutreleau/Mercier*, ἀνακεφαλαιούμενος C R αὐτῷ] ἑαυτῷ *scrips. Rousseau/Doutreleau/Mercier* **9** κακίας] ἁμαρτίας R ἀνακεφαλαιούμενον] *scripsimus*, ἀνακεφαλαιούμενος C R **10** εἰδωλολατρίαν R μέχρις – τοῦ[2]] μέχρι τούτου *(-του e corr.)* C **11** ναβουχοδονόσορ R **12** ἕξ] ϛʹ R **13** ἑξακόσια] χʹ R **14** ἐφ᾿] ἀφ᾿ R ἐγένετο] *post* κατακλυσμὸς *transpos.* R **16** ἑξακισχιλίων] ͵ϛ R **18** τοῖς] *om.* R **19** ἀντιγράφοις] *om.* R

θηρίου ἐκείνου, οὐκ οἶδα πῶς ἐσφάλησάν τινες ἐπακολουθήσαντες ἰδιωτισμῷ, καὶ τὸν μέσον ἠθέτησαν ἀριθμὸν τοῦ ὀνόματος, πεντήκοντα ψήφους ὑφελόντες, καὶ ἀντὶ τῶν ἓξ δεκάδων, μίαν δεκάδα βουλόμενοι εἶναι. Ἄλλοι δὲ ἀνεξετάστως τοῦτο λαβόντες, οἱ μὲν ἁπλῶς καὶ ἀκαίρως ἐπετήδευσαν, οἱ δὲ κατὰ ἀπειροκαλίαν ἐτόλμησαν καὶ ὀνόματα ἀναζητεῖν, ἔχοντα τὸν ἐσφαλμένον καὶ διημαρτημένον ἀριθμόν. Ἀλλὰ τοῖς μὲν ἁπλῶς καὶ ἀκάκως τοῦτο ποιήσασιν εἰκὸς καὶ συγγνώμην ἔσεσθαι παρὰ θεοῦ· ὅσοι δὲ κατὰ κενοδοξίαν ὁρίσουσιν ὀνόματα ἐμπεριεκτικὰ τοῦ διημαρτημένου ἀριθμοῦ καὶ τὸ ὑπ᾽ αὐτῶν ἐπινοηθὲν ὄνομα ὁρίσονται, οὐκ ἀζήμιοι οἱ τοιοῦτοι ἐξελεύσονται, ἔτι καὶ ἑαυτοὺς καὶ τοὺς ἐμπιστεύσαντας αὐτοῖς ἐξαπατήσαντες. Καὶ πρώτη μὲν ζημία ἐν τῷ ἀποτυχεῖν τῆς ἀληθείας καὶ τὸ μὴ ὂν ὡς ὂν ὑπολαβεῖν· ἔπειτα δὲ τοῦ προσθέντος ἢ ἀφελόντός τι τῆς Γραφῆς ἐπιτιμίαν οὐ τὴν τυχοῦσαν ἔχοντος, εἰς ταύτην ἐμπεσεῖν ἀνάγκη τὸν τοιοῦτον. Ἐπακολουθήσει δὲ καὶ ἕτερος οὐχ᾽ ὁ τυχὼν κίνδυνος τοῖς ψευδῶς προειληφόσιν εἰδέναι τὸ τοῦ Ἀντιχρίστου ὄνομα· εἰ γὰρ ἄλλο μὲν οὗτοι δοκοῦσιν, ἄλλο δὲ ἐκεῖνος ἔχων ἐλεύσεται, ῥαδίως ἐξαπατηθήσονται παρ᾽ αὐτοῦ, ὡς μηδέπω παρόντος ἐκείνου, ὃν φυλάσσεσθαι προσήκει.

Ἀσφαλέστερον οὖν καὶ ἀκινδυνότερον τὸ περιμένειν τὴν ἔκβασιν τῆς προφητείας ἢ τὸ καταστοχάζεθαι καὶ ὑπομαντεύεσθαι ὀνόματα τὰ τυχόντα, πολλῶν ὀνομάτων εὑρεθῆναι δυναμένων ἐχόντων τὸν προειρημένον ἀριθμόν, ὡς τὸ Εὐανθᾶς καὶ Τειτᾶν καὶ Λατεῖνος καὶ Παπεῖσκος· περὶ ὧν ἀνάγκη σφάλλεσθαι τῆς

---

**1 – 4** οὐκ – εἶναι] IRENAEUS LUGDUNENSIS, *Adversus haereses*, V, 30, 12–15 (Fr. gr. 24, 33–36) (ed. Rousseau/Doutreleau/Mercier, p. 372); Holl, n° 171, 21–24 **4 – 20** Ἄλλοι – προσήκει] IBID., V, 30, 19–38 (Fr. gr. 24, 36–56) (p. 372–376); Holl, n° 171, 24–41 **21 – 24** Ἀσφαλέστερον – ἀριθμόν] IBID., V, 30, 59–62 (Fr. gr. 25, 1–5) (p. 378–380); Holl, n° 172, 1–4 **24 – 735, 1** ὡς – ἐρχόμενον] cf. IBID., V, 30, 68–75 (Fr. gr. 25, 5–6 app. crit.) (p. 380–382); Holl, n° 172, 4–7

---

**1** ἐσφάλησαν τινὲς R **3** πεντήκοντα] ν′ R ψήφισμα R **4** τοῦτον R **6** ὄνομα R ἔχον R **9** ὁρίσωσιν C ἐμπεριεκτικὰ] *om.* R **10** ἀριθμοῦ] *add.* νενομοθετεῖσθαι R **10 – 11** ἀζήμιοι – τοιοῦτοι] ἀναίτιοι οὗτοι R **11** ἑαυτοὺς] αὐτοὺς R **11 – 12** ἐμπιστευθέντας C, credentes *ed. (lat.)* **12** πρῶτον R **13** τοῦ] ποῦ R **14** ἀφελόντος τί R **15** αὐτὴν R **15 – 16** ἐπακολουθεῖ C **19** παρ᾽] πρὸς C μηδέπω] μὴ δέ που R **22 – 23** ὑπομαντεύεσθαι – τυχόντα] καταμαντεύεσθαι ὀνόματος τυχὸν καὶ ἐπὶ R **23 – 24** δυναμένων – ἀριθμόν] δυναμένου τοῦ αὐτοῦ ἀριθμοῦ R **24** εὐανθὰς R **24 – 25** Τειτᾶν καὶ] *om.* R **25** λατῖνος R Παπεῖσκος] *sic* C *(ab Irenaeo non nominatus)*, παπίσκος R

ἀληθείας τὸν περὶ ἓν αὐτῶν νομίζειν εἶναι τὸν ἐρχόμενον. Εἰ γὰρ πολλά ἐστιν τὰ εὑρισκόμενα ὀνόματα ἔχοντα τὸν ἀριθμόν, ποῖον ἐξ αὐτῶν φορέσει ὁ ἐρχόμενος ζητηθήσεται.

## I 1156 / C cap. H 1, 23

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου Ῥώμης, περὶ Χριστοῦ καὶ τοῦ Ἀντιχρίστου·

Ἀλλὰ τούτων ἐν τῷ προοιμίῳ εἰς δόξαν θεοῦ εἰρημένων, δίκαιόν ἐστιν ἡμᾶς ἐφαψαμένους αὐτῶν τῶν θείων Γραφῶν, ἐπιδεῖξαι δι' αὐτῶν τίς καὶ ποταπὴ ἡ τοῦ Ἀντιχρίστου παρουσία, ποίῳ δὲ καιρῷ ἢ χρόνῳ *ὁ ἄνομος ἀποκαλυφθήσεται*, πόθεν δὲ καὶ ἐκ ποίας φυλῆς, καὶ τί τὸ τούτου ὄνομα, διὰ τοῦ ἀριθμοῦ ἐν τῇ Γραφῇ ἡμῖν μηνυόμενον, πῶς δὲ πλάνην μὲν τῷ λαῷ ἐγγεννήσει, ἐπισυνάξας αὐτὸν *ἐκ τῶν περάτων τῆς γῆς*, θλίψιν δὲ καὶ διωγμὸν ἐπὶ τοὺς ἁγίους ἐπεγερεῖ, καὶ πῶς ἑαυτὸν δοξάσει ὡς θεόν, τίς δὲ ἡ τούτου συντέλεια, πῶς δὲ ἡ ἐπιφάνεια τοῦ κυρίου ἀποκαλυφθήσεται ἀπ' οὐρανῶν.

---

**10** II Thess. 2, 8 **11 – 12** διὰ – μηνυόμενον] cf. Apoc. 13, 18 **13** Matth. 12, 42; Luc. 11, 31 θλίψιν – διωγμὸν] cf. Matth. 13, 21 **14** καὶ – θεόν] cf. II Thess. 2, 4

---

**1 – 3** Εἰ – ζητηθήσεται] Ibid., V, 30, 63–65 (Fr. gr. 25, 6–8) (p. 378–380); Holl, n° 172, 7–9 **7 – 16 I 1156** Hippolytus Romanus, *De antichristo*, V (ed. Achelis, p. 7, 10–20); Holl, n° 343

---

**5 – 16 I 1156** C (188v[4–5]5–17); R cap. H 4, 19; *deest in* H$^{II}$; PG 96, 525, 32–34

---

**I 1156** Τοῦ ἁγίου] *om.* R τοῦ] *om.* C

---

**1** νομίζειν – τὸν$^{2}$] *om.* R **2** πολλὰ ἐστὶ R τὸν] *add.* αὐτὸν R **3** φορέσειν R ἀρχόμενος R **7** τῷ] *om.* R **7 – 8** δίκαιόν ἐστιν] δίκαιον R **10** δὲ] δὴ C **11** τούτου τὸ R τῇ] *om.* C **12** μηνυομένου R **13** θλίψιν] *sic acc.* C R **14** ἁγίους] ἀνθρώπους C

## I 1157 / C cap. H 1, 24

Καὶ μετ᾽ ὀλίγα·

Τοῦ μὲν οὖν κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ διὰ τὸ βασιλικὸν καὶ ἔνδοξον ὡς λέοντος προκεκηρυγμένου, τῷ αὐτῷ τρόπῳ καὶ τὸν διάβολον ὁμοίως λέοντα προσηγόρευσαν αἱ θεῖαι Γραφαὶ διὰ τὸ τυραννικὸν αὐτοῦ καὶ βίαιον. Κατὰ πάντα γὰρ ἐξομοιοῦσθαι βούλεται ὁ πλάνος τῷ υἱῷ τοῦ θεοῦ. Λέων μὲν ὁ Χριστός, καὶ λέων ὁ Ἀντίχριστος. Βασιλεὺς ὁ Χριστός, καὶ βασιλεὺς ἐπίγειος ὁ Ἀντίχριστος. Ἐδείχθη ὁ σωτὴρ ἀρνίον, καὶ αὐτὸς ὁμοίως φανήσεται ὡς ἀρνίον, ἔσωθεν λύκος ὤν. Ἐμπερίτομος <***> καὶ αὐτὸς ὁμοίως ἐλεύσεται. Ἀπέστειλεν ὁ Ἰησοῦς εἰς πάντα τὰ ἔθνη τοὺς ἀποστόλους, καὶ αὐτὸς ὁμοίως πέμψει ψευδαποστόλους. Συνήγαγεν ὁ σωτὴρ τὰ ἐσκορπισμένα πρόβατα, καὶ αὐτὸς ὁμοίως συνάξει τὸν ἐσκορπισμένον λαὸν τῶν Ἰουδαίων. Ἔδωκεν ὁ κύριος σφραγίδα τοῖς εἰς αὐτὸν πιστεύουσι, καὶ αὐτὸς δώσει ὁμοίως. Ἐν σχήματι ἀνθρώπου ἐφάνη ὁ κύριος, καὶ αὐτὸς ἐν σχήματι ἀνθρώπου ἐλεύσεται. Ἀνέστησεν ὁ σωτὴρ

---

**4** ὡς λέοντος] Gen. 49, $9^3$; Apoc. 5, 5 **5** λέοντα] Ps. 21, $14^2$; I Petr. 5, 8 **8** Βασιλεὺς] Ioh. 1, 49 **9** βασιλεὺς – Ἀντίχριστος] cf. ibid. 12, 31; 14, 30; 16, 11 **9 – 10** ἀρνίον] Ier. 11, 19 **10** καὶ – ἀρνίον] cf. Apoc. 5, 6 ἔσωθεν – ὤν] cf. Matth. 7, 15 **11** Ἐμπερίτομος] cf. Luc. 2, 21 καὶ – ἐλεύσεται] locum non repperimus **11 – 12** Ἀπέστειλεν – ἀποστόλους] cf. Matth. 28, 19 **13** ψευδαποστόλους] cf. II Cor. 11, 13 **13 – 14** Συνήγαγεν – πρόβατα] cf. Ioh. 11, 52; cf. etiam Matth. 26, 31; Marc. 14, 27 **14 – 15** καὶ – Ἰουδαίων] locum non repperimus **15** Ἔδωκεν – σφραγίδα] cf. Apoc. 7, 2; 9, 4 **16** καὶ – ὁμοίως] cf. ibid. 16, 2 Ἐν – κύριος] cf. Phil. 2, 7 **17** καὶ – ἐλεύσεται] locum non repperimus **17 – 737, 1** Ἀνέστησεν – ναόν] Ioh. 2, 19 et 21

---

**3 – 737, 4 I 1157** Hippolytus Romanus, *De antichristo*, VI (ed. Achelis, p. 7, 23 – 8, 16); Holl, n° 344

---

**2 – 737, 4 I 1157** C (188v[17]18–189r9); R cap. H 4, 20; *deest in* $H^{II}$; PG 96, 525, 32–34

---

**5** λέοντα ὁμοίως C **5 – 6** προανηγόρευσαν *ed.* **9** καὶ] *om.* C **10** φανεῖται R ὡς] *om.* C **11** *post* Ἐμπερίτομος *quaedam excidisse videntur*, ἦλθεν ὁ σωτὴρ εἰς τὸν κόσμον *ed.* Ἐμπερίτομος] *om.* R καὶ – ἐλεύσεται] *om.* C **11 – 12** Ἀπέστειλεν – ἀποστόλους] ὁ σωτὴρ τοὺς ἑαυτοῦ μαθητὰς ἀπέστειλεν εἰς πάντα τὰ ἔθνη C **14 – 15** τῶν Ἰουδαίων] *om.* C **15** κύριος] χριστὸς R σφραγίδα] *sic acc.* C R πιστεύσασιν C **16** ἐφάνη – κύριος] ἐλήλυθεν ὁ σωτήρ C

καὶ ἀπέδειξεν τὴν ἁγίαν αὐτοῦ σάρκα ὡς ναόν, καὶ αὐτὸς ἀναστήσει τὸν ἐν Ἱεροσολύμοις λίθινον ναόν. Καὶ ταῦτα μὲν τὰ τῆς πλάνης αὐτοῦ τεχνάσματα ἐν τοῖς ἑξῆς δηλώσομεν, νυνὶ δὲ πρὸς τὸ προκείμενον τραπῶμεν.

## I 1158 / C cap. H 1, 25

Καὶ μετ᾽ ὀλίγα·

Ἐπεὶ οὖν *λέοντα* καὶ *σκύμνον λέοντος* προανεφώνησαν αἱ Γραφαὶ τὸν Χριστόν, τὸ ὅμοιον καὶ ἐπὶ τοῦ Ἀντιχρίστου εἴρηται. Φησὶν γὰρ Μωϋσῆς οὕτως· *Σκύμνος λέοντος Δάν, καὶ ἐκπηδήσῃ ἐκ τοῦ Βασάν*. Ἀλλ᾽ ἵνα μὴ σφαλῇ τίς, ἐπὶ τοῦ σωτῆρος εἰρῆσθαι τὸ ῥητὸν τοῦτο νομίζων, ἐπιστησάτω τὸν νοῦν. *Δάν*, φησίν, *σκύμνος λέοντος*· τὴν φυλὴν ὀνομάσας τὴν τοῦ Δάν, ἐσαφήνισεν τὸ προκείμενον, ἐξ ἧς μέλλει ὁ διάβολος γεννᾶσθαι. Ὥσπερ γὰρ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὁ σωτὴρ γεγέννηται, οὕτως ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννᾶται ὁ Ἀντίχριστος. Ὅτι δὲ οὕτως ἔχει, τί φησιν ὁ Ἰακώβ; *Γενηθήτω Δὰν ὄφις ἐφ᾽ ὁδοῦ καθήμενος, δάκνων πτέρναν ἵππου*. Ὁ ὄφις οὖν τίς ἀλλ᾽ ἢ ὁ ἀπ᾽ ἀρχῆς πλάνος ἐν τῇ Γενέσει εἰρημένος, ὁ πλανήσας τὴν Εὔαν καὶ πτερνίσας τὸν Ἀδάμ; Ἀλλ᾽ ἐπειδὴ διὰ πλειόνων δεῖ ἀποδεῖξαι τὰ λεγόμενα, κατανοήσωμεν.

---

**1 – 2** καὶ$^{2}$ – ναόν] locum non repperimus **7** Gen. 49, $9^{1-4}$ **9 – 10** Deut. 33, $22^{2-3}$ **11 – 12** Ibid. 33, $22^{2}$ **15 – 16** Gen. 49, $17^{1-3}$ **16 – 18** Ὁ – Ἀδάμ] cf. ibid. 3, 1–6

---

**7 – 739, 30 I 1158** Hippolytus Romanus, *De antichristo*, XIV–XVII (ed. Achelis, p. 11, 5 – 14, 2); Holl, n° 345

---

**6 – 739, 30 I 1158** C (189r[9]10–190v8); R cap. H 4, 21; *deest in* $H^{II}$; PG 96, 525, 32–34

---

**I 1158** (a) C (b) *s. a.* R

---

**1** ἁγίαν] *om.* R ἑαυτοῦ R **1 – 2** ναόν – λίθινον] *om.* R **2 – 3** πλάνης] τέχνης R **3** τεχνάσματα] *add.* ἅτινα R **3 – 4** νυνὶ – τραπῶμεν] *om.* R **8** εἴρηται] *om.* R **9** οὕτως· Σκύμνος] *correximus (ed.)*, οὗτος σκύμνος R, σκύμνος C ἐκπηδήσει R **13** διάβολος] ἀντίχριστος *ed.* τοῦ] *om.* R **14** σωτὴρ] χριστὸς R τοῦ] *om.* C **15** οὕτως] μεσίτην R τί φησὶν R **19** κατανοήσομεν C, οὐκ ἀτονήσωμεν *ed.*

Ὅτι μὲν γὰρ ἐκ τῆς φυλῆς τοῦ Δὰν ὄντως μέλλει γεννᾶσθαι καὶ †ἀντιτάττεσθαι, τύραννος ὤν, βασιλεῖ†, κριτὴς δεινός, υἱὸς τοῦ διαβόλου, φησὶν ὁ Προφήτης· *Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ*. Ἀλλ᾽ ἐρεῖ τίς τοῦτο ὅτι ἐπὶ τὸν Σαμψὼν εἴρηται, ὃς ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννηθείς, *ἔκρινεν τὸν* λαὸν *εἴκοσιν ἔτη*. Τὸ μὲν ἐπὶ τοῦ Σαμψών, μερικὸν γεγένηται, τὸ δὲ καθόλου πληρωθήσεται ἐπὶ τὸν Ἀντίχριστον. Λέγει γὰρ καὶ Ἱερεμίας· *Σπουδὴν ἐκ Δὰν ἀκουσόμεθα ὀξύτητος ἵππων αὐτοῦ, ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ σεισθήσεται πᾶσα ἡ γῆ*. Λέγει δὲ καὶ ἕτερος προφήτης· Συνάξει πᾶσαν τὴν δύναμιν αὐτοῦ ἀπὸ ἡλίου ἀνατολῶν ἄχρις ἡλίου δυσμῶν· οὓς κέκληκεν καὶ οὓς οὐ κεκλήκει, πορεύσονται μετ᾽ αὐτοῦ. Λευκανεῖ τὴν θάλασσαν ἀπὸ τῶν ἱστίων τῶν πλοίων αὐτοῦ, καὶ μελανιεῖ τὸ πεδίον ἀπὸ τῶν θυρεῶν καὶ τῶν ὅπλων· καὶ πᾶς ὃς ἂν συναντήσῃ αὐτῷ ἐν πολέμῳ, ἐν μαχαίρᾳ πεσεῖται. Ὅτι μὲν οὖν ταῦτα ἐπ᾽ ἄλλόν τινα οὐκ εἴρηται ἀλλ᾽ ἢ ἐπὶ τὸν τύραννον καὶ ἀσεβῆ καὶ θεομάχον, δείξομεν διὰ τῶν ἑξῆς.

Λέγει γὰρ Ἡσαΐας οὕτως· *Καὶ ἔσται ὅταν συντελέσῃ κύριος πάντα ποιῶν ἐπὶ τὸ ὄρος Σιὼν καὶ ἐπὶ Ἱερουσαλήμ, ἐπάξει* ὁ θεὸς *ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπεν γάρ· Ἐν τῇ ἰσχύϊ μου ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεώς μου ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς* ἀντιστήσεται ἢ *ἀντείπῃ μοι, ἢ* καὶ *διαφεύξεταί με. Καὶ οὐχ᾽ οὕτως, ἀλλ᾽ ἀποστελεῖ Ἀδωναΐ κύριος εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμε-*

**3 – 4** Gen. 49, 16^1–2^ **5** ὃς – γεννηθείς] cf. Iud. 13, 2; 13, 24–25 **5 – 6** Ibid. 16, 31 **8 – 9** Ier. 8, 15–16 **10 – 16** *Fragmenta Pseudepigraphorum Graeca*, Anonyma d (ed. Denis, p. 231) **19 – 739, 2** Is. 10, 12–17

**1** ὄντως] *om.* R **2** †ἀντιτάττεσθαι – βασιλεῖ†] *cruces apposuimus*, *sic* C, ἀντιτάττεσθαι ὁ τύραννος βασιλεῖ R, ἀνίστασθαι τύραννος. βασιλεὺς *ed.* υἱὸς] *praem.* ὁ R **4** Ἀλλ᾽] καὶ C **6** μερικῶς *ed.* τὸ] τοῦτο R **8** Σπουδὴν] *om.* R **9** χρεμετισμοῦ] *correximus*, χραιμετισμοῦ C R **11** ἄχρις] μέχρις R **12** οὐκ ἐκεκλήκει R **15** συναντήσει R **16** ἄλλον τινὰ R **17** ἢ] *om.* R **19** οὕτως ἡσαΐας R **20** τῷ ὄρει *ed.* **25** νοσιὰν R[a. c.] **26** καταλελιμμένα C[a. c. man. rec.] ἀντιστήσεται ἢ] *om.* R *(ed.)* **27** ἀλλὰ C Ἀδωναΐ] *om.* C

*νον καυθήσεται· καὶ ἔσται τὸ πῦρ εἰς φῶς τῷ Ἰσραήλ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογί, καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην.*

Καὶ πάλιν ἑτέρωθι λέγει· *Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ πῶς ἀναπέπαυται ὁ ἐπισπουδαστής; Συνέτριψεν ὁ θεὸς τὸν ζυγὸν τῶν ἀρχόντων· πατάξας ἔθνη θυμῷ πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ, ᾗ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. Πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοί, καὶ ἡ κέδρος τοῦ Λιβάνου· Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. Ὁ Ἅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες, οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς τῶν ἐθνῶν. Πάντες ἀποκριθήσονται καὶ ἐροῦσίν σοι· Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. Κατέβη εἰς Ἅδου ἡ δόξα σου καὶ ἡ πολλὴ εὐφροσύνη σου· ὑποκάτω σου στρώσουσιν σῆψιν καὶ τὸ κατάλυμά σου σκώληξ. Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; Συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων εἰς πάντα τὰ ἔθνη. Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ πρὸς βορράν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Νῦν δὲ εἰς Ἅδην καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς. Οἱ ἰδόντες σε θαυμάσονται ἐπὶ σοὶ καὶ ἐροῦσιν· Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων πᾶσαν τὴν γῆν, σείων βασιλεῖς; Ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τὰς πόλεις καθεῖλεν, τοὺς ἐν ἀπαγωγῇ οὐκ ἀπέλυσεν. Πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ· σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν ὡς νεκρὸς ἐβδελυγμένος, μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς Ἅδου. Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός, διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον.*

**3 – 30** Ibid. 14, 4–20

**1** ἁγιάσει] ἀγάγη R **3** ἀπαιτῶν] ἀπαταιὼν R **5** πληγῇ[1]] *praem.* καὶ R πληγῇ[2]] πληγὴν C **6** ᾗ] ᾗ R **7** ηὐφράνθησαν R **9** ᾅδης R **10** οἱ[3] – ἐκ] οἳ ἀνέστησαν ἀπὸ C **11** πάντας] *correximus (ed.)*, πάντες C R Πάντες] *om.* R **12** ἐροῦσι σοι R **13** καὶ] *om.* R **18** θήσω] στήσω R **19** πρὸς βορράν] *om.* R βορράν] *sic acc.* C **19 – 20** νεφῶν R **20** νὒνὶ R ᾅδην R **22** βασιλεῖς] πόλεις R **23** πόλεις] *add.* αὐτῆς C καθελών C[p. c.], καθελῶν C[a. c.] **24** ἀπέλυσεν] ἠλέησε R **26 – 27** ἐκκεντουμένων R **27** ᾅδου R τρόπον] *add.* γὰρ C **27 – 28** ἐν αἵματι] *post* πεφυρμένον *transpos.* R

## I 1159 / C cap. H 1, 26

Καὶ μετὰ βραχέα, ὡς ἐκ προσώπου Δανιὴλ τοῦ προφήτου·

Καὶ τὸ *τέταρτον θηρίον φοβερὸν καὶ ἔκθαμβον· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, οἱ ὄνυχες αὐτοῦ χαλκοῖ.* Τίνες δὲ οὗτοι ἀλλ' ἢ Ῥωμαῖοι· ὅπερ ἐστὶν ὁ σίδηρος, ἡ νῦν ἐνεστῶσα βασιλεία. *Αἱ κνῆμαι* γὰρ τῆς εἰκόνος *σιδηραῖ* ἦσαν, φησίν. Μετὰ γοῦν τοῦτο τί περιλείπεται, ἀγαπητέ, ἀλλ' ἢ τὰ ἴχνη τῶν ποδῶν τῆς εἰκόνος, ἐν οἷς *μέρος μέν τι ἐστὶ σιδηροῦν, μέρος δέ τι ὀστράκινον, ἀναμεμιγμένα* εἰς ἄλληλα; Μυστικῶς ἐδήλωσεν διὰ *τῶν δακτύλων τῶν ποδῶν* τοὺς δέκα βασιλεῖς τοὺς ἐξ αὐτῆς ἐγειρομένους, ὅπερ λέγει Δανιήλ· *Προσενόουν* τῷ θηρίῳ, *καὶ ἰδοὺ δέκα κέρατα ὀπίσω αὐτοῦ*, ἐν οἷς *ἀνέβη ἕτερον ὡς παραφυάδιον, καὶ τρία τῶν πρὸ αὐτοῦ ἐξερρίζωσεν·* ὅπερ δέδεικται οὐχὶ †ἕτερον† ἀλλ' ἢ ὁ Ἀντίχριστος ἐγειρόμενος, ὃς καὶ αὐτὸς τὴν Ἰουδαίων βασιλείαν ἀναστήσει. Τρία δὲ κέρατα λέγει ἀπὸ τούτου ἐκριζοῦσθαι· τοὺς τρεῖς βασιλεῖς δείκνυσιν, Αἰγύπτου, Λιβύων τὲ καὶ Αἰθιόπων, οὓς ἀνελεῖ ἐν παρατάξει πολέμου, ὃς κρατήσας πάντων, δεινὸς ὢν τύραννος, θλίψιν καὶ διωγμὸν ἐπὶ τοὺς ἁγίους ποιήσει, ἐπαιρόμενος κατ' αὐτῶν. Λέγει γὰρ Δανιήλ· *Προσενόουν τῷ κέρατι, καὶ ἰδοὺ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσεν πρὸς αὐτούς, ἕως ἀνηρέθη*

---

**3** Dan. 7, 7 **3 – 4** οἱ – χαλκοῖ] Ibid. 7, 19; 7, 7 **5 – 6** Ibid. 2, 33 **7 – 8** Ibid. 2, 41 **9** Ibid. 2, 42 **11 – 13** Ibid. 7, 7–8 **17 – 18** θλίψιν – διωγμὸν] cf. Matth. 13, 21 **19 – 20** Dan. 7, 21; 7, 8 **20 – 741, 1** ἕως – ἀπώλετο] Ibid. 7, 11

---

**3 – 741, 6 I 1159** HIPPOLYTUS ROMANUS, *De antichristo*, XXV–XXVI (ed. Achelis, p. 17, 15 – 18, 14); Holl, n° 347

---

**2 – 741, 6 I 1159** C (190v[8–9]10–191r10); R cap. H 4, 22; *deest in* H$^{II}$; PG 96, 525, 32–34

---

**I 1159** τοῦ προφήτου] *om.* R

---

**4** σιδηροῖ] *scripsimus*, σιδηροί C R οἱ] *praem.* καὶ R χαλκοῖ] *scripsimus*, χαλκοί C R **6** σιδηραὶ R **8** μέν – ἐστὶ] μέν τι C **10** ἐξ – ἐγειρομένους] ἐξεγειρομένους R ἅπερ R **11** τῷ θηρίῳ] *correximus (ed.)*, τὸ θηρίον C, τοῖς κέρασι R *(LXX)* αὐτοῦ] τούτου R **12 – 13** ἐξερίζωσεν C **13** ὅπερ] ὥσπερ R †ἕτερον†] *cruces apposuimus*, *sic* C R, ἕτερος *ed. (sed cf. app. crit.)* **14** Ἰουδαίων] *praem.* τῶν R ἀναστήσει] αναστατησει *(sic)* C$^{mg.}$ **15** τούτου] τοῦ R **15 – 16** δείκνυσιν] δηλῶν R **16** τὲ] *om.* C **17** ὃς] ὡς R τύραννος] *praem.* ὁ C θλίψιν] *sic acc.* C R **20** ἀνηρέθη] οὗ ἦλθε R

*τὸ θηρίον καὶ ἀπώλετο*. Μεθ᾽ ὃ λοιπὸν ἥξει ἀπ᾽ οὐρανῶν *ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα* καὶ συντρίψας αὐτήν, καὶ μεταστήσας πάσας τὰς βασιλείας, καὶ δοὺς τὴν βασιλείαν ἁγίοις ὑψίστου. Οὗτος ὁ *γεννηθεὶς ὄρος μέγα καὶ πληρώσας τὴν γῆν*, περὶ οὗ λέγει Δανιήλ· *Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος* ἦν, καὶ τὰ ἑξῆς.

## I 1160 / C cap. H 1, 27

Καὶ μετὰ βραχέα·

Τούτων οὖν ἐσομένων, καὶ τῶν δέκα δακτύλων τῆς εἰκόνος εἰς δημοκρατίαν χωρησάντων, καὶ τῶν δέκα κεράτων τοῦ θηρίου εἰς δέκα βασιλεῖς μερισθέντων, ἴδωμεν σαφέστερον τὰ προκείμενα, καὶ κατανοήσωμεν αὐτὰ ὀφθαλμοφανῶς. *Κεφαλὴ* τῆς εἰκόνος ἐστὶν ἡ *λέαινα*, Βαβυλώνιοι ἦσαν· οἱ ὦμοι καὶ *οἱ βραχίονες ἀργυροῖ*, ἡ *ἄρκος*, Πέρσαι καὶ Μῆδοι· *κοιλία καὶ μηροὶ χαλκοῖ*, ἡ *πάρδαλις*, οἱ ἀπὸ Ἀλεξάνδρου κρατήσαντες Ἕλληνες· *κνῆμαι σιδηραῖ*, *θηρίον φοβερὸν καὶ ἔκθαμβον*, Ῥωμαῖοι οἱ νῦν κρατοῦντες· ἴχνη ποδῶν ὄστρακον καὶ σίδηρος, *τὰ δέκα κέρατα*, τὰ μέλλοντα ἔσεσθαι· *κέρας δὲ ἕτερον μικρὸν* ἀναφυόμενον ἐν αὐτοῖς, ὁ Ἀντίχριστος· *λίθος πατάσσων τὴν εἰκόνα* καὶ συντρίβων αὐτήν, *ὁ πληρώσας τὴν γῆν* Χριστός, ἐρχόμενος ἀπ᾽ οὐρανῶν καὶ ἐπάγων τῷ κόσμῳ κρίσιν.

---

**1 – 2** ὁ[1] – εἰκόνα] Ibid. 2, 35 **4** Ibid. **5 – 6** Ibid. 7, 13 **9 – 10** τῶν – χωρησάντων] cf. ibid. 2, 41 **10 – 11** τῶν – μερισθέντων] cf. ibid. 7, 24 **12** Κεφαλὴ] Ibid. 2, 32 **13** λέαινα] Ibid. 7, 4 **13 – 14** Ibid. 2, 32 **14** ἄρκος] Ibid. 7, 5 Ibid. 2, 32 **14 – 15** πάρδαλις] Ibid. 7, 6 **15** Ibid. 2, 33 **16** Ibid. 7, 7 **16 – 17** ἴχνη – σίδηρος] cf. ibid. 2, 33 **17** Ibid. 7, 7 **18** Ibid. 7, 8 **19** Ibid. 2, 34 **19 – 20** Ibid. 2, 35

---

**9 – 21 I 1160** Hippolytus Romanus, *De antichristo*, XXVII–XXVIII (ed. Achelis, p. 19, 4–15); Holl, n° 348

---

**8 – 21 I 1160** C (191r[10]10–26); R cap. H 4, 23; *deest in* H[II]; PG 96, 525, 32–34

---

**1** Μεθ᾽ – οὐρανῶν] καὶ C ὃ] ὃν *ed.* **3** καὶ – ἁγίοις] υἱὸς C **4** ὄρος] *praem.* εἰς C **6** ἦν – ἑξῆς] *om.* R **10** τοῦ θηρίου] *om.* R **12** κατανοήσομεν C **13 – 14** ἀργυροῖ] *scripsimus*, ἀργυροί C R **14** χαλκοὶ R **15** Ἀλεξάνδρου] χαλκοῦ R σιδηραῖ] *scripsimus*, σιδηραί C, σιδηραι R **16** Ῥωμαῖοι] *om.* R **17** ὄστρακος R δέκα] μὲν R τὰ μέλλοντα] μεγαλα *(sic)* R **18** ἕτερον] *om.* R μικρὸν] *om.* C **20** Χριστός] *om.* R καὶ] χριστὸς ὁ R

## I 1161 / C cap. H 1, 28

Καὶ μετά τινα·

Δεῖ δὲ ἡμᾶς καὶ τὸν χρόνον ἐξακριβαζομένους ἐκθέσθαι, ἐν οἷς καιροῖς ταῦτα συμβήσεται, καὶ ὡς τὸ *κέρας* τὸ *μικρὸν* ἀναφυήσεται ἐν αὐτοῖς. *Τῶν* γὰρ *κνημῶν σιδηρῶν*, τῶν νῦν ἐπικρατουσῶν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν καὶ τοὺς δακτύλους, χωρησάντων κατὰ τὴν τῆς εἰκόνος φανέρωσιν καὶ τὴν τοῦ *θηρίου* τοῦ *φοβεροῦ* δεῖξιν, καθὼς σεσήμανται ἐν τοῖς ἔμπροσθεν· οἷς καιροῖς *ὁ σίδηρος* καὶ *τὸ ὄστρακον* εἰς ταὐτὸν ἀναμιγήσεται. Δείξει δὲ ἡμῖν Δανιὴλ τὰ προκείμενα. Λέγει γάρ· *Καὶ διαθήσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἔσται ἐν τῷ ἥμισυ τῆς ἑβδομάδος, ἀρθήσεταί μου θυσία καὶ σπονδή*. *Μίαν* μὲν οὖν *ἑβδομάδα* λέγων, τὴν ἐσχάτην ἐπὶ τῷ πέρατι τοῦ σύμπαντος κόσμου, τὴν ἐσομένην ἐπ᾽ ἐσχάτων ἐδήλωσεν· ἧς ἑβδομάδος τὸ μὲν ἥμισυ λήψονται δύο προφῆται, Ἐνὼχ καὶ Ἡλίας· οὗτοι γὰρ κηρύξουσιν *ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους*, μετάνοιαν τῷ λαῷ καὶ πᾶσιν τοῖς ἔθνεσιν καταγγέλλοντες.

## I 1162 / C cap. H 1, 29

Καὶ μετά τινα·

Ἀλλ᾽ ἐπειδὴ λεπτομερέστερον περὶ τούτου διηγήσασθαι δεῖ, πῶς τε τὸ ἅγιον πνεῦμα δι᾽ ἀριθμοῦ καὶ τὸ ὄνομα αὐτοῦ μυστικῶς ἐδή-

---

**4** Dan. 7, 8 **5** Ibid. 2, 33 **6 – 7** κατὰ – φανέρωσιν] cf. ibid. 2, 31 **7** Ibid. 7, 7 **8 – 9** Ibid. 2, 43 **10 – 12** Ibid. 9, 27 **15 – 16** Apoc. 11, 3

---

**3 – 17 I 1161** Hippolytus Romanus, *De antichristo*, XLIII (ed. Achelis, p. 27, 14 – 28, 2); Holl, n° 349 **20 – 743, 19 I 1162** Hippolytus Romanus, *De antichristo*, XLVIII (ed. Achelis, p. 30, 23 – 31, 19); Holl, n° 350

---

**2 – 17 I 1161** C (191r[26]26–191v15); R cap. H 4, 24; *deest in* $H^{II}$; PG 96, 525, 32–34 **19 – 743, 19 I 1162** C (191v[15]15–192r12); R cap. H 4, 25; *deest in* $H^{II}$; PG 96, 525, 32–34

---

**4 – 5** ἀναφύεται C **5** ἐπικρατουσῶν] ἔτι κρατουσῶν R **8** οἷς] *om.* R **10 – 11** ἑβδομάδος μιᾶς C **11** ἡμίσει C **12 – 13** ἐπὶ – πέρατι] επι το κερατι $C^{mg.}$ **15** ἠλίας R γὰρ] δὲ R **15 – 16** χιλίας – ἑξήκοντα] ,ασξ´ R **20** λεπτότερον C **20 – 21** πῶς μὲν R **21** δι᾽] διὰ R

λωσεν, σαφέστερον περὶ αὐτοῦ διηγήσομαι. Λέγει γὰρ Ἰωάννης ὁ εὐαγγελιστὴς οὕτως· *Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχεν κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει ὡς δράκων. Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσωσιν τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. Καὶ ποιεῖ σημεῖα μεγάλα, ὥστε καὶ πῦρ ποιεῖ καταβαίνειν ἀπὸ τῶν οὐρανῶν εἰς τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων, καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιεῖν ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃς ἔχει τὴν πληγὴν τῆς μαχαίρας, καὶ ἔζησεν. Καὶ ἐδόθη αὐτῷ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου καὶ ποιήσῃ ἵνα ὅσοι ἂν μὴ προσκυνήσωσιν τῇ εἰκόνι τοῦ θηρίου, ἀποκτανθῶσιν. Καὶ ποιήσει πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς δούλους καὶ τοὺς ἐλευθέρους, ἵνα δῶσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἵνα μὴ τίς δύναται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα ἢ τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ τοῦ θηρίου ἐστὶν χξς'.*

## I 1163 / C cap. H 1, 30

Καὶ μετὰ βραχέα·

Δόλιος γὰρ ὢν καὶ ἐπηρμένος κατὰ *τῶν δούλων τοῦ θεοῦ*, βουλόμενος ἐκθλίβειν καὶ διώκειν αὐτοὺς ἀπὸ τοῦ κόσμου διὰ τὸ μὴ

**2 – 19** Ibid. 13, 11–18 **22** Ibid. 7, 3

**22 – 744, 11 I 1163** Hippolytus Romanus, *De antichristo*, XLIX (ed. Achelis, p. 32, 19 – 33, 7); Holl, n° 351

**21 – 744, 11 I 1163** C (192r[12]13–29); R cap. H 4, 26; *deest in* H$^{II}$; PG 96, 525, 32–34

**I 1163** βραχύ C

**1** σαφέστερον] *post* αὐτοῦ *transpos.* R **2** ἴδον C **8** εἰς – ἀνθρώπων] *om.* R **9** αὐτῷ] *s. l.* R **10** εἰκόνα] *post* θηρίῳ *transpos.* R **11** ὅς] ὃ R ἔζησεν] ἐζήτησε R **12** τοῦ θηρίου[1]] *om.* R **12 – 13** τοῦ θηρίου[2]] *om.* C **13** ποιήσῃ] ποιήσει πάντας C προσκυνήσουσιν C$^{a.c.}$ **14** ποιήσῃ R πάντας] *om.* C **15** πτωχούς] πένητας R **16** δώσει R **17** μή τις C **19** γὰρ] δὲ R **22** γὰρ] δὲ R

δοῦναι αὐτοὺς δόξαν τῷ θηρίῳ, κελεύει πάντας πανταχῇ θυμιατήρια θεῖναι, *ἵνα* μηδεὶς *δύνηται* τῶν ἁγίων *ἀγοράσαι ἢ πωλῆσαι*, ἐὰν μὴ πρῶτον ἐπιθύσῃ. Τοῦτο γάρ ἐστιν *τὸ χάραγμα τὸ ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς* διδόμενον. Τὸ δὲ *ἐπὶ τὸ μέτωπον* εἰπεῖν, ἵνα πάντες ὦσιν ἐστεφανωμένοι πύρινον, καὶ οὐ ζωῆς, ἀλλὰ θανάτου στέφανον μεθ' ἑαυτῶν περιφέροντες. Οὕτω γὰρ ἐτεχνάσατο κατὰ τῶν Ἰουδαίων καὶ Ἀντίοχος ὁ Ἐπιφανής, τῆς Συρίας γενόμενος βασιλεύς, ὁ ὢν ἐκ τοῦ γένους Ἀλεξάνδρου τοῦ Μακεδόνος. Καὶ γὰρ καὶ αὐτὸς τοῖς τότε καιροῖς ἐπαρθεὶς τῇ καρδίᾳ, ἔγραψεν ψήφισμα βωμοὺς πρὸ τῶν θυρῶν τιθέναι καὶ ἅπαντας ἐπιθύειν, καὶ *κισσοὺς* ἐστεφανωμένους *πομπεύειν τῷ Διονύσῳ*.

---

**2** Apoc. 13, 17 **3 – 4** Ibid. 13, 16 **4** Ibid. **9 – 10** ἔγραψεν – ἐπιθύειν] cf. I Macch. 1, 51 **10 – 11** II Macch. 6, 7

---

**1** αὐτοῖς R τῷ θηρίῳ] *om.* C κελεύσει R πανταχῇ] *post* θεῖναι *(l. 2) transpos.* R **2** δύναται R **3** ἐπιθύσει C γάρ ἐστιν] δὲ ἐστὶ R **4** τῆς δεξιᾶς] *om.* R

## **Τίτλος β′ Περὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων.**

### I 1164 / C cap. Η 2, 1

Ἀπὸ τῆς Γενέσεως·

Ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη. Καὶ εἶπεν ὁ θεός· Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας καὶ ἀναμέσον τῆς νυκτός, καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς, καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν, εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω, εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. Καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους.

### I 1165 / C cap. Η 2, 2

Ἀπὸ τοῦ Ἰώβ·

Οὐχ᾽ ὁρῶμεν ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα,
σελήνην δὲ φθ[ε]ίνουσαν; Οὐ γὰρ ἐπ᾽ αὐτοῖς ἐστίν.

---

**4 – 15 I 1164** Gen. 1, 13–18 **18 – 19 I 1165** Iob 31, $26^{1-2}$

---

**1 Titlos** C (192r30) $\mathrm{A}^{\mathrm{II\ pin}}$; *deest in* $\mathrm{H}^{\mathrm{II}}\mathrm{A}^{\mathrm{II\ txt}}$ **3 – 15 I 1164** C (192v[1]1–16); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ **17 – 19 I 1165** C (192v[16]16–18); *deest in* $\mathrm{H}^{\mathrm{II}}$

---

**1 Titlos** Τίτλος] *om.* $\mathrm{A}^{\mathrm{II\ pin}}$ β′] *propt. mg. resect. non liquet in* $\mathrm{A}^{\mathrm{II\ pin}}$ *(*β′ *secund. ser.)*

---

**19** φθίνουσαν] *scripsimus*, φθείνουσαν C

## I 1166 / C cap. Η 2, 3

Σχόλιον·

Νοητέον ὅτι οὐ κατὰ θέλησιν, ἀλλὰ κατὰ θείαν βούλησιν καὶ πρόσταξιν ἄγονται τὰ στοιχεῖα.

## I 1167 / C cap. Η 2, 4

Τοῦ αὐτοῦ·

Ὁ ποιήσας Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμιεῖα
[νότου.

## I 1168 / C cap. Η 2, 5

Τοῦ αὐτοῦ·

Ἑωσφόρος ἐπεῖδεν τὴν ἑαυτοῦ τάξιν
ἐπιλαβέσθαι πτερύγων γῆς;

## I 1169 / C cap. Η 2, 6

Τοῦ αὐτοῦ·

Δεσμὸν Πλειάδος ἔγνως,
ἢ φραγμὸν Ὠρίωνος ἤνοιξας;
Ἢ διανοίξεις Μαζουρὸθ ἐν καιρῷ αὐτοῦ,
ἢ Ἕσπερον ἐπὶ κώμης καὶ ἄξεις αὐτά;

---

**3 – 4 I 1166** *Scholion in Iob 31, 26*[1–2] **7 – 8 I 1167** Iob 9, 9 **11 – 12 I 1168** Iob 38, 12[2]–13[1] **15 – 18 I 1169** Iob 38, 31[1]–32[2]

---

**2 – 4 I 1166** C (192v[18]18–20); *deest in* H[II] **6 – 8 I 1167** C (192v[20]21–22); *deest in* H[II] **10 – 12 I 1168** C (192v[22]22–24); *deest in* H[II] **14 – 18 I 1169** C (192v[24]24–27); *deest in* H[II]

---

**11 – 12** Ἑωσφόρος – γῆς] *in* C *non liquet an sit quaestio* **16** ὠρίωνος C **17** Μαζουρὼθ *LXX* **18** κόμης *LXX (sed cf. app. crit.)*

## I 1170 / C cap. H 2, 7

Δαυῒδ ἐν ψαλμῷ ιη′·

Ἀπʼ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,
καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.

## I 1171 / C cap. H 2, 8

Ἐν ψαλμῷ ργ′·

Ἐποίησεν σελήνην εἰς καιρούς,
ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

## I 1172 / C cap. H 2, 9

Τοῦ Ἐκκλησιαστοῦ·

Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος,
καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει·
ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς νότον,
καὶ κυκλοῖ πρὸς βορρᾶν·
κυκλοῖ κυκλοῦν πορεύεται τὸ πνεῦμα,
καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.

## I 1173 / C cap. H 2, 10

Ἱερεμίου προφήτου·

…κύριος ὁ δοὺς τὸν ἥλιον εἰς φαῦσιν τῆς ἡμέρας, εἰς ἀκριβείας

---

**3 – 5 I 1170** Ps. 18, $7^{1-3}$ **8 – 9 I 1171** Ps. 103, $19^{1-2}$ **12 – 17 I 1172** Eccle. 1, $5^{1}$–$6^{4}$ (Wahl, *Kohelet-Text*, p. 147) **20 – 748, 2 I 1173** Ier. 38, 36 (Wahl, *Prophetenzitate*, p. 568)

---

**2 – 5 I 1170** C (192v[27]28–30); *deest in* $H^{II}$ **7 – 9 I 1171** C (193r[1]1–2); *deest in* $H^{II}$ **11 – 17 I 1172** C (193r[2–3]3–7); *deest in* $H^{II}$ **19 – 748, 2 I 1173** C (193r[7]8–10); *deest in* $H^{II}$

σελήνην, καὶ ἀστέρας εἰς φῶς τῆς νυκτός· κύριος παντοκράτωρ ὄνομα αὐτῷ.

## I 1174 / C cap. Η 2, 11

Τοῦ Σιράχ·

Ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψεν,
καὶ τῆς δόξης κυρίου πλῆρες τὸ ἔργον αὐτοῦ.

## I 1175 / C cap. Η 2, 12

Τοῦ αὐτοῦ·

Ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ
σκεῦος θαυμαστόν, ἔργον ὑψίστου·
ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηρανεῖ χώραν,
καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται;
Κάμινον φυλάσσων ἐν ἔργοις καύματος,
τριπλασίως ἥλιος ἐκκαίων ὄρη·
ἀτμίδας πυρώδεις ἐκφυσῶν,
καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.
Μέγας κύριος ὁ ποιήσας αὐτόν,
καὶ ἐν λόγοις αὐτοῦ κατίσχυσεν πορείαν αὐτοῦ.
Καὶ σελήνη ἐν πᾶσιν εἰς καιροὺς αὐτῆς,
ἀνάδειξιν χρόνων καὶ σημεῖον αἰῶνος·
ἀπὸ σελήνης σημεῖον ἑορτῆς,
φωστὴρ μειούμενος ἐπὶ συντελείᾳ.
Μὴν κατὰ τὸ ὄνομα αὐτῆς

---

**5–6 I 1174** Sir. 42, $16^{1-2}$ (Wahl, *Sirach-Text*, p. 165) **9–749, 5 I 1175** Sir. 43, $2^{1}$–$9^{2}$ (Wahl, *Sirach-Text*, p. 165–166)

---

**4–6 I 1174** C (193r[11]11–12); *deest in* $H^{II}$ **8–749, 5 I 1175** C (193r[13]13–28); *deest in* $H^{II}$

---

**9** διαγγέλλων] *correximus (LXX)*, δι᾿ ἀγγέλλων C **18** κατίσχυσεν] κατεπαυσεν $C^{mg.}$ *(forsan recte, cf. LXX app. crit.)*, κατέσπευσεν *LXX* **23** αὐτῆς] αὐτῆς ἔστιν *LXX*

αὐξανόμενος θαυμαστὸς ἐν ἀλλοιώσει,
σκεῦος παρεμβολῶν ἐν ὕψει,
ἐν στερεώματι οὐρανοῦ ἐκλάμπον.
Κάλλος οὐρανοῦ καὶ δόξα ἀστέρων,
κόσμος φωτίζων ἐν ὑψίστοις.

## I 1176 / C cap. H 2, 13

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τοῦ δʹ κεφαλαίου τῶν Ἱεροθέου τοῦ ἁγιωτάτου στοιχειώσεων·

Τί ἄν τις φαίη περὶ αὐτῆς καθ᾽ αὐτὴν τῆς ἡλιακῆς ἀκτῖνος; Ἐκ τἀγαθοῦ γὰρ τὸ φῶς, καὶ εἰκὼν τῆς ἀγαθότητος. Διὸ καὶ φωτωνυμικῶς ὑμνεῖται τἀγαθόν, ὡς ἐν εἰκόνι τὸ ἀρχέτυπον ἐκφαινόμενον. Ὡς γὰρ ἡ τῆς πάντων ἐπέκεινα θεότητος ἀγαθότης ἀπὸ τῶν ἀνωτάτων καὶ πρεσβυτάτων οὐσιῶν ἄχρι τῶν ἐσχάτων διήκει, καὶ ἔτι ὑπὲρ πάσας ἐστίν, μήτε τῶν ἄνω φθανουσῶν αὐτῆς τὴν ὑπεροχήν, μήτε τῶν κάτω τὴν περιοχὴν διαβαινουσῶν, ἀλλὰ καὶ φωτίζει τὰ δυνάμενα πάντα, καὶ δημιουργεῖ καὶ ζωοῖ καὶ συνέχει καὶ τελεσιουργεῖ καὶ μέτρον ἐστὶν τῶν ὄντων καὶ αἰὼν καὶ ἀριθμὸς καὶ τάξις καὶ περιοχὴ καὶ αἰτία καὶ τέλος, οὕτω δὴ καὶ ἡ τῆς θείας ἀγαθότητος ἐμφανὴς εἰκών, ὁ μέγας οὗτος καὶ ὁλολαμπὴς καὶ ἀείφωτος ἥλιος, κατὰ πολλοστὸν ἀπήχημα τἀγαθοῦ, καὶ πάντα, ὅσα μετέχειν αὐτοῦ δύναται, φωτίζει καὶ ὑπερηπλωμένον ἔχει τὸ φῶς, εἰς πάντα ἐξαπλῶν τὸν ὁρατὸν κόσμον ἄνω τε καὶ κάτω τὰς τῶν οἰκείων ἀκτίνων αὐγάς. Καὶ εἴ τι αὐτῶν οὐ μετέχει, τοῦτο οὐ τῆς ἀδρανείας ἢ τῆς βραχύτητος ἐστὶν τῆς φωτιστικῆς αὐτοῦ διαδόσεως, ἀλλὰ τῶν διὰ φωτοληψίας ἀνεπιτηδειότητα μὴ ἀναπλουμένων εἰς τὴν φωτὸς μετουσίαν. Ἀμέλει πολλὰ τῶν οὕτως ἐχόν-

**7 – 8** τῶν – στοιχειώσεων] cf. Ps.-Dion. Areop., *De divinis nominibus*, III. 2 (ed. Suchla, p. 139, 18) **10 – 11** φωτωνυμικῶς] cf. Ps. 103, 2[1]; I Ioh. 1, 5

**9 – 750, 6 I 1176** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, IV. 4 (ed. Suchla, p. 147, 2 – 148, 6)

**7 – 750, 6 I 1176** C ([193r28–30]193v1–194r2); *deest in* H[II]

**1** θαυμαστῶς *LXX (sed cf. app. crit.)* ἐν ἀλλοιώσει] *scripsimus (LXX)*, ἐναλλοιώσει C **2** παρεμβολῶν] *correximus (LXX)*, παρεμβάλων *(sic)* C **3** ἐκλάμπων *LXX (sed cf. app. crit.)* **10 – 11** φωτωνυμικῶς] *scripsimus (ed.)*, φωτονυμικῶς C

των ἡ ἀκτὶς διαβαίνουσα τὰ μετ' ἐκεῖνα φωτίζει, καὶ οὐδέν ἐστιν τῶν ὁρατῶν, οὗ μὴ ἐφικνεῖται κατὰ τὸ τῆς οἰκείας αἴγλης ὑπερβάλλον μέγεθος. Ἀλλὰ καὶ πρὸς τὴν γένεσιν τῶν αἰσθητῶν σωμάτων συμβάλλεται, καὶ πρὸς ζωὴν αὐτὰ κινεῖ καὶ τρέφει καὶ αὔξει καὶ τελειοῖ καὶ καθαίρει καὶ ἀνανεοῖ, καὶ μέτρον ἐστίν, καὶ ἀριθμὸς ὡρῶν, ἡμερῶν καὶ παντὸς τοῦ καθ' ἡμᾶς χρόνου τὸ φῶς.

## I 1177 / C cap. H 2, 14

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ γʹ λόγου τῆς Ἑξαημέρου·

Ὁρῶμεν τὴν μεγάλην τοῦ θεοῦ σοφίαν μετατιθεῖσαν τὸν ἥλιον ἐξ ἑτέρων εἰς ἕτερα, ἵνα μὴ τοῖς αὐτοῖς προσδιατρίβων, τῇ πλεονεξίᾳ τοῦ θερμοῦ λυμανεῖται τὴν διακόσμησιν, ἀλλὰ νῦν μὲν αὐτὸν κατὰ τὸ νότιον μέρος, κατὰ τὰς χειμερινὰς τροπὰς ἀπάγοντα, νῦν δὲ ἐπὶ τὰ ἰσημερινὰ σημεῖα μετατιθέντα, κἀκεῖθεν ἐπὶ τὰ προσάρκτια ὑπὸ τὰς θερινὰς τροπὰς ἐπανάγοντα, ὥστε τῇ κατὰ μικρὸν αὐτοῦ μεταβάσει τῷ περὶ γῆν τόπῳ τὴν εὐκρασίαν φυλάσσεσθαι.

## I 1178 / C cap. H 2, 15

Ἐκ τοῦ ςʹ λόγου τῆς αὐτῆς·

Πρότερον τοῦ φωτὸς ἡ φύσις παρήχθη, νῦν δὲ τὸ ἡλιακὸν τοῦτο σῶμα ὄχημα εἶναι τῷ πρωτογόνῳ φωτὶ παρεσκεύασται. Ὡς γὰρ ἄλλο πῦρ καὶ ἄλλο λύχνος, τὸ μὲν τὴν τοῦ φωτίζειν δύναμιν ἔχον, τὸ δὲ παραφαίνειν τοῖς δεομένοις πεποιημένον, οὕτω καὶ τῷ καθαρωτάτῳ ἐκείνῳ καὶ εἰλικρινεῖ καὶ ἀΰλῳ φωτὶ ὄχημα νῦν οἱ φωστῆρες κατεσκευάσθησαν.

---

**9 – 15 I 1177** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, III, 7 (ed. Mendieta†/Rudberg, p. 51, 3–9) **18 – 23 I 1178** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 2 (ed. Mendieta†/Rudberg, p. 91, 1–6)

---

**8 – 15 I 1177** C (194r[2]3–12); *deest in* H$^{II}$ **17 – 23 I 1178** C (194r[12]13–19); *deest in* H$^{II}$

---

**11** λυμανεῖται] *scripsimus*, λοιμανεῖται C, λυμήνηται *ed.* **21** παραφαίνειν] *correximus (ed.)*, παρὰ τὸ φαίνειν C

## I 1179 / C cap. H 2, 16

Ἐκ τοῦ αὐτοῦ·

Ἡ σελήνη ἡ λήγουσα καὶ μειουμένη οὐχὶ τῷ παντὶ ἑαυτῆς σώματι δαπανᾶται, ἀλλὰ τὸ περικείμενον αὐτῇ φῶς ἀποτιθεμένη καὶ προσλαμβάνουσα πάλιν, ἐλαττώσεως ἡμῖν καὶ αὐξήσεως τὰς φαντασίας παρέχεται. Τοῦ δὲ μὴ αὐτὸ τὸ σῶμα, αὐτῆς ληγούσης, ἀναλίσκεσθαι, ἐναργὲς μαρτύριον τὰ ὁρώμενα. Ἔξεστι γάρ σοι ἐν καθαρῷ τῷ ἀέρι καὶ πάσης ἀχλύος ἀπηλλαγμένῳ, ὅταν μάλιστα μηνοειδὴς τυγχάνῃ κατὰ τὸ σῶμα, ἐπιτηρήσαντι κατιδεῖν τὸ ἀλαμπὲς αὐτῆς καὶ †τὸ φωτιστικὸν† ὑπὸ τηλικαύτης ἀψῖδος περιγραφόμενον, ἡλίκον ἐν ταῖς πανσελήνοις τὴν πᾶσαν †αὐτῆς† ἐκπληροῖ, ὥστε ἀπηρτισμένον τηλαυγῶς καθορᾶσθαι τὸν κύκλον, τῷ περιλαμπομένῳ ἀέρι τὸν σκιερὸν καὶ ἀερώδη κόλπον συναναφαινούσης τῆς ὄψεως. Καὶ μή μοι λέγε ἐπείσακτον εἶναι τῆς σελήνης τὸ φῶς, διότι μειοῦται μὲν πρὸς ἥλιον φερομένη, αὔξεται δὲ πάλιν ἀφισταμένη· οὐδὲ ἐκεῖνο ἡμῖν ἐξετάζειν ἐν τῷ παρόντι πρόκειται, ἀλλ᾽ ὅτι ἕτερον μὲν αὐτῆς τὸ σῶμα, ἄλλο δὲ τὸ φωτίζον. Τοιοῦτον δέ τι μοι νόει καὶ ἐπὶ τοῦ ἡλίου, πλὴν ὅτι ὁ μὲν λαβὼν ἅπαξ καὶ ἐγκεκραμένον ἐν ἑαυτῷ τὸ φῶς ἔχων οὐκ ἀποτίθεται, ἡ δὲ συνεχῶς οἷον ἀποδυομένη καὶ πάλιν ἐπαμφιαζομένη τὸ φῶς, δι᾽ ἑαυτῆς καὶ τὰ περὶ τοῦ ἡλίου εἰρημένα πιστοῦται.

---

**3 – 21 I 1179** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 3 (ed. Mendieta†/Rudberg, p. 92, 11 – 93, 6)

---

**2 – 21 I 1179** C (194r[20]20–194v14); *deest in* $H^{II}$

---

**5** ἡμῖν] *correximus (ed.)*, σημεῖον C **6** ληγούσης] *correximus (ed.)*, λήγουσαν C **8** ἀπηλλαγμένῳ] *correximus (ed.)*, ἀπηλλαγμένου C **9** σῶμα] σχῆμα *ed.* ἐπιτηρήσαντι] *scripsimus (ed.)*, επιτηρησαντι $C^{mg.}$, ἐπιτηρήσης αντι $C^{txt}$ κατιδεῖν] *scripsimus*, καθ᾽ϊδεῖν C **10** †τὸ φωτιστικὸν†] *cruces apposuimus*, *sic* C, ἀφώτιστον *ed.* ἀψῖδος] *sic* $C^{a.\,c.}$, ἀψίδος $C^{p.\,c.\,man.\,rec.}$ **11** †αὐτῆς†] *cruces apposuimus*, *sic* C, αὐτὴν *ed.* **13** ἀέρι] μέρει *ed.* **13 – 14** συναναφερούσης *ed.* **18** δέ τι] δή τι *ed.*

## I 1180 / C cap. H 2, 17

Ἐκ τοῦ αὐτοῦ·

Ἐνταῦθά μοι τὴν σοφίαν τοῦ τεχνίτου κατάμαθε, πῶς τῷ διαστήματι τούτῳ σύμμετρον ἔδωκεν τῷ ἡλίῳ τὴν θερμότητα. Τοσοῦτον γὰρ αὐτοῦ ἔστιν τὸ πυρῶδες, ὡς μήτε δι᾽ ὑπερβολὴν καταφλέξαι τὴν γῆν, μήτε διὰ τὴν ἔλλειψιν κατεψυγμένην αὐτὴν καὶ ἄγονον καταλιπεῖν. Ἀδελφὰ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τῆς σελήνης νοείσθω. Μέγα γὰρ καὶ τὸ ταύτης σῶμα καὶ φανότατον μετὰ τὸν ἥλιον. Οὐκ ἀεὶ μέντοι ὁρατὸν αὐτῆς διαμένει τὸ μέγεθος, ἀλλὰ νῦν μὲν ἀπηρτισμένη τῷ κύκλῳ, νῦν <δὲ> ἐλλείπουσα καὶ μειουμένη φαίνεται, καθ᾽ ἕτερον αὐτῆς μέρος προσδεικνύουσα τὸ λεῖπον. Ἄλλῳ μὲν γὰρ μέρει σκιάζεται αὐξανομένη, καὶ ἄλλο μέρος αὐτῆς ἐν τῷ καιρῷ τῆς λήξεως ἀποκρύπτεται. Λόγος δέ τις ἄρρητος τοῦ σοφοῦ δημιουργοῦ τῆς ποικίλης ταύτης ἐναλλαγῆς τῶν σχημάτων.

## I 1181 / C cap. H 2, 18

Ἐκ τοῦ αὐτοῦ·

Οἶμαι καὶ τῇ τῶν ζώων κατασκευῇ καὶ τοῖς λοιποῖς τοῖς ἀπὸ γῆς φυομένοις μὴ μικρὰν ὑπάρχειν ἐκ τῆς κατὰ τὴν σελήνην μεταβολῆς τὴν συντέλειαν. Ἄλλως γὰρ διατίθεται μειουμένης αὐτῆς, καὶ ἄλλως αὐξανομένης, τὰ σώματα, νῦν μὲν ληγούσης ἀραιὰ καὶ κενὰ γινόμενα, νῦν δὲ αὐξανομένης καὶ πρὸς τὸ πλῆρες ἐπειγομένης καὶ αὐτὰ πάλιν ἀναπληρούμενα, διότι ὑγρότητά τινα θερμότητι συγκεκραμένην ἐπὶ τὸ βάθος φθάνουσαν λεληθότως ἐνίησιν. Δηλοῦσι δὲ οἱ καθεύδοντες ὑπὸ σελήνην, ὑγρότητος περισσῆς τὰς

---

**3 – 15 I 1180** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 10 (ed. Mendieta†/Rudberg, p. 106, 18 – 107, 5) **18 – 753, 23 I 1181** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 10–11 (ed. Mendieta†/Rudberg, p. 107, 20 – 109, 3)

---

**2 – 15 I 1180** C (194v[15]15–195r1); *deest in* H$^{II}$ **17 – 753, 23 I 1181** C (195r[1]1–195v11); *deest in* H$^{II}$

---

**3** τεχνίτου] *scripsimus (ed.)*, τεχνήτου C **7** ἀπολιπεῖν *ed.* **8** φανότατον] *scripsimus (ed.)*, φανώτατον C **10** δὲ] *supplevimus (ed.)*, *om.* C **11** ἕτερον αὐτῆς] ἑκάτερον ἑαυτῆς *ed. (sed cf. app. crit.)* **19** μικρὰν] *correximus (ed.)*, μικρὸν C

τῆς κεφαλῆς εὐρυχωρίας πληρούμενοι, καὶ τὰ νεοσφαγῆ τῶν κρεῶν, ταχὺ τρεπόμενα τῇ προσβολῇ τῆς σελήνης, καὶ ζώων ἐγκέφαλοι, καὶ τῶν θαλαττίων τὰ ὑγρότατα, καὶ αἱ τῶν δένδρων ἐντεριῶναι· ἅπαντα οὐκ ἂν ἐξήρκεσεν τῇ ἑαυτῆς ἀλλοιώσει συμμεθιστᾶν, εἰ μὴ ὑπερφυές τι ἦν καὶ ὑπερέχον δυνάμει κατὰ τὴν τῆς Γραφῆς μαρτυρίαν.

Καὶ τὰ περὶ τὸν ἀέρα δὲ πάθη ταῖς μεταβολαῖς ταύτης συνδιατίθεται, ὡς μαρτυροῦσιν ἡμῖν αἵ τε κατὰ τὴν νεομηνίαν πολλάκις ἀπὸ γαλήνης καὶ νηνεμίας αἰφνίδιοι ταραχαί, νεφῶν κλονουμένων καὶ συμπιπτόντων ἀλλήλοις, καὶ αἱ περὶ τοὺς εὐρίπους παλίρροιαι καὶ αἱ περὶ τὸν λεγόμενον Ὠκεανὸν ἀμπώτεις, ἣν ταῖς περιόδοις τῆς σελήνης τεταγμένως ἑπομένην ἐξεῦρον οἱ προσοικοῦντες. Οἱ μὲν γὰρ εὔριποι μεταρρέουσιν ἐφ’ ἑκάτερα κατὰ τὰ λοιπὰ σχήματα τῆς σελήνης, ἐν δὲ τῷ καιρῷ τῆς γενέσεως οὐδὲ τὸ βραχύτατον ἀτρεμοῦσιν, ἀλλ’ ἐν σάλῳ καὶ ταλαντώσει διηνεκεῖ καθεστήκασιν, ἕως ἂν ἐκφανεῖσα πάλιν ἀκολουθίαν τινὰ τῇ παλιρροίᾳ παράσχηται. Ἡ δὲ ἑσπερία θάλασσα τὰς ἀμπώτεις ὑφίσταται, νῦν μὲν ὑπονοστοῦσα, πάλιν δὲ ἐπικλύζουσα, ὥσπερ ἀναπνοαῖς τῆς σελήνης ὑφελκομένη πρὸς τὸ ὀπίσω, καὶ πάλιν ταῖς ἀπ’ αὐτῆς ἐμπνοίαις εἰς τὸ οἰκεῖον μέτρον προωθουμένη.

Ταῦτά μοι εἴρηται πρὸς ἀπόδειξιν τοῦ κατὰ τοὺς φωστῆρας μεγέθους καὶ σύστασιν τοῦ μὴ δὲ μέχρι συλλαβῆς ἀργὸν τί εἶναι τῶν θεοπνεύστων Γραφῶν.

---

**5 – 6** cf. Gen. 1, 16

---

**1** εὐρυχωρίας] ευθυχωριας *(sic)* C^mg.   **4** ἐντεριῶναι] *scripsimus (ed.),* ἐντεριόναι C   ἅπαντα] *sic* C, Ἄ πάντα *ed. (sed cf. app. crit.)*   **5** ὑπερφυές – ἦν] *scripsimus (ed.),* ϋπερφυές τι ην C^mg., ὑπερφυῆς (-ὴς *man. rec.)* τίς ἦν C^txt   ὑπερέχον] *correximus (ed.),* ὑπερέχων C   **7** ταύταις C^mg.   **10** εὐρίπους] εὐρί πους C   **11** αἱ] *sic* C, ἡ *ed.*   ἀμπώτεις] *sic* C, ἄμπωτις *ed.*   **13** εὔριποι] *scripsimus (ed.),* εὔριπποι C

## I 1182 / C cap. H 2, 19

Ἐκ τοῦ αὐτοῦ·

Εἰ ὁ τῇ φθορᾷ ὑποκείμενος ἥλιος οὕτω καλός, οὕτω μέγας, ὀξὺς μὲν κινηθῆναι, εὐτάκτους δὲ τὰς περιόδους ἀποδιδούς, σύμμετρον ἔχων τὸ μέγεθος τῷ παντί, ὥστε μὴ ἐκβαίνειν τὴν πρὸς τὸ ὅλον ἀναλογίαν, τῷ δὲ κάλλει τῆς φύσεως οἷόν τις ὀφθαλμὸς διαυγὴς πρέπων τῇ κτίσει, εἰ ἀκόρεστος τούτου ἡ θέα, ποταπὸς τῷ κάλλει ὁ τῆς *δικαιοσύνης ἥλιος*; Εἰ τυφλῷ ζημία τοῦτον μὴ βλέπειν, ποταπὴ ζημία τῷ ἁμαρτωλῷ, *τοῦ ἀληθινοῦ φωτὸς* στερηθῆναι;

## I 1183 / C cap. H 2, 20

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ θεολογίας β′·

Πόθεν ἥλιος φρυκτωρεῖ ὅλῃ τῇ οἰκουμένῃ καὶ πάσαις ὄψεσιν, ὥσπερ χοροῦ τινὸς κορυφαῖος πλέον τοὺς ἄλλους ἀστέρας ἀποκρύπτων φαιδρότητι <***>, *καλὸς ὡς νυμφίος*, ταχὺς *ὡς γίγας*, καὶ μέγας, τοσοῦτος τὴν δύναμιν, ὥστε ἀπ’ ἄλλων ἄκρων ἄλλα τῇ θερμότητι καταλαμβάνειν καὶ μηδὲν διαφεύγειν αὐτοῦ τὴν αἴσθησιν, ἀλλὰ πᾶσαν πληροῦσθαι καὶ ὄψιν φωτὸς καὶ σωματικὴν φύσιν θερμότητος, θερμαίνοντος, ἀλλ’ οὐ φλέγοντος, εὐκρασίας ἡμερότητι καὶ τάξει κινήσεως, ὡς πᾶσι παρόντος καὶ πάντα ἐφίσης περιλαμβάνοντος;

---

**8** Mal. 4, 2 **9** Ioh. 1, 9; I Ioh. 2, 8 **15** Ps. 18, $6^{1-2}$ **16 – 17** ὥστε – καταλαμβάνειν] cf. ibid. 18, $7^{1-3}$

---

**3 – 10 I 1182** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VI, 1 (ed. Mendieta†/Rudberg, p. 89, 10–16) **13 – 15 I 1183** Πόθεν – φαιδρότητι] Gregorius Nazianzenus, *De theologia II (Orat. 28)*, 29, 16–19 (ed. Gallay/Jourjon, p. 166) **15 – 21** καλὸς – περιλαμβάνοντος] Ibid., 29, 21–28 (p. 166–168)

---

**2 – 10 I 1182** C (195v[11]11–20); *deest in* H$^{II}$ **12 – 755, 17 I 1183** C (195v[21]22–196r24); *deest in* H$^{II}$

---

**15** *post* φαιδρότητι *quaedam excidisse videntur* (ἤ τινες ἐκείνων ἑτέρους *etc. ed.)* **20 – 21** ἐφίσης] *sic* C

Τί τὸ κινῆσαν τοῦτον ἀπ᾽ ἀρχῆς; Τί δὲ τὸ ἀεικίνητον καὶ περιάγον ἑστῶτα λόγῳ καὶ μὴ κινούμενον, ὄντως ἀκάμαντα καὶ φερέσβιον καὶ φυσίζωον καὶ ὅσα ποιηταῖς ὕμνηται κατὰ λόγον, καὶ μήτε τῆς ἑαυτοῦ φορᾶς ποτέ, μήτε τῶν εὐεργεσιῶν ἱστάμενον; Πῶς ἡμέρας δημιουργὸς ὑπὲρ γῆς καὶ νυκτὸς ὑπὸ γῆν, ἢ οὐκ οἶδ᾽ ὅτι χρὴ λέγειν ἡλίῳ προσβλέψαντα; Τίς ἡ τούτων πρόσληψίς τε καὶ ἀνθυφαίρεσις, καὶ ἡ τῆς ἀνισότητος ἰσότης, ἵν᾽ εἴπω τι καὶ παράδοξον; Πῶς δὲ ὡρῶν ποιητής τε καὶ μεριστής, εὐτάκτως ἐπιγινομένων τε καὶ ἀπογινομένων, καὶ ὥσπερ ἐν χορῷ συμπλεκομένων ἀλλήλαις καὶ διϊσταμένων, τὸ μὲν φιλίας νόμῳ, τὸ δὲ εὐταξίας, καὶ κατὰ μικρὸν κιρναμένων καὶ ταῖς ἐγγύτησι κλεπτομένων ταὐτὸν ἡμέραις τε καὶ νυξίν, ἵνα μὴ τῇ ἀληθείᾳ λυπήσωσιν; Ἀλλ᾽ ἴτω μὲν ἡμῖν ἥλιος· σὺ δὲ ἔγνως σελήνης φύσιν καὶ πάθη καὶ μέτρα φωτὸς καὶ δρόμους, καὶ πῶς ὁ μὲν ἡμέρας ἔχει τὴν δυναστείαν, ἡ δὲ νυκτὸς προκαθέζεται, καὶ ἡ μὲν θηρίοις δίδωσι παρρησίαν, ὁ δὲ ἀνθρώπους ἐπὶ τὸ ἔργον ἀνίστησιν, ἢ ὑψούμενος ἢ ταπεινούμενος πρὸς τὸ χρησιμώτατον;

## I 1184 / C cap. H 2, 21

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας·

Ἐπειδὴ δὲ ἥλιον σεμνύνει, καὶ ἀμιγῆ εἶναι, ὡς ὑπείληφεν, τοῦ κακοῦ διορίζεται, φέρε φιλαλήθως καὶ περὶ ἡλίου κατίδωμεν. Ὁ γὰρ Μάνης ἐκθειάζων ὡς τῆς φύσεως ὄντα τοῦ ἀγαθοῦ τὸν ἥλιον, τὸν τῶν ὅλων δημιουργὸν βλασφημῶν, ἥκιστα πιστευέσθω, ἥλιον συγκρίνων θεῷ, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ λέγων εἶναι τοῦτον. Πᾶν

**2** ἀκάμαντα] e. g. Hom., *Il.* XVIII, 239; 484; Hesiod., *Theogon.*, 956 **2 – 3** φερέσβιον] *Orph. Hymn.*, 8, 12 **3** φυσίζωον] exemplum non repperimus **16** ὁ – ἀνίστησιν] cf. Ps. 103, 23[1]

**1 – 17** Τί – χρησιμώτατον] Ibid., 30, 5–23 (p. 168–170) **20 – 21 I 1184** Ἐπειδὴ – κατίδωμεν] Titus Bostrensis, *Contra Manichaeos*, II, 54, 1–3 (ed. Roman/Schmidt, p. 215 = Extrait 7, 1–3 [ed. Declerck, p. CXXXIV–CXXXV]) **21 – 22** Ὁ – ἥλιον] Ibid., II, 54, 28–29 (p. 217 = Extrait 7, 3–4 [p. CXXXV]) **22 – 756, 3** τὸν – ἔχει] Ibid., II, 54, 42–47 (p. 219 = Extrait 7, 4–10 [p. CXXXV])

**19 – 756, 3 I 1184** C (196r[24]25–196v5); *deest in* H$^{II}$

**3** φυσίζωον] *sic* C **12** ἀληθείᾳ] ἀηθείᾳ *ed. (sed cf. app. crit.)* **21** καὶ] *om.* C$^{a. c.}$

γὰρ ὁρατόν, ἅτε δὴ σῶμα τυγχάνον, ἀντιτέτακται φύσει τῷ ἀοράτῳ καὶ ἀσωμάτῳ, οὗ ἔργον μὲν εἶναι δύναται, καὶ μάλα γε θαυμάσιον ἔργον, ὁμοιότητα δὲ φύσεως πρὸς αὐτὸν οὐδεμίαν ἔχει.

## I 1185 / C cap. Η 2, 22

Φίλωνος, ἐκ τοῦ β′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Οἱ ἀστέρες στρέφονται καὶ εἱλοῦνται κύκλον, οἱ μὲν κατὰ τὰ αὐτὰ τῷ σύμπαντι οὐρανῷ, οἱ δὲ καὶ κινήσεσιν ἰδίαις ἔλαχον ἐξαιρέτοις.

## I 1186 / C cap. Η 2, 23

Τοῦ αὐτοῦ, ἐκ τῆς κατὰ Μωϋσέα κοσμοποιΐας·

Τὸ ἀόρατον καὶ νοητὸν φῶς ἐκεῖνο θείου λόγου γέγονεν εἰκὼν τοῦ διερμηνεύσαντος τὴν γένεσιν αὐτοῦ. Καὶ ἔστιν ὑπερουράνιος ἀστήρ, πλὴν τῶν αἰσθητῶν ἀστέρων, ὃν οὐκ ἀπὸ σκοποῦ καλέσειέν τις παναύγειαν, ἀφ’ ἧς ἥλιος καὶ σελήνη καὶ †ἄλλα† πλανῆτές τε καὶ ἀπλανεῖς †ἄρχονται, καὶ† καθόσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη, καὶ ἀμιγοῦς καὶ καθαρᾶς αὐγῆς μεταλαμβάνει.

---

**10** Τὸ – ἐκεῖνο] cf. Gen. 1, 4

---

**6–7 I 1185** Philo Iudaeus, *Quaestiones in Exodum*, II. 55a (ed. Petit, p. 273)
**10–15 I 1186** Philo Iudaeus, *De opificio mundi*, 31 (ed. Cohn, p. 9, 15 – 10, 2)

---

**5–7 I 1185** C (196v[5]6–8); *deest in* H$^{II}$ **9–15 I 1186** C (196v[8–9]9–17); *deest in* H$^{II}$

---

**10** θείου] *correximus (ed. et vide etiam infra*, I 1187 / C cap. Η 2, 24*)*, περὶ οὗ C **12** πλὴν] πηγὴ *ed.* ὃν] ἣν *ed.* ἀπὸ σκοποῦ] *scripsimus (ed.)*, ἄπο.σκοποῦ *(sic)* C **13** παναύγειαν] *scripsimus (ed.)*, παναυγείαν C †ἄλλα†] *cruces apposuimus, sic* C, οἱ ἄλλοι *ed.* **14** †ἄρχονται, καὶ†] *cruces apposuimus, sic* C, ἀρύτονται *ed.* **15** μεταλαμβάνει] *multum differt ab ed.*

## I 1187 / C cap. H 2, 24

Σχόλιον·

Πρόσεχε ὅπως φῶς φώτων ὑπερουράνιον καὶ ἄμικτον τοῖς ποιήμασιν, καὶ ἡνίοχον τῶν οἰκείων ποιημάτων τὸν θεῖον ὁμολογεῖ λόγον, ἐν οἷς αὐτὸς περὶ τῶν δοκούντων σημεῖα διαγγέλλει, ὅτε βούλεται.

---

**3 – 6 I 1187** *Scholion in Phil. Iud., De opificio mundi, 31*

---

**2 – 6 I 1187** C (196v[17]18–22); *deest in* $H^{II}$

# Στοιχεῖον Θ

**Τίτλος α′ Περὶ θείων λογίων, ὅτι χρὴ σπουδαίους ἡμᾶς εἶναι εἰς τὴν τούτων ἀκρόασιν.**

**γ′ Περὶ θείων λογίων, καὶ ὅτι χρὴ ἀκροᾶσθαι αὐτῶν καὶ διὰ μελέτης ἔχειν αὐτά.**

**δ′ Περὶ θείων λογίων, καὶ ὅτι χρὴ ἀκροᾶσθαι αὐτῶν.**

## I 1188 / C cap. Θ 1, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Θήσετε τὰ ῥήματα ταῦτα ἐπὶ τῆς καρδίας ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἐφάψατε αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν ὑμῶν· καὶ διδάξατε αὐτὰ τὰ τέκνα ὑμῶν λαλεῖν ἐν αὐτοῖς καθημένους ἐν οἴκῳ καὶ πορευομένους ἐν ὁδῷ, καὶ καθεύδοντας καὶ διανισταμένους· καὶ γράψεις αὐτὰ ἐπὶ

---

**2** Περὶ – λογίων] cf. supra, I 907 / C cap. Δ 6, 9 (SJD VIII/1)

---

**9 – 759, 2 I 1188** Deut. 11, 18–21 (Wahl, *Deuteronomium-Text*, p. 126)

---

**1 Stoicheion** C$^{txt}$ (196v23) C$^{pin}$ **2 – 3 Titlos (a)** C (196v23–25) A$^{II\ pin}$ R; *deest in* H$^{II}$A$^{II\ txt}$; PG 96, 525, 36 **4 – 5 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$; PG 96, 12, 9–11 **6 Titlos (c)** PML$^{b\ pin}$; *deest in* L$^{b\ txt}$ **8 – 759, 2 I 1188** C (196v[26]26–197r5); V$^{E}$ cap. Θ 3, 1; V$^{W}$ cap. Θ 3, 1; V$^{O}$ cap. Θ 3, 1; V$^{Ph}$ cap. Θ 3, 1; P cap. Θ 4, 1; M cap. Θ 4, 1; R cap. Θ 7, 1; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$; PG 96, 12, 12–20

---

**1 Stoicheion** Θ] θητα C$^{pin}$ **2 – 3 Titlos (a) 2** Τίτλος] *om.* A$^{II\ pin}$ R$^{pin}$ α′] ζ′ R, *propt. mg. resect. non liquet in* A$^{II\ pin}$ *(*α′ *secund. ser.)* ἡμᾶς] *om.* R **4 – 5 Titlos (b) 4** γ′] τίτλος γ′ V$^{W\ txt}$, *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(*γ′ *secund. ser.)* **5** ἔχει V$^{O\ pin}$ ταῦτα V$^{E\ pin}$ V$^{O\ pin}$ V$^{Ph\ pin}$ **6 Titlos (c)** λόγων M$^{txt}$ καὶ – αὐτῶν] *om.* M

---

**I 1188** Ἀπὸ τοῦ] *om.* V PM R δευτερονουμιου M

---

**9** θησετε M, θήσεται *(*θη- P*)* V$^{E}$V$^{O}$V$^{Ph\ a.\ c.}$ P ἐπὶ – καρδίας] ἐπὶ τὰς καρδίας V, ἐν ταῖς καρδίαις *(*-ιαις M*)* PM R **10** ὑμῶν[1]] ἡμῶν V$^{O}$ ἐφάψετε V$^{O}$V$^{Ph}$ **11** ἀσάλευτα R πρὸς ὀφθαλμὸν M$^{a.\ c.}$ διδαξεταί αὐτα *(sic)* M **12** ἐν[1]] *om.* R καθημένοις *(*-ε- M*)* V$^{E}$V$^{O}$V$^{Ph}$ M πορευομένοις *(*-με- M$^{p.\ c.}$*)* V$^{Ph}$ M$^{p.\ c.}$, παροιομένους V$^{E}$, πονηρευομενοις M$^{a.\ c.}$ **13** καὶ[1]] *om.* R ἀνισταμένους R

τῶν φλιῶν τοῦ οἴκου σου καὶ τῶν πυλῶν σου, ἵνα πληθυνθῶσιν αἱ ἡμέραι ὑμῶν καὶ αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν ἐπὶ τῆς γῆς.

## I 1189 / C cap. Θ 1, 2

Δαυῒδ ἐν ψαλμῷ α'·

Μακάριος ἀνήρ, ὃς <***>
ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ,
καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν
[ὑδάτων,
ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ,
καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται·
καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.

## I 1190 / C cap. Θ 1, 3

Ἐν ψαλμῷ ια'·

Τὰ λόγια κυρίου λόγια ἁγνά,
ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ,
κεκαθαρισμένον ἑπταπλασίως.

---

**5 I 1189** Μακάριος – ὅς] Ps. 1, $1^1$ **6 – 12** ἐν – κατευοδωθήσεται] Ibid. 1, $2^1$–$3^4$ **15 – 17 I 1190** Ps. 11, $7^{1-3}$

---

**4 – 12 I 1189** C (197r[5–6]6–12); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R **14 – 17 I 1190** C (197r[12]13–15); $V^{E}$ cap. Θ 3, 2; $V^{W}$ cap. Θ 3, 2; $V^{O}$ cap. Θ 3, 2; $V^{Ph}$ cap. Θ 3, 2; P cap. Θ 4, 2; M cap. Θ 4, 2; R cap. Θ 7, 2; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 21–22

---

**I 1190** (a) C P Ἐν] *praem.* Δαυῒδ P (b) Ψαλμοῦ ια' M R (c) Δαυῒδ V

---

**1** τῶν$^1$] *om.* PM R τοῦ] αὐτοῦ $V^{O}$ **2** αἱ] *om.* R υἱῶν] ἐτῶν P R, ετων M **5** *post* ὃς *quaedam excidisse videntur (cf. LXX)* **12** ποιῇ] *correximus (LXX)*, ποιεῖ C **16 – 17** ἀργύριον – ἑπταπλασίως] *om.* $V^{W}$ PM R **17** κεκαθαρισμένον ἑπταπλασίως] καὶ τὰ λοιπὰ $V^{O}$, *om.* $V^{E}V^{Ph}$

## I 1191 / C cap. Θ 1, 4

Ἐν ψαλμῷ ιζ′·

Τὰ λόγια κυρίου πεπυρωμένα.

## I 1192 / C cap. Θ 1, 5

Ἐν ψαλμῷ ιη′·

Ὁ νόμος κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
ἡ μαρτυρία κυρίου πιστή, σοφίζουσα νήπια·
τὰ δικαιώματα κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν·
ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

## I 1193 / C cap. Θ 1, 6

Ἐν ψαλμῷ λς′·

Στόμα δικαίου μελετήσει σοφίαν,
καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν·
ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ,
καὶ οὐχ᾽ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

## <I suppl. 391 / V cap. Θ 3, 5>

---

**16 I suppl. 391** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 I 1191** Ps. 17, $31^{2}$ **6 – 9 I 1192** Ps. 18, $8^{1}$–$9^{2}$ **12 – 15 I 1193** Ps. 36, $30^{1}$–$31^{2}$

---

**2 – 3 I 1191** C (197r[15]15); $V^{E}$ cap. Θ 3, 3; $V^{W}$ cap. Θ 3, 3; $V^{O}$ cap. Θ 3, 3; $V^{Ph}$ cap. Θ 3, 3; P cap. Θ 4, 3; M cap. Θ 4, 3; *deest in* $L^{b}$ R; PG 96, 12, 23 **5 – 9 I 1192** C (197r[16]16–19); $V^{E}$ cap. Θ 3, 4; $V^{O}$ cap. Θ 3, 4; $V^{Ph}$ cap. Θ 3, 4; P cap. Θ 4, 4; M cap. Θ 4, 4; R cap. Θ 7, 3; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 24–25 **11 – 15 I 1193** C (197r[20]20–23); R cap. Θ 7, 4; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1191** (a) C (b) Ψαλμὸς ιη′ PM Ψαλμὸς] ψ M ιη′] ιζ′ M (c) Δαυῒδ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1192** (a) C (b) Ψαλμοῦ ιη′ M R Ψαλμοῦ] ψ M (c) Τοῦ αὐτοῦ P (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1193** Ἐν ψαλμῷ] ψαλμοῦ R

---

**6 – 9** ἐπιστρέφων – ὀφθαλμούς] *om.* PM **7 – 9** ἡ – φωτίζουσα] ἕως R **8 – 9** τὰ – ὀφθαλμούς] *om.* $V^{E}V^{O}V^{Ph}$ **13 – 15** καὶ – ὑποσκελισθήσεται] ἕως R

## I 1194 / C cap. Θ 1, 7

Ἐν ψαλμῷ ριη′·

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;
Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

## <I suppl. 392–394 / V cap. Θ 3, 6–8>

## I 1195 / C cap. Θ 1, 8

Ἐκ τοῦ αὐτοῦ·

Λύχνος τοῖς ποσίν μου ὁ νόμος σου,
καὶ φῶς ταῖς τρίβοις μου.

## I 1196 / C cap. Θ 1, 9

Ἐκ τοῦ αὐτοῦ·

Καὶ ἐμελέτων ἐν τοῖς δικαιώμασίν σου διαπαντός.

---

**5 I suppl. 392–394** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1194** Ps. 118, $9^{2-3}$ **8 – 9 I 1195** Ps. 118, $105^{2-3}$ **12 I 1196** Ps. 118, $117^{2}$

---

**2 – 4 I 1194** C (197r[23]24–25); R cap. Θ 7, 6; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **7 – 9 I 1195** C (197r[25]26–27); $V^{E}$ cap. Θ 3, 9; $V^{O}$ cap. Θ 3, 9; $V^{Ph}$ cap. Θ 3, 9; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $PML^{b}$ R; PG 96, 12, 32–33 **11 – 12 I 1196** C (197r[27]27–28); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1194** (a) C (b) Τοῦ αὐτοῦ R **I 1195** (a) C (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$

## I 1197 / C cap. Θ 1, 10

Παροιμιῶν·

Λύχνος ἐντολὴ νόμου καὶ φῶς.

## I 1198 / C cap. Θ 1, 11

Τῶν αὐτῶν·

Σοφὸς καρδίᾳ, δέξεται ἐντολάς.

## I 1199 / C cap. Θ 1, 12

Τῶν αὐτῶν·

Πάντες λόγοι θεοῦ πεπυρωμένοι.

---

**3 I 1197** Prov. 6, $23^1$ (Wahl, *Proverbien-Text*, p. 41) **6 I 1198** Prov. 10, $8^1$ (Wahl, *Proverbien-Text*, p. 51–52) **9 I 1199** Prov. 30, $5^1$ (Wahl, *Proverbien-Text*, p. 115)

---

**2 – 3 I 1197** C (197r[28]29); $V^{E}$ cap. Θ 3, 10; $V^{W}$ cap. Θ 3, 7; $V^{O}$ cap. Θ 3, 10; $V^{Ph}$ cap. Θ 3, 10; P cap. Θ 4, 9; M cap. Θ 4, 9; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 12, 33 **5 – 6 I 1198** C (197r[29]29–30); $V^{E}$ cap. Θ 3, 12; $V^{W}$ cap. Θ 3, 9; $V^{O}$ cap. Θ 3, 12; $V^{Ph}$ cap. Θ 3, 12; P cap. Θ 4, 11; M cap. Θ 4, 11; E cap. 159, 58; R cap. Θ 7, 10; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 35 **8 – 9 I 1199** C (197r[30]30–197v1); $V^{E}$ cap. Θ 3, 13; $V^{W}$ cap. Θ 3, 10; $V^{O}$ cap. Θ 3, 13; $V^{Ph}$ cap. Θ 3, 13; P cap. Θ 4, 12; M cap. Θ 4, 12; R cap. Θ 7, 11; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 36

---

**I 1197** Παροιμιῶν] *praem.* τῶν M **I 1198** (a) C M (b) Παροιμιῶν R (c) Σολομῶντος E (d) *s. a.* V P **I 1199** (a) C P (b) *s. a.* V R (c) *s. d.* M

## I 1200 / C cap. Θ 1, 13

Τῶν αὐτῶν·

Τὸ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς.

## I 1201 / C cap. Θ 1, 14

Ἀμὼς προφήτου·

Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου· καὶ σαλευθήσεται ὕδατα ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται, ζητοῦντες τὸν λόγον κυρίου, καὶ οὐ μὴ εὕρωσιν.

## I 1202 / C cap. Θ 1, 15

Σχόλιον·

Οὐ παρ᾽ αἰτίαν τοῦ κηδεμόνος δεσπότου, ἀλλὰ παρὰ τὴν τῶν νουθετουμένων καὶ μὴ παιδευομένων ἀνηκοΐαν.

---

**3 I 1200** Prov. 9, 10a (Wahl, *Proverbien-Text*, p. 48) vel 13, 15[2] **6 – 10 I 1201** Am. 8, 11–12 (Wahl, *Prophetenzitate*, p. 194) **13 – 14 I 1202** *Scholion in Am. 8, 11–12*

---

**2 – 3 I 1200** C (197v[1]1–2); V[E] cap. Θ 3, 11; V[W] cap. Θ 3, 8; V[O] cap. Θ 3, 11; V[Ph] cap. Θ 3, 11; P cap. Θ 4, 10; M cap. Θ 4, 10; R cap. Θ 7, 12; *deest in* H[II] H[I] L[b]; PG 96, 12, 33–34 **5 – 10 I 1201** C (197v[2]3–8); R cap. Θ 7, 14; *deest in* H[II] V H[I] PML[b] **12 – 14 I 1202** C (197v[8]8–10); R cap. Θ 7, 15; *deest in* H[II] V H[I] PML[b]

---

**I 1200** (a) C (b) *s. a.* V[E]V[O]V[Ph] (c) *s. d.* V[W] PM R **I 1201** προφήτου] *om.* R

---

**3** Τὸ] τοῦ M, *praem.* καὶ R **8** σαλευθήσεται] ἐξαλειφθήσεται R **9** ἀναδραμοῦνται R **14** καὶ – παιδευομένων] *om.* R

## I 1203 / C cap. Θ 1, 16

Ἱερεμίου προφήτου·

Οἱ λόγοι μου ὥσπερ πῦρ, λέγει κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν.

## I 1204 / C cap. Θ 1, 17

Τοῦ Σιράχ·

Πᾶσαν διήγησιν θεοῦ θέλε ἀκροᾶσθαι,
καὶ παροιμίαι συνέσεως μὴ ἐκφυγέτωσάν σε.

## I 1205 / C cap. Θ 1, 18

Τοῦ αὐτοῦ·

Διανοοῦ ἐν τοῖς προστάγμασιν κυρίου,
καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διαπαντός.

---

**3 – 4 I 1203** Ier. 23, 29 (Wahl, *Prophetenzitate*, p. 552) **7 – 8 I 1204** Sir. 6, 35$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 62) **11 – 12 I 1205** Sir. 6, 37$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 62)

---

**2 – 4 I 1203** C (197v[11]11–12); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R **6 – 8 I 1204** C (197v [12]13–14); V$^{E}$ cap. Θ 3, 14; V$^{W}$ cap. Θ 3, 11; V$^{O}$ cap. Θ 3, 14; V$^{Ph}$ cap. Θ 3, 14; P cap. Θ 4, 13; M cap. Θ 4, 13; E cap. 159, 59; R cap. Θ 7, 13; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$; PG 96, 12, 36–37 **10 – 12 I 1205** C (197v[14]15–16); V$^{E}$ cap. Θ 3, 15; V$^{W}$ cap. Θ 3, 12; V$^{O}$ cap. Θ 3, 15; V$^{Ph}$ cap. Θ 3, 15; P cap. Θ 4, 14; M cap. Θ 4, 14; E cap. 159, 60; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$ R; PG 96, 12, 37–39

---

**I 1204** (a) C V PM R Τοῦ] *om.* V PM R (b) *s. a.* E **I 1205** (a) C V$^{W\ p.\ c.}$ P (b) *s. a.* V$^{E}$V$^{W\ a.\ c.}$ V$^{O}$V$^{Ph}$ M E

---

**7** θεοῦ] θείαν R *(LXX)* θέλαι V$^{E}$V$^{O}$ ἀκροασασθαι M **8** ἐκφυγέτωσάν σε] ἐκφυγέτω V$^{W}$ **12** διαπαντός] διαπαντος· δικαιοσύνην P

## I 1206 / C cap. Θ 1, 19

Τοῦ αὐτοῦ·

Πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου.

## I 1207 / C cap. Θ 1, 20

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ ρλε′·

Ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος. Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτος ἐστὶν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτος ἐστὶν ὁ τὸν λόγον ἀκούων καὶ εὐθέως μετὰ χαρᾶς λαμβάνων αὐτόν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρος ἐστίν, γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζεται. Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτος ἐστὶν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγουσιν τὸν λόγον καὶ ἄκαρπος γίνεται. Ὁ δὲ ἐπὶ τὴν καλὴν γῆν σπαρείς, οὗτος ἐστὶν ὁ τὸν λόγον ἀκούων καὶ συνιών, ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

---

**3 I 1206** Sir. 9, 15$^{2}$ (Wahl, *Sirach-Text*, p. 71) **6 – 17 I 1207** Matth. 13, 18 –23

---

**2 – 3 I 1206** C (197v[16]17); $V^{E}$ cap. Θ 3, 16; $V^{W}$ cap. Θ 3, 13; $V^{O}$ cap. Θ 3, 16; $V^{Ph}$ cap. Θ 3, 16; P cap. Θ 4, 15; M cap. Θ 4, 15; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 12, 40
**5 – 17 I 1207** C (197v[17–18]18 –198r3); R cap. Θ 7, 16; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1206** (a) C (b) *s. a.* V PM **I 1207** (a) C (b) Ματθαίου, κεφαλαίου ρλε′ R

---

**3** διήγησίς σοι *(*διη- P*)* $V^{W}$ P ὑψίστου] κυρίου M, *praem.* κυρίου P **6** σπείραντος R **9** τὰ] τὴν R **11** πρόσκαιρός ἐστι R δὲ$^{2}$] γὰρ R **15** καλὴν γῆν] γῆν τὴν καλὴν R **16** δὴ] γὰρ R **17** ἑκατόν] ρ′ R ἑξήκοντα] ξ′ R τριάκοντα] λ′ R

## I 1208 / C cap. Θ 1, 21

Τοῦ αὐτοῦ·

Πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

## I 1209 / C cap. Θ 1, 22

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου·

Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναι εἰσὶν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε πρός με ἐλθεῖν, ἵνα ζωὴν αἰώνιον ἔχητε.

## I 1210 / C cap. Θ 1, 23

Τοῦ αὐτοῦ·

Ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει.

---

**3 – 5 I 1208** Matth. 13, 52 **8 – 10 I 1209** Ioh. 5, 39–40 **13 I 1210** Ioh. 8, 47

---

**2 – 5 I 1208** C (198r[3]3–6); R cap. Θ 7, 17; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **7 – 10 I 1209** C (198r[6–7]7–10); $V^{E}$ cap. Θ 3, 17; $V^{W}$ cap. Θ 3, 14; $V^{O}$ cap. Θ 3, 17; $V^{Ph}$ cap. Θ 3, 17; P cap. Θ 4, 16; M cap. Θ 4, 16; R cap. Θ 7, 18; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 41–44 **12 – 13 I 1210** C (198r[11]11); R cap. Θ 7, 19; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1208** (a) C (b) *s. a.* R **I 1209** (a) C *numerus divisionis Eusebianae omissus videtur (vide infra, lemma c)* (b) Ἐκ τοῦ κατὰ Ἰωάννην $V^{E}V^{O}V^{Ph}$ R Ἐκ τοῦ] *om.* $V^{E}V^{O}V^{Ph}$ (c) Ἰωάννου, κεφαλαίου με′ PM με′] μα′ M (d) Ἰωάννου $V^{W}$ *add.* τοῦ θεολόγου $V^{W\ man.\ rec.}$ **I 1210** (a) C (b) *s. d.* R

---

**9** ἐκεῖναι εἰσὶν] ἐκεῖναί εἰσιν $V^{E}$, ἐκεῖναι εἰσιν P, αὐταί εἰσιν M καὶ οὐ] *e corr.* $V^{W}$ **10** ἔχητε] -ητε *e corr.* $V^{W}$, ἔχη $P^{a.\ c.}$, ἔχηται $P^{p.\ c.}$, ἔχεται *(*εχ- M*)* $V^{E}V^{O}$ M

## I 1211 / C cap. Θ 1, 24

Τοῦ αὐτοῦ·

Τὰ ῥήματα, ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμα ἐστὶν καὶ ζωή ἐστιν.

## I 1212 / C cap. Θ 1, 25

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Ὅσα προεγράφη, πάντα εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ διὰ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.

## I 1213 / C cap. Θ 1, 26

Ἐκ τῆς πρὸς Τιμόθεον α′ ἐπιστολῆς·

Πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτημένος.

---

**3 I 1211** Ioh. 6, 63 **6 – 8 I 1212** Rom. 15, 4 **11 – 14 I 1213** I Tim., re vera II Tim. 3, 16–17

---

**2 – 3 I 1211** C (198r[12]12–13); R cap. Θ 7, 20; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **5 – 8 I 1212** C (198r[13]13–16); R cap. Θ 7, 21; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **10 – 14 I 1213** C (198r[17]17–21); $V^{E}$ cap. Θ 3, 18; $V^{W}$ cap. Θ 3, 15; $V^{O}$ cap. Θ 3, 18; $V^{Ph}$ cap. Θ 3, 18; P cap. Θ 4, 17; M cap. Θ 4, 17; R cap. Θ 7, 22; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 45–48

---

**I 1211** (a) C (b) *s. d.* R **I 1212** Ἐκ τῆς] *om.* R ἐπιστολῆς] *om.* R **I 1213** (a) C (b) Τοῦ Ἀποστόλου, πρὸς Τιμόθεον M (c) Πρὸς Τιμόθεον $V^{E}V^{O}V^{Ph}$ P R (d) Τοῦ Ἀποστόλου $V^{W}$

---

**3** ὑμῖν] *om.* R **6** πάντα] ταῦτα R **7** διὰ[2]] *om.* R **12** ἔλεγχον] ἐλεγμὸν *(*ε- P; -μον M*)* V PM R *(NT, sed cf. app. crit.)* παιδίαν *(*-ιαν M*)* $V^{E}V^{O}V^{Ph}$ M ἐκ δικαιοσύνης $V^{E}V^{O}V^{Ph}$ **13** ᾖ] ἤ $V^{W}$, εἶ $V^{E}V^{O}V^{Ph\ a.\ c.}$ **13 – 14** ἐξηρτισμένος $C^{a.\ c.}$ *(NT)*, ἐξηρτησμένος $V^{O}$

## I 1214 / C cap. Θ 1, 27

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ περὶ φθόνου·

Λόγου πνευματικοῦ ἐν ἐκκλησίᾳ βρύοντος, καὶ καρδίας εὐσεβοῦς ἐκ τῶν χαρισμάτων τοῦ πνεύματος πηγαζούσης, δέχου μετ᾽ εὐφροσύνης τὰ λεγόμενα, καὶ εὐχαρίστως τὸν ἐκ τῆς ὠφελείας καρπὸν τρύγησον· οὐδεὶς γὰρ ἡλίου λάμποντος ἐπικαλύπτει τὰς ὄψεις.

## I 1215 / C cap. Θ 1, 28

Τοῦ αὐτοῦ, ἐκ τοῦ γ′ λόγου τῆς Ἑξαημέρου·

Τὸ διδασκάλιον τῆς ἀληθείας ἰδιωτικὸν μὲν τῷ λόγῳ, ἀδιάπτωτον δὲ κατὰ τὴν γνῶσιν.

---

**3 – 6 I 1214** Λόγου – τρύγησον] Basilius Caesariensis, *Homilia de invidia*, 5 (PG 31, 384, 16–19 [quibusdam omissis vel mutatis]) **6 – 7** οὐδεὶς – ὄψεις] Ibid. (PG 31, 384, 13–14) **10 – 11 I 1215** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, III, 6 (ed. Mendieta†/Rudberg, p. 49, 8–9)

---

**2 – 7 I 1214** C (198r[21–22]22–27); $V^{E}$ cap. Θ 3, 19; $V^{W}$ cap. Θ 3, 16; $V^{O}$ cap. Θ 3, 19; $V^{Ph}$ cap. Θ 3, 19; P cap. Θ 4, 18; M cap. Θ 4, 18; R cap. Θ 7, 23; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 12, 49 – 13, 3 **9 – 11 I 1215** C (198r[27]28–29); R cap. Θ 7, 24; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1214** (a) C PM R Τοῦ ἁγίου] *om.* P ἐκ τοῦ] *om.* P βασιλειου PM (b) Βασιλείου V **I 1215** Τοῦ αὐτοῦ] *om.* C

---

**3** βρύοντος ἐν ἐκκλησίᾳ *(*-α V PM*)* V PM R καρδία $V^{E}$ **4** πνεύματος] *praem.* ἁγίου C **6** λάμψαντος V P R **10** διδασκάλειον C

## I 1216 / C cap. Θ 1, 29

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

*Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος*, διατοῦτο συγγραφεῖσα παρὰ τοῦ πνεύματος, ἵν’ ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ, πάντες ἄνθρωποι τὸ ἴαμα τοῦ οἰκείου πάθους ἕκαστος ἐκλεγώμεθα. *Ἴαμα* γάρ φησιν *καταπαύσει ἁμαρτίας μεγάλας*. Καὶ ἁπαξαπλῶς κοινὸν ταμιεῖον ἐστὶν ἀγαθῶν διδαγμάτων, τὸ ἑκάστῳ πρόσφορον κατὰ τὴν ἐπιμέλειαν ἐξευρίσκουσα. Τά τε γὰρ παλαιὰ τραύματα τῶν ψυχῶν ἐξιᾶται, καὶ τῷ νεοτρώτῳ ταχεῖαν ἐπάγει τὴν ἐπανόρθωσιν, καὶ τὸ ἀκέραιον διασώζει, καὶ ὅλως ἐξαιρεῖ τὰ πάθη, καθόσον οἷόν τε, τὰ ποικίλως ταῖς ψυχαῖς <ἐν> τῷ βίῳ τῶν ἀνθρώπων ἐνδυναστεύοντα.

---

**3** II Tim. 3, 16 **6** Eccle. 10, $4^{3}$

---

**3 – 6 I 1216** Πᾶσα – μεγάλας] BASILIUS CAESARIENSIS, *Homilia in Psalmum I*, 1 (PG 29, 209, 5 – 212, 1) **6 – 12** Καὶ – ἐνδυναστεύοντα] IBID. (PG 29, 212, 7–15)

---

**2 – 12 I 1216** C (198r[29–30]30–198v12); $V^{E}$ cap. Θ 3, 20; $V^{W}$ cap. Θ 3, 17; $V^{O}$ cap. Θ 3, 20; $V^{Ph}$ cap. Θ 3, 20; P cap. Θ 4, 19; M cap. Θ 4, 19; R cap. Θ 7, 25; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 13, 4–15

---

**I 1216** (a) C PM R Τοῦ αὐτοῦ] *om.* P ἐκ τοῦ] *om.* PM R (b) Τοῦ αὐτοῦ $V^{E}V^{W}V^{O}$ (c) *s. a.* $V^{Ph}$

---

**4** ἵν’] ἵνα V R, ϊνά *(sic)* P, ϊνα M ϊατρῷ P **5** ἕκαστος] *om.* M ἐκλεγόμεθα V PM $R^{a.c.}$ **6** γάρ φησιν] γὰρ φησὶ R, γὰρ M **7** κοινῶν $V^{E}V^{O}$ ταμιεῖόν ἐστὶν *(sic)* $V^{W}$, ταμεῖον ἐστὶν $V^{E}V^{O}V^{Ph}$, τὰμειον ἐστιν P, ταμειων ἐστιν M τὸ] τῷ $V^{E}V^{O}V^{Ph}$ P, *om.* $V^{W}$ ἑκάστου R, ἑκαστον $M^{ut\ videtur}$ **9** νέω τρόπω R, νεοτροτοπω P ἐπανάγει V P R, επαναγει M **10** ἐπανόρθωσιν] *add.* καὶ τὸ νενοσηκὸς περιποιεῖται $V^{W\ man.\ rec.\ mg.}$ *(ed.)* ἐξαίρει C $V^{E}V^{O}V^{Ph}$, ἐξερει P, ἐξαιρεῖται M **11** οἷόν τε] οἷόν τε $V^{E}V^{W\ a.c.}$, οἵονται (οἱ- P) PM ἐν] *supplevimus (ed.)*, *om.* C V PM R τῷ βίῳ] *in mg.* $V^{W}$, *om.* M

## I 1217 / C cap. Θ 1, 30

Καὶ μετ᾽ ὀλίγα·

Τί οὐκ ἂν μάθοις ἐντεῦθεν; Οὐ τῆς ἀνδρείας τὸ μεγαλοπρεπές, οὐ τῆς δικαιοσύνης τὸ ἀκριβές; Οὐ σωφροσύνης τὸ σεμνόν; Οὐ τὸ τῆς φρονήσεως τέλειον; Οὐχὶ μετανοίας τρόπον; Οὐχ᾽ ὑπομονῆς μέτρα; Οὐχ᾽ ὅτι ἂν εἴποις τῶν ἀγαθῶν; Ἐνταῦθα ἔνι θεολογία τελεία, πρόρρησις τῆς διὰ σαρκὸς ἐπιδημίας τοῦ Χριστοῦ, ἀπειλὴ κρίσεως, ἀναστάσεως ἐλπίς, φόβος κολάσεως, ἐπαγγελίαι δόξης, μυστηρίων ἀποκαλύψεις· πάντα ὥσπερ ἐν μεγάλῳ τινὶ καὶ κοινῷ ταμιείῳ τῇ θείᾳ Γραφῇ τεθησαύρισται.

## I 1218 / C cap. Θ 1, 31

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς Γρηγόριον ἀσκητικῆς ἐπιστολῆς·

Μεγίστη ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν ἡ μελέτη τῶν θεοπνεύστων γραφῶν· ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ θεὸν πολιτείας, τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων πρόκεινται. Καὶ τοίνυν περὶ ὧνπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται, ἐκείνῳ προσδιατρίβων οἷον ἀπό τινος κοινοῦ ἰατρείου, τὸ πρόσφορον εὑρίσκει τῷ ἀρρωστήματι φάρμακον.

---

**3 – 10 I 1217** Basilius Caesariensis, *Homilia in Psalmum I*, 2 (PG 29, 213, 13–23) **13 – 20 I 1218** Basilius Caesariensis, *Epistulae*, II (*Ad Gregorium epistula ascetica*), 3, 1–9 (ed. Courtonne, I, p. 8–9)

---

**2 – 10 I 1217** C (198v[12]12–23); $V^{E}$ cap. Θ 3, 21; $V^{O}$ cap. Θ 3, 21; $V^{Ph}$ cap. Θ 3, 21; P cap. Θ 4, 20; M cap. Θ 4, 20; R cap. Θ 7, 26; *deest in* $H^{II}$ $V^{W}$ *(*ζ<ητει> το λειπον *in mg. add.* $V^{W\ man.\ rec.}$*)* $H^{I}$ $L^{b}$; PG 96, 13, 15–25 **12 – 20 I 1218** C (198v[23–24]24–199r3); R cap. Θ 7, 27; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1217** (a) C (b) Τοῦ αὐτοῦ P (c) *s. d.* $V^{E}V^{O}V^{Ph}$ M R **I 1218** Τοῦ αὐτοῦ] *om.* C

---

**3** Τί] *add.* οὖν $V^{E}V^{O}V^{Ph}$ PM R **5** τρόπω M **6** Οὐχ᾽] οὐχὶ M εἴπης $V^{E}V^{Ph}$ P R *(cf. ed. in adnot. 94)*, εἰπῆς M **7** ἐπιδημίας] ἐπιδιμιας M, ἐπιφανείας R, οἰκονομίας $C^{txt}$ *(in mg. correx. man. prim.)* τοῦ] *om.* M **8** κολάσεων $V^{E}V^{O}V^{Ph}$ P ἐπαγγέλιαι $V^{O\ a.\ c.}$, ἐπαγγελειαι P, ἐπαγγελία C **9** ἀποκάλυψις $V^{E}V^{O}V^{Ph}$ P **10** ταμείω $V^{O}V^{Ph}$ P, ταμίω M **17** τῷ μιμήματι] μίμημά τι R ἀγαθῶν] κατὰ θεὸν C **18** ἐνδεῶς] ἡδέως C ἔχοντα R **20** φάρμακον] *om.* C

## I 1219 / C cap. Θ 1, 32

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ εὐταξίας·

Φθέγγου μὲν τὰ τοῦ πνεύματος, καὶ εἰ δυνατόν, μὴ δὲ ἄλλό τι. Καὶ φθέγγου μᾶλλον ἢ ἀνάπνει· καλὸν γὰρ τοῦτο καὶ ἔνθεον, τῇ μνήμῃ τῶν θείων ἀεὶ ἐγκεντρίζεσθαι πρὸς θεόν.

## I 1220 / C cap. Θ 1, 33

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Ἀθανάσιον·

Πῶς οὐκ ἄτοπον Ῥωμαίων μὲν νόμον μηδενὶ ἀγνοεῖν ἐξεῖναι, μὴ δ᾽ ἂν σφόδρα ᾖ τίς ἀγροικίας καὶ ἀμαθέστατος, μὴ δὲ εἶναι νόμον τὸν βοηθοῦντα τοῖς πραττομένοις δι᾽ ἄγνοιαν, ἡμᾶς δὲ τὰς τῆς σωτηρίας ἀγνοεῖν Γραφάς;

## I 1221 / C cap. Θ 1, 34

Τοῦ αὐτοῦ, ἐκ τῶν διστίχων Γνωμῶν·

Οἴγειν ἐν λογίοισιν ἑὸν νόον, αἰὲν ἄριστον·
Ἴδρις ἐπουρανίων ὧδ᾽ ἂν ἔοις νομίμων.

---

**3 – 5 I 1219** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 21, 6–9 (ed. Moreschini, p. 128) **8 – 11 I 1220** Gregorius Nazianzenus, *In laudem Athanasii (Orat. 21)*, 24, 25–29 (ed. Mossay/Lafontaine, p. 160) **14 – 15 I 1221** Gregorius Nazianzenus, *Carmina*, I,2,31 *(Distichae sententiae)*, 45–46 (PG 37, 914, 5–6)

---

**2 – 5 I 1219** C (199r[4]5–8); R cap. Θ 7, 28; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **7 – 11 I 1220** C (199r[8]9–13); R cap. Θ 7, 29; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **13 – 15 I 1221** C (199r[13–14]14–16); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1219** Τοῦ – Γρηγορίου] *om.* R ἐκ τοῦ] *om.* R **I 1220** Τοῦ αὐτοῦ] *om.* R αθανάσιον C

---

**9** ἄγροικος C *(cf. app. crit. ed.)* **10** τὸν βοηθοῦντα] *om.* R **11** Γραφάς] ἀρχάς *ed.* **14** ἑὸν] *scripsimus*, ἐὸν C, θεοῦ *ed.* νόον, αἰὲν] *sic interpunx.* C

## I 1222 / C cap. Θ 1, 35

Τοῦ αὐτοῦ, ἐκ τῶν τετραστίχων Γνωμῶν·

Θεοῦ μόνου θείων τε ἀπλήστως ἔχειν,
Ὃς τοῖς λαβοῦσι καὶ πλέον χαρίζεται·
†Διψῶντα διψά δ'† ἀφθόνως ἀεὶ ῥέων·
Ἐν τοῖς δὲ λοιποῖς καὶ φέρειν ἡσσώμενος.

## I 1223 / C cap. Θ 1, 36

Τοῦ αὐτοῦ, ὅσα ἐνδιάθηκα βιβλία, ἐκ τῶν Ἐπῶν·

Θείοις ἐν λογίοισιν ἀεί, γλώσσῃ τε νόῳ τε,
Στρωφᾶσθ'· ἦ γὰρ ἔδωκε θεὸς καμάτων τόδ' ἄεθλον,
Καί τι κρυπτὸν ἰδεῖν ὀλίγον φάος, ἢ τόδ' ἄριστον,
Νύττεσθαι καθαροῖο θεοῦ μεγάλῃσιν ἐφετμαῖς,
Ἢ τρίτατον, χθονίων ἀπάγειν φρένα ταῖσδε μερίμναις.
Ὄφρα δὲ μὴ ξείνῃσι νόον κλέπτοιο βίβλοισι
– Πολλαὶ γὰρ τελέθουσιν παρέγγραπτοι κακότητες –
Δέχνυσο τοῦτον ἐμεῖο τὸν ἔγκριτον, ὦ φίλ', ἀριθμόν.
Ἱστορικαὶ μὲν ἔασι βίβλοι δυοκαίδεκα πᾶσαι
Τῆς ἀρχαιοτέρης Ἑβραϊκῆς σοφίης.
Πρώτη Γένεσις, εἶτ' Ἔξοδος, Λευϊτικόν,
Ἔπειτ' Ἀριθμοί, εἶτα Δεύτερος Νόμος,
Ἔπειτ' Ἰησοῦς καὶ Κριταί, Ῥοὺθ ὀγδόη,
Ἡ δ' ἐνάτη δεκάτη τε βίβλοι πράξεις Βασιλειῶν
Καὶ Παραλειπόμεναι, ἔσχατον Ἔσδραν ἔχεις.
Αἱ δὲ στιχηραί, πέντε, ὧν πρῶτος Ἰώβ,

---

**3 – 6 I 1222** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 145–148 (PG 37, 938, 12 – 939, 2) **9 – 773, 23 I 1223** Gregorius Nazianzenus, *Carmina*, I,1,12 *(De veris Scripturae libris)*, 1–39 (PG 37, 472, 3 – 474, 14)

---

**2 – 6 I 1222** C (199r[16–17]17–20); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R **8 – 773, 23 I 1223** C (199r[20–21]21–199v26); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**5** †Διψῶντα – δ'†] *cruces apposuimus, sic* C, Διψῶν τὸ διψᾶσθ' *ed.* (διψῶντα διψάων *in app. crit.)* **10** Στρωφᾶσθ'] *scripsimus (ed.)*, στρωφὰς θ' $C^{a.c.}$, στροφὰς θ' $C^{p.c.}$ **13** τρίτατον] *correximus (ed.)*, τρίτα, τῶν C **18** Τῆς – σοφίης] *in mg. scrips.* ἴαμβος C **19** Πρωτίστη *ed.* Λευιτικόν τε *ed.* **22** βασιλήων *ed.*

Ἔπειτα Δαυΐδ, εἶτα τρεῖς Σολομώντιαι·
Ἐκκλησιαστής, Ἆσμα καὶ Παροιμίαι.
Καὶ πένθ' ὁμοίως πνεύματος προφητικοῦ.
Μίαν μέν εἰσιν εἰς γραφὴν οἱ δώδεκα·
Ὠσηὲ καὶ Ἀμὼς καὶ Μιχαίας ὁ τρίτος,
Ἔπειτ' Ἰωήλ, εἶτ' Ἰωνᾶς, Ἀβδίας
Ναούμ τε Ἀμβακούμ τε καὶ Σοφονίας,
Ἀγγαῖος, εἶτα Ζαχαρίας, Μαλαχίας.
Μία μὲν οἵδε, δευτέρα δ' Ἡσαΐας,
Ἔπειθ' ὁ κληθεὶς Ἱερεμίας ἐκ βρέφους,
Εἶτ' Ἰεζεκιὴλ καὶ Δανιῆλος χάρις.
Ἀρχαίας μὲν ἔθηκα δύο καὶ εἴκοσι βίβλους,
Τοῖς τῶν Ἑβραίων γράμμασιν ἀντιθέτους.
Ἤδη δ' ἀρίθμει καὶ νέου μυστηρίου.
Ματθαῖος μὲν ἔγραψεν Ἑβραίοις θαύματα Χριστοῦ,
Μάρκος δ' Ἰταλίῃ, Λουκᾶς Ἀχα<ι>ΐδι,
Πᾶσι δ' Ἰωάννης κῆρυξ μέγας οὐρανοφοίτης.
Ἔπειτα Πράξεις τῶν σοφῶν ἀποστόλων,
Δέκα δὲ Παύλου τέσσαρές τ' ἐπιστολαί,
Ἑπτὰ καθολικαί, ὧν Ἰακώβου μία,
Δύο δὲ Πέτρου, τρεῖς δ' Ἰωάννου πάλιν·
Ἰούδα δ' ἐστὶν ἑβδόμη. Πάσας ἔχεις·
Εἴ τι δὲ τούτων ἐκτός, οὐκ ἐν γνησίαις.

**1** δαυειδ C[a. c. man. rec.] **5** ὡσιὲ C[a. c. ut videtur] **6** Ἰωνᾶς] *scripsimus*, ἰωνὰς C **9** οἵδε] *correximus (ed.)*, οἷδε C **11** ἐζεκιὴλ C[a. c. ut videtur] **16** Ἀχαιΐδι] *scripsimus*, ἀχαΐδι C, Ἀχαϊάδι *ed.*

## I 1224 / C cap. Θ 1, 37

Τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, ἐκ τῆς πρὸς Σέλευκον ἰαμβικῆς ἐπιστολῆς·

Σὺ δ᾽ ἀντὶ τούτων χαῖρε τοῖς μαθήμασιν,
Ἐξ ὧν ὅτι κράτιστον ἀσκήσεις τρόπον.
Ἐπὰν δὲ τὸν νοῦν μετρίως προγυμνάσῃς,
Ὡς ἐν παλαίστρᾳ, ποικίλοις συγγράμμασιν,
Αὐταῖς ἐνάθλει ταῖς θεοπνεύστοις Γραφαῖς,
Διττῶν Διαθηκῶν συλλέγων πλοῦτον μέγαν,
Τῆς μὲν Παλαιᾶς, τῆς δέ γε Καινῆς ἀεί.
Ταύταις ἅπασαν ἀσμένως σπουδὴν νέμε,
Παρ᾽ ὧν μαθήσῃ χρηστὸν ἐξασκεῖν τρόπον,
Καὶ τόν γ᾽ ἀληθῆ καὶ μόνον θεὸν σέβειν.
Πλὴν ἀλλ᾽ ἐκεῖνο προμαθεῖν μάλιστά σοι
Προσῆκον· οὐχ᾽ ἅπασα βίβλος ἀσφαλὴς
Ἡ σεμνὸν ὄνομα τῆς Γραφῆς κεκτημένη.
Εἰσὶν γὰρ εἰσὶν ἔσθ᾽ ὅτε ψευδώνυμοι
Βίβλοι, τινὲς μὲν ἐν μέσῳ καὶ γείτονες,
Ὡς ἄν τις εἴποι, τῶν ἀληθείας λόγων,
Αἱ δ᾽ αὖ νόθοι τε καὶ λίαν ἐπισφαλεῖς,
Ὥσπερ παράσημα καὶ νόθα νομίσματα,
Ἃ βασιλέως μὲν τὴν ἐπιγραφὴν ἔχει,
Κίβδηλα δ᾽ ἐστίν, ταῖς ὕλαις δολούμενα.

---

**4 – 10 I 1224** Σὺ – ἀεί] AMPHILOCHIUS ICONIENSIS, *Iambi ad Seleucum*, 181–187 (ed. Oberg, p. 34 [= p. 86–87]) **11 – 13** Ταύταις – σέβειν] IBID., 190–192 (p. 34–35 [= p. 88]) **14 – 23** Πλὴν – δολούμενα] IBID., 251–260 (p. 36–37 [= p. 92])

---

**2 – 775, 2 I 1224** C (199v[26–28]28–200r17); R cap. Θ 7, 30; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1224** Τοῦ ἁγίου] *om.* R Ἰκονίου] *scripsimus*, ἰκονίου C, εἰκο$^{v}$ R

---

**8** ἐνάθλει] ἐνασκοῦ R *(cf. app. crit. ed.)* **10** δέ γε] δὲ R ἀεί] *praem.* ἐς *(sic)* R **13** τόν γ᾽] τὸν R *(ed., sed cf. app. crit.)* **14** προσμαθεῖν R **16** Ἡ] ἣ C **18** ἐν μέσῳ] ἔμμεσοι R *(ed., sed cf. app. crit.)* **20** νόθοι τὲ R **22** τὴν] *om.* R **23** δουλούμενα R

Αἷς εἰ σὺ πεισθῇς, ἐκφύγοις κόσμου πάγας,
Χριστῷ δ’ ἕποιο τῷ σοφῷ θεοῦ λόγῳ.

## <I suppl. 395–396 / V cap. Θ 3, 22–23>

## I 1225 / C cap. Θ 1, 38

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὸν ἐν ταῖς Πράξεσι δεσμοφύλακα·

Εἰ εἰκόνα τίς ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου ἢ συγγενοῦς, νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου, πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων Γραφῶν τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες· τὰ γὰρ παρ’ αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν.

---

**3 I 1224 I suppl. 395–396** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **7 – 12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 45.9./52.9. (ed. Ihm, p. 769)

---

**1** Αἷς – πάγας] Ibid., 320 (p. 39 [= p. 94]) **2** Χριστῷ – λόγῳ] Ibid., 325 (p. 39 [= p. 94]) **7 – 12 I 1225** Iohannes Chrysostomus, *De custode carceris in Actis (Act. 16, 27–34) (In Psalmum CXLV)*, 2 (PG 55, 521, 23–30)

---

**5 – 12 I 1225** C (200r[17–18]18–25); $V^{E}$ cap. Θ 3, 24; $V^{W}$ cap. Θ 3, 20; $V^{O}$ cap. Θ 3, 24; $V^{Ph}$ cap. Θ 3, 24; P cap. Θ 4, 23; M cap. Θ 4, 23; R cap. Θ 7, 33; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 13, 31–38

---

**I 1225** (a) C PM Τοῦ – χρυσοστόμου] *om.* PM ἐκ τοῦ] *om.* P (b) Τοῦ Χρυσοστόμου R (c) Τοῦ αὐτοῦ $V^{W}V^{O}$ (d) *s. a.* $V^{E}V^{Ph}$

---

**2** ἕποιο] ἕλοιο R θεῶ C **7** Εἰ] *om.* $V^{O}$ M ἄψυχον] *om.* M **8** ἐκεῖνον παρεῖναι R ἐκείνου $V^{O}$ ἀπελθοντων M αὐτῶν M **9** ἡμεῖς] *om.* R **10** ἀπολαύσομεν R **12** αὐτῶν] *om.* $V^{O}$

## I 1226 / C cap. Θ 1, 39

Τοῦ αὐτοῦ, ἐκ τοῦ ὅτι χρὴ γενναίως φέρειν πενίαν·

Ὥσπερ γῆν μὴ βρεχομένην οὐκ ἔστιν, κἂν μυρία τίς καταβάλῃ σπέρματα, στάχυας ἐξενεγκεῖν, οὕτω ψυχὴν οὐκ ἔστιν, μὴ ταῖς θείαις Γραφαῖς ποτισθεῖσαν πρότερον, κἂν μυρία τίς ἐκχέῃ ῥήματα, καρπὸν τινὰ ἐπιδείξασθαι.

## I 1227 / C cap. Θ 1, 40

Ἐκ τοῦ αὐτοῦ·

Ἀγαπητέ, κἂν μὴ οἶδας τῶν λεγομένων τὴν δύναμιν, ὅμως αὐτὰ τὰ ῥήματα κάτεχε· καὶ γὰρ ἁγιάζει ψυχὴν καὶ ψιλὴ τῶν Γραφῶν ἀνάγνωσις. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ κέρδος ἡμῖν, ἀλλὰ καὶ τῷ

---

**3 – 6** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.11.*/12. (ed. Ihm, p. 400) et ap. Ps.-Anastas. Sin., *Quaestiones et responsiones*, 65 (PG 89, 672, 34–38)

---

**3 – 6 I 1226** IOHANNES CHRYSOSTOMUS, *Quod necesse est paupertatem fortiter ferre*, locus non repertus (Haidacher 183.46); exstat ap. (PS.-)IOHANNEM CHRYSOSTOMUM, *Eclogae ex diversis homiliis*, VIII *(De anima)* (PG 63, 622, 39–43) **9 – 777, 2 I 1227** IOHANNES CHRYSOSTOMUS, locus non repertus; Haidacher 184.47

---

**2 – 6 I 1226** C (200r[26]27–200v1); $V^E$ cap. Θ 3, 25; $V^W$ cap. Θ 3, 21; $V^O$ cap. Θ 3, 25; $V^{Ph}$ cap. Θ 3, 25; P cap. Θ 4, 24; M cap. Θ 4, 24; R cap. Θ 7, 34; *deest in* $H^{II}$ $H^I$ $L^b$; PG 96, 13, 38–42 **8 – 777, 2 I 1227** C (200v[1]1–7); $V^E$ cap. Θ 3, 26; $V^W$ cap. Θ 3, 22; $V^O$ cap. Θ 3, 26; $V^{Ph}$ cap. Θ 3, 26; P cap. Θ 4, 25; M cap. Θ 4, 25; R cap. Θ 7, 35; *deest in* $H^{II}$ $H^I$ $L^b$; PG 96, 13, 42–47

---

**I 1226** (a) C PM R Τοῦ αὐτοῦ] *om.* P ἐκ τοῦ] *transposuimus, post* πενίαν *scrips.* C, *om.* PM R (b) Τοῦ αὐτοῦ $V^EV^WV^O$ *in mg. sup. add.* οτι χρὴ γενναιως φέρειν πενίαν $V^{W\ man.\ rec.}$ (c) *s. a.* $V^{Ph}$ **I 1227** (a) C $V^EV^WV^O$ P Ἐκ] *om.* $V^EV^WV^O$ P (b) *s. a.* $V^{Ph}$ (c) *s. d.* M R

---

**3** καταβάλλῃ R, βάλῃ P, βάλλει V M **4** στάχυν C ψυχὴν] *praem.* καὶ R **5** θείαις] *om.* V PM ποτισθεῖσαν] ποτιθεῖσαν $V^O$, προτϊθεῖσαν $V^{Ph}$, φωτισθεῖσαν *ed.* κἂν] καὶ $V^O$ P μύρια P, μυρια M ἐκχέει M **6** καρπόν τινα $V^{W\ p.\ c.}$ **9** οἶδες *(*οἴ*-* P*)* $V^EV^O$ P, εἶδες $V^{Ph}$ τῶν λεγομένων] *post* δύναμιν *transpos.* $V^{W\ a.\ c.}$ αὐτὰ] *praem.* τὰ $V^{W\ p.\ ras.}$ **10** κατέχεας M **11** ἀνάγνωσις] *praem.* ἡ V PM μόνον – κέρδος] μόνον ἔσται τὸ κέρδος $V^EV^OV^{Ph}$ P, μόνον τὸ κερδος ἐσται M ὑμῖν M ἀλλὰ] ἀλλ’ εἰ M

χρόνῳ πλείονα εἴσῃ, τῇ συνεχείᾳ τῆς ἀναγνώσεως αὐτομάτως σοι τῆς διανοίας ἀνοιγομένης.

## I 1228 / C cap. Θ 1, 41

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ ὅτι ἐπισφαλὲς τὸ εἰς θέατρα ἀναβαίνειν·

Εἰ σώματος εἰκόνες φέρουσιν τινὰ παραμυθίαν τοῖς ὁρῶσιν, πολλῷ μᾶλλον αἱ τῆς θείας Γραφῆς εἰκόνες. Κἀκείνας μὲν οὐ δυνατὸν πανταχοῦ ὁρᾶν, ἀλλ' ἀνάγκη διηνεκῶς ἐφ' ἑνὸς ἱδρῦσθαι τόπου· ταύτην δέ, ὅπουπερ ἂν ἀπέλθῃς, περιαγαγεῖν οὐδὲν τὸ κωλῦον. Ἐναποθέμενος γὰρ αὐτὴν τοῖς τῆς διανοίας ταμιείοις, ὅπουπερ ἂν ᾖς, συνεχῶς εἰς αὐτὴν ὁρᾶν δυνήσῃ, καὶ πολλὴν παρ' αὐτῆς καρποῦσθαι τὴν ὠφέλειαν.

---

**5 – 11 I 1228** IOHANNES CHRYSOSTOMUS, *De Davide et Saule*, III *(Contra theatra)*, 2, 78–85 (ed. Barone, p. 55)

---

**4 – 11 I 1228** C (200v[8–9]9–18); $V^{E}$ cap. Θ 3, 27; $V^{O}$ cap. Θ 3, 27; $V^{Ph}$ cap. Θ 3, 27; P cap. Θ 4, 26; M cap. Θ 4, 26; R cap. Θ 7, 36; *deest in* $H^{II}$ $V^{W}$ $H^{I}$ $L^{b}$; PG 96, 13, 48 – 16, 3

---

**I 1228** (a) C R ἐκ – τὸ] *om.* R (b) Ἐκ τοῦ εἰς τὸ ἐπισφαλὲς τὸ εἰς θέατρα *(sic)* PM τὸ εἰς] *om.* M θέατρα] *scripsimus*, θεατ P, θεατρον M (c) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ (d) *s. a.* $V^{Ph}$

---

**1** πλείονα εἴσῃ] πλεονάσεις M εἴσῃ] οἴσει $V^{W\ e\ corr.}$ R, ἴσῃ C P αὐτομάτου σοι P, αὐτομάτου σου $V^{E}V^{O}V^{Ph}$ **5** Εἰ – τινὰ] *om.* $V^{O}$ τινὰ] *om.* C **6** θείας Γραφῆς] ψυχῆς *ed.* **6 – 11** μὲν – ὠφέλειαν] *desunt in* $P^{(lac.)}$ **7** ἀλλα M διηνεκῶς] *om.* C ἰδρῦσθαι $V^{E}V^{O}$, ἵδρυσθαι R, ηδρυσθε M **8** ὅποιπερ C περιάγειν C R **9** τοῖς] *praem.* ἐν M ταμείοις *(*τὰ- $V^{Ph}$*)* $V^{E}V^{O}V^{Ph}$, ταμίοις M ὅποιπερ C **10** δυνήσει $V^{E}V^{O}V^{Ph}$ **11** ὠφελίαν M

## I 1229 / C cap. Θ 1, 42

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ μετανοίας·

Ἐντυγχάνειν δεῖ ταῖς θείαις Γραφαῖς· ὥσπερ γὰρ οἶνος πινόμενος ἀναπαύει λύπην καὶ μεταβάλλει τὴν καρδίαν εἰς εὐφροσύνην, οὕτως ὁ πνευματικὸς οἶνος εἰς χαρὰν μεταβάλλει τὴν ψυχήν.

## I 1230 / C cap. Θ 1, 43

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὰς Βασιλείας ε′ λόγου·

Ἕκαστον ἀφ᾽ ἑκάστου τῶν θείων λογίων ἐκκρέμαται, λέξει ἀκομπάστῳ συγκείμενον, θησαυροὺς δὲ ὅλους ὑπὸ ταῖς συλλαβαῖς ἐπισκέπον.

## I 1231 / C cap. Θ 1, 44

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Μὴ εἰκῇ συγγεγράφθαι ὑπολάβωμεν τὰ θεῖα, ἀλλ᾽ ἵνα ἔχωμεν ὑ-

---

**3 – 5** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 17.12.*/13.* (ed. Ihm, p. 400–401) **3 – 4** οἶνος – εὐφροσύνην] cf. Ps. 103, $15^1$

---

**3 – 5 I 1229** IOHANNES CHRYSOSTOMUS, *De poenitentia*, re vera (PS.-)IOHANNES IV IEIUNATOR, *Sermo de paenitentia et continentia et virginitate* (PG 88, 1944, 4–8; Haidacher 197 sub 16 A) **8 – 10 I 1230** IOHANNES CHRYSOSTOMUS, *In libros Regum homiliae*, V, locus non repertus **14 I 1231** Μὴ – θεῖα] GREGORIUS NAZIANZENUS, *Apologetica (Orat. 2)*, 104, 4–5 (ed. Bernardi, p. 224) **14 – 779, 3** ἀλλ᾽ – παραδείγμασιν] IBID., 105, 5–9 (p. 224)

---

**2 – 5 I 1229** C (200v[18]19–23); $V^{E}$ cap. Θ 3, 28; $V^{W}$ cap. Θ 3, 23; $V^{O}$ cap. Θ 3, 28; $V^{Ph}$ cap. Θ 3, 28; M cap. Θ 4, 27; E cap. 159, 62; R cap. Θ 7, 37; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 16, 4–7 **7 – 10 I 1230** C (200v[23]24–26); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ R **12 – 779, 3 I 1231** C (200v[27]28–201r3); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ R

---

**I 1229** (a) C $V^{E}V^{O}V^{Ph}$ M R Τοῦ αὐτοῦ] *om.* $V^{O}$ ἐκ τοῦ] *om.* $V^{E}V^{O}V^{Ph}$ M R (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. a.* E

---

**3** Γραφαῖς] *s. l.* R **4** καταπαύει $V^{E}V^{O}V^{Ph}$, παύει *ed.* **4 – 5** οὗτος $V^{E}V^{O}V^{Ph\ a.\ c.}$ **5** χαρὰν] εὐφροσύνην E

πομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε συμπέσοι καιρός, διασκέψεως, ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασιν.

## I 1232 / C cap. Θ 1, 45

Κλήμεντος, ἐκ τοῦ β′ Στρωματέως·

Καὶ εἰ μηδέπω ποιεῖν τὰ προσταττόμενα ὑπὸ τοῦ νόμου οἷόν τέ ἐστιν, ἀλλά τοι συνορῶντες ὡς ὑπόδειγμα ἡμῖν ἔγκειται, κάλλιστα ἐν αὐτοῖς τρέφειν καὶ αὔξειν τὸν ἔρωτα τῆς ἐλευθερίας δυνάμεθα, καὶ τῇδε ὠφελοίμεθα κατὰ δύναμιν προθυμότερον, τὰ μὲν προκαλούμενοι, τὰ δὲ μιμούμενοι, τὰ δὲ καὶ δυσωπούμενοι. Οὔτε γὰρ οἱ παλαιοὶ δίκαιοι κατὰ νόμον βιώσαντες, ἀπὸ δρυὸς ἦσαν παλαιφάτου οὐδ' ἀπὸ πέτρης. Τῷ γοῦν βουληθῆναι γνησίως φιλοσοφεῖν, ὅλους ἑαυτοὺς φέροντες ἀνέθηκαν τῷ θεῷ, καὶ εἰς πίστιν ἐλογίσθησαν.

---

**11 – 12** Hom., *Od.* XIX, 163 **13 – 14** εἰς – ἐλογίσθησαν] cf. Gen. 15, 6; Rom. 4, 3; 9

---

**6 – 14 I 1232** Clemens Alexandrinus, *Stromata*, II. Cap. XX. 124, 2 (ed. Stählin/Früchtel/Treu, p. 180, 16–24); Holl, n° 230

---

**5 – 14 I 1232** C (201r[3–4]4–15); R cap. Θ 7, 38; *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$

---

**1** τῆς] *correximus (ed.)*, τὴν C **6 – 7** οἷόν – ἐστιν] οἷόν τε ἐστὶν R **7 – 8** ὑπόδειγμα – αὐτοῖς] ὑποδείγματα ἡμῖν ἔκκειται κάλλιστα ἐν αὐτῷ *ed.* **9** τῇδε] τί μὲν R ὠφελοίμεθα] *correximus (*ὠφελοίμεθ' ἂν *ed.)*, ὠφελήμεθα C, ὠφεληθησόμεθα R **10** καὶ] *om.* R δυσωπούμενοι] εἰσδυσόμενοι R Οὔτε] οὐ R **11 – 12** ἀπὸ – παλαιφάτου] ἀπηνδρύνθη πάλαι φάτου R **12** οὐδ'] οὐδὲ R Τῷ] τὸ C R$^{a. c. ut videtur}$ **13** ὅλους] πάντες R

## I 1233 / C cap. Θ 1, 46

Τοῦ αὐτοῦ, ἐκ τοῦ η′ Στρωματέως·

Ὡς δὲ ἡ θάλασσα ἀνίεται πᾶσιν, καὶ ὁ μὲν νήχεται, ὁ δὲ ἐμπορεύεται, ὁ δὲ ἀγρεύει τοὺς ἰχθύας, καὶ ὡς ἡ γῆ κοινή, ἄλλος μὲν ὁδεύει, ἄλλος δὲ ἀροῖ, θηρᾷ δὲ ἕτερος, καί τις ἄλλος μέταλλα ἐρευνᾷ, ὁ δὲ οἰκοδομεῖ, οὕτω καὶ τῆς Γραφῆς ἀναγινωσκομένης, ὁ μὲν εἰς πίστιν, ὁ δὲ εἰς ἦθος ὠφελεῖται, ἀφαιρεῖται δὲ ἄλλου δεισιδαιμονία διὰ τῆς ἐπιγνώσεως τῶν πραγμάτων. Ὁ δὲ ἀθλητὴς γνωρίσας τὸ στάδιον τὸ Ὀλυμπιακόν, ἐπαποδύεται τῇ διδασκαλίᾳ καὶ ἀγωνίζεται καὶ νικηφόρος γίνεται, τοὺς ἀντιπάλους καὶ κατατρέχοντας τῆς γνωστικῆς ὁδοῦ παρακρουσάμενος καὶ καταγωνισάμενος.

## I 1234 / C cap. Θ 1, 47

Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας·

Σφόδρα ὀλίγων τυγχάνει τῶν πάντα τὸν ἑαυτῶν βίον ἀνατεθεικότων τῇ περὶ τὰς θείας Γραφὰς ἐξετάσει, τὸ δύνασθαι λογικώτε-

---

**3 – 12 I 1233** CLEMENS ALEXANDRINUS, *Stromata*, VIII, re vera *Eclogae propheticae*, 28, 1–2 (ed. Nardi, p. 66, 12–22); Holl, n° 283 **15 – 781, 2 I 1234** THEOPHILUS ALEXANDRINUS, locus non repertus (ed. Lequien [secund. R])

---

**2 – 12 I 1233** C (201r[16]16–29); $V^{E}$ cap. Θ 3, 29; $V^{W}$ cap. Θ 3, 24; $V^{O}$ cap. Θ 3, 29; $V^{Ph}$ cap. Θ 3, 29; M cap. Θ 4, 28; R cap. Θ 7, 39; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 16, 8–18 **14 – 781, 2 I 1234** C (201r[29]30–201v4); R cap. Θ 7, 40; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$; PG 96, 525, 37–41

---

**I 1233** (a) C M Τοῦ αὐτοῦ] κλημεντος M η′] ε′ M (b) Κλήμεντος V (c) Τοῦ αὐτοῦ R

---

**3** Ὡς δὲ] ὡς γὰρ R, ὥσπερ $V^{W}$ ἀνίεται] ἀνίται $V^{E}V^{O}$, ἀνείται $V^{Ph}$ καὶ ὁ] ἀλλ ὁ $V^{W}$, ἀλλω M, ἀλλ' ὁ *ed.* **5** ἄλλος¹ – ἀροῖ] *om.* $V^{W}$ *(suppl. man. rec. in mg.)* ἀροῖ] ἀροτριᾶ $V^{Ph}$, ἀροίει M **5 – 6** θηρᾷ – ἐρευνᾷ] ἄλλος δὲ τρυφᾶ $V^{W}$, *om.* $V^{E}V^{O}V^{Ph}$ M **6** ὁ¹] ἄλλος $V^{Ph}$ **7 – 8** ἄλλου δισιδαιμονία $V^{E}$ M, ἄλλου δεισηδαιμονία $V^{W\ a.\ c.}$, ἄλλον δυσϊδαιμονία $V^{O}V^{Ph}$, ἄλλου δεισιδαιμονίαν C R *(cf. app. crit. ed.)*, ἄλλου τὴν δεισηδαιμονίαν $V^{W\ p.\ c.}$ **8** πραγμάτων] γραμμάτων $V^{E}V^{O}V^{Ph}$ **9** στάδιον] πεδίον R τὸ Ὀλυμπιακόν] τὸ ὀλυμπίας C, τὸ ὀλυμπικὸν $V^{W}$, ολυμπιακὸν *(fenestra praecedente)* M, ὀλυμπικὸν $V^{E}V^{O}V^{Ph}$ ἀποδύεται M **10** τοῖς ἀντιπάλοις $V^{W\ p.\ c.}$ **10 – 11** κατατρέχοντα $V^{O}$, κατατρέχοι $R^{p.\ ras.}$ **15 – 16** ἀνατεθηκότων R **16** τῇ] τῆς C

ρον παρακολουθεῖν τοῖς περιεχομένοις δόγμασιν καὶ τῇ βαθυτέρᾳ τῶν Γραφῶν διανοίᾳ.

## I 1235 / C cap. Θ 1, 48

Φίλωνος, ἐκ τῆς πρὸς Γάϊον πρεσβείας·

Τοῖς ἐντυγχάνουσιν μὴ χείλεσιν ἄκροις οἱ θεῖοι νόμοι ἐλπίδας ἀγαθὰς δημιουργοῦσιν.

---

**5 – 6 I 1235** Philo Iudaeus, *Legatio ad Gaium*, 195 (ed. Reiter, p. 191, 24–25)

---

**4 – 6 I 1235** C (201v[4–5]5–6); R cap. Θ 7, 41; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$

---

**I 1235** ἐκ – πρεσβείας] *om.* R

**Τίτλος β′ Περὶ τῶν θείων καὶ κατὰ Χριστὸν μυστηρίων, ὧν σκιὰν φέρων, προετύπου ὁ νόμος, λέγων οὕτως·**

**δ′ Περὶ θείων μυστηρίων.**

**ε′ Περὶ θείων μυστηρίων.**

## I 1236 / C cap. Θ 2, 1

Ἀπὸ τῆς Ἐξόδου·

Εἶπεν κύριος πρὸς Μωϋσῆν· Ποίησον τράπεζαν, καὶ ἐπίθες ἐπ᾽ αὐτὴν ἄρτους ἐνωπίους ἐναντίον μου διαπαντός.

## I 1237 / C cap. Θ 2, 2

Σχόλιον·

Τούτων μεμνημένος τῶν τυπικῶς μὲν γεγονότων, πνευματικῶς δὲ τελεσιουργηθῆναι μελλόντων, ὁ Ὑμνολόγος ἔψαλλεν· *Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος· τροφὴν ἔδωκεν τοῖς φοβουμένοις αὐτόν,*

---

**1 – 2** Περὶ – οὕτως] cf. I / $C^{pin}$ Παραπομπαὶ K 3 et K 5 (SJD VIII/1) **12 – 13** Ps. 110, $4^{2}$–$5^{1}$

---

7 **I 1236** Εἶπεν – Μωϋσῆν] cf. Ex. 25, 1 Ποίησον τράπεζαν] Ibid. 25, 22 **7 – 8** καὶ – διαπαντός] Ibid. 25, 29 **11 – 783, 2 I 1237** *Scholion in Ex. 25, 1; 25, 22; 25, 29*

---

**1 – 2 Titlos (a)** C (201v7–9) $A^{II\ pin}$ R; *deest in* $H^{II}A^{II\ txt}$; PG 96, 525, 42–43 **3 Titlos (b)** V $A^{I\ pin}$; *deest in* $H^{I}A^{I\ txt}$; PG 96, 16, 19 **4 Titlos (c)** $P^{pin}$ $ML^{b\ pin}$; *deest in* $P^{txt\ (lac.)}$ $L^{b\ txt}$ **6 – 8 I 1236** C (201v[9]9–12); R cap. Θ 8, 1; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ **10 – 783, 2 I 1237** C (201v[12]12–19); R cap. Θ 8, 2; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$

---

**1 – 2 Titlos (a) 1** Τίτλος] *om.* $A^{II\ pin}$ $R^{pin}$ β′] η′ R, *propt. mg. resect. non liquet in* $A^{II\ pin}$ *(β′ secund. ser.)* τῶν] *om.* $C^{pin}$ $R^{txt}$ καὶ – Χριστὸν] *om.* $C^{pin}$ Χριστὸν] χριστοῦ $A^{II\ pin}$ **1 – 2** ὧν – οὕτως] *om.* $C^{pin}$ R **1** ὧν] *om.* $A^{II\ pin}$ **2** προετύπου] *correximus*, προετύποι $C^{txt}$, πρὸς τύπον $A^{II\ pin}$ **3 Titlos (b)** δ′] *praem.* τίτλος $V^{W\ txt}$, *propt. mg. resect. non liquet in* $A^{I\ pin}$ *(δ′ secund. ser.)*

---

**I 1236** Ἀπὸ] *om.* R

---

**7 – 8** ἐπ᾽ αὐτῆς $C^{a.\ c.\ mg.}$ **8** ἐνωπίους μου R

διεσταλμένως ὡς ἐν πνεύματι αὐτὴν ἀνυμνήσας ἀπὸ τῆς παρεχομένης *πάσῃ σαρκὶ* γεώδους, ὡς φησὶν αὐτὸς ἐν ἑτέρῳ, *τροφῆς*.

## I 1238 / C cap. Θ 2, 3

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, κεφαλαίου ξε′·

Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα, καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

## I 1239 / C cap. Θ 2, 4

Τοῦ αὐτοῦ, ἐν κεφαλαίῳ ρξς′·

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστὶ βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστὶ πόσις. Ὁ τρώ-

---

**2** Ibid. 135, 25$^{1}$

---

**5 – 8 I 1238** Ioh. 6, 51 **11 – 784, 6 I 1239** Ioh. 6, 53–58

---

**4 – 8 I 1238** C (201v[19]20–23); V$^{E}$ cap. Θ 4, 1; V$^{W}$ cap. Θ 4, 1; V$^{O}$ cap. Θ 4, 1; V$^{Ph}$ cap. Θ 4, 1; M cap. Θ 5, 1; R cap. Θ 8, 3; *deest in* H$^{II}$ H$^{I}$ P$^{(lac.)}$ L$^{b}$; PG 96, 16, 20–23 **10 – 784, 6 I 1239** C (201v[24]24–202r6); V$^{E}$ cap. Θ 4, 2; V$^{W}$ cap. Θ 4, 2; V$^{O}$ cap. Θ 4, 2; V$^{Ph}$ cap. Θ 4, 2; M cap. Θ 5, 2; R cap. Θ 8, 4; *deest in* H$^{II}$ H$^{I}$ P$^{(lac.)}$ L$^{b}$; PG 96, 16, 24–36

---

**I 1238** (a) C M R εὐαγγελίου] *om.* M R κεφαλαίου ξε′] *om.* C M (b) Ἰωάννου V$^{O}$V$^{Ph}$ (c) Ἰωάννης V$^{E}$ ἰωἄννης *cod.* (d) Τοῦ εὐαγγελίου V$^{W}$ **I 1239** (a) C M R Τοῦ αὐτοῦ] *om.* M ἐν κεφαλαίῳ] κεφαλαίου ε′ M R ρξς′] *sic* C, ρξε′ M R, ξς′ *exspectav.* (b) Τοῦ αὐτοῦ V$^{E}$V$^{W\ man.\ rec.}$ V$^{O}$ (c) *s. a.* V$^{W}$V$^{Ph}$

---

**1 – 2** διεσταλμένως – τροφῆς] *om.* R **5** ἐγὼ εἰμὶ V$^{O}$V$^{Ph}$ R ὁ ζῶν] τῆς ζωῆς V$^{E}$V$^{O}$V$^{Ph}$, *om.* R **6** τούτου] *post* ἄρτου *transpos.* C V$^{W}$ δέ] *om.* C R **12** πίητε] πίνηται V$^{O}$, πιεται M **14** ἐγὼ] *s. l.* V$^{W}$ ἐν τῇ] *om.* V$^{Ph}$ **15** ἀληθῶς ἐστὶ$^{1}$] ἀληθῶς ἐστι(ν) V$^{E}$ M, ἀληθής ἐστι V$^{W}$ **15 – 784, 1** Ὁ – αἷμα] *expunx.* V$^{Ph}$

γων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέσταλκέν με ὁ ζῶν πατήρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι’ ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα καὶ ἀπέθανον, ὁ τρώγων τὸν ἄρτον τοῦτον ζήσεται εἰς τὸν αἰῶνα.

## I 1240 / C cap. Θ 2, 5

Ἐκ τῆς πρὸς Κορινθίους α′ ἐπιστολῆς·

Οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων. Ἢ παραζηλοῦμεν τὸν κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμέν;

## I 1241 / C cap. Θ 2, 6

Ἐκ τῆς αὐτῆς·

Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπεν· Τοῦτό μου ἐστὶν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμε-

---

**9 – 11 I 1240** I Cor. 10, 21–22 **14 – 785, 12 I 1241** I Cor. 11, 23–30

---

**8 – 11 I 1240** C (202r[7]7–11); R cap. Θ 8, 5; $V^{E}$ cap. Θ 4, 3; $V^{W}$ cap. Θ 4, 3; $V^{O}$ cap. Θ 4, 3; $V^{Ph}$ cap. Θ 4, 3; M cap. Θ 5, 3; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 16, 37–40 **13 – 785, 12 I 1241** C (202r[11]11–29); $V^{E}$ cap. Θ 4, 4; $V^{W}$ cap. Θ 4, 4; $V^{O}$ cap. Θ 4, 4; $V^{Ph}$ cap. Θ 4, 4; M cap. Θ 5, 4; R cap. Θ 8, 6; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 16, 41 – 17, 2

---

**I 1240** (a) C (b) Πρὸς Κορινθίους πρώτης R (c) Πρὸς Κορινθίους $V^{E}V^{O}V^{Ph}$ M (d) Τοῦ Ἀποστόλου $V^{W}$ **I 1241** (a) C (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. d.* $V^{E}V^{O}V^{Ph}$ M R

---

**1 – 2** ἐν[1] – αὐτῷ] ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ αἰσχάτη ἡμέρα *(= iteratio Ioh. 6, 54)* $V^{E}V^{O}$, *om.* $V^{Ph}$ **2** εαυτῶ M **2 – 6** Καθὼς – αἰῶνα] *om.* $V^{W}$ M **2** ἀπέστειλέν με $V^{E}V^{O}V^{Ph}$ ζῶν] *om.* $V^{Ph}$ **3** οὗτος ἐστὶν $V^{Ph}$ R **4** ὁ] *om.* $V^{O}$ **4 – 5** οἱ – ὑμῶν] *om.* $V^{O}$ **5** μάννα] *add.* ἐν τῇ ἐρήμωι R τὸν ἄρτον] *post* τοῦτον *transpos.* $V^{E}V^{O}V^{Ph}$ **9 – 10** δαιμονίων – τραπέζης[2]] *om.* $V^{E}$ **9** δαιμόνων $V^{W\ p.\ c.}$ **10** δαιμόνειον $V^{E\ a.\ c.}$, δαιμόνων $V^{W\ p.\ c.}$ Ἢ] ἤ M, ἡ $V^{E}V^{W\ a.\ c.\ ut\ videtur}$, εἰ $V^{Ph}$ R, *om.* $V^{O}$ **11** τοῦ κυρίου $V^{O}$ **14** γὰρ] *om.* M R **15** κύριος] *add.* ἰησοῦς V M ᾗ] ἣ $V^{O}$, ἡ M, ἢ $V^{E}$ **16** τοῦτο μου ἐστὶ R, τοῦτο μου ἐστιν M ἡμῶν $V^{O}$ M R

νον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου· τοῦτο ποιεῖτε ὁσάκις ἐὰν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἔλθῃ. Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. Διατοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί.

## I 1242 / C cap. Θ 2, 7

Τοῦ ἁγίου Ἰγνατίου ἐπισκόπου καὶ μάρτυρος, ἐκ τῆς πρὸς Τραλλεῖς ἐπιστολῆς·

Δύναμαι ὑμῖν τὰ ἐπουράνια γράψαι, ἀλλὰ φοβοῦμαι μὴ νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶ, καὶ συγγνωμονεῖτέ μοι, μήποτε οὐ δυνηθέντες χωρῆσαι, στραγγαλιωθῆτε.

---

**16 – 18 I 1242** IGNATIUS ANTIOCHENUS, *Epistula ad Trallianos*, 5. 1 (ed. Fischer, p. 174, 18–20); Holl, n° 56

---

**14 – 18 I 1242** C (202r[29–30]202v1–4); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ R

---

**I 1242** Ἰγνατίου] *scripsimus*, ϊγνατίου C Τραλλεῖς] *scripsimus*, τράλλεις C

---

**3** αἵματί μου] ἐμῶ αἵματι *(*αἷ- $V^{E}$*)* $V^{E}V^{Ph}$, ἐμᾶ *(sic)* αἵματϊ $V^{O}$, ὀνόματι μου *(sic)* M ὁσάκις – πίνητε] *om.* C $V^{E}V^{O}V^{Ph}$ ἐὰν] ἂν R **4** ἐμὴν ἀνάμνησιν] ἀνάμνησίν μου R ἐὰν] ἂν $V^{E}V^{Ph}$ R, *om.* $V^{O}$ ἐσθίετε $V^{E}V^{O}V^{Ph}$ M **5** ποτήριον] *add.* τοῦτο *(*του- M*)* $V^{Ph}$ M R πίνετε R **6** οὗ] οὖ $V^{E}$, οὒ C, ου M, ἂν R ἂν] ἐὰν $V^{E}V^{O}V^{Ph}$ ἐσθίει $V^{E}V^{O}V^{Ph}$ M ἄρτον] *add.* τουτον M ἢ] καὶ $V^{W}$ M R πίνῃ] πίνει $V^{Ph}$ M, *post* κυρίου *transpos.* M **7** ἐνοχος ἐστὶν M **8** ἕκαστος ἑαυτόν] ἑαυτὸν ἄνθρωπος $V^{E}V^{O}V^{Ph}$ *(cf. NT)*, πρῶτον ἄνθρωπος ἑαυτὼν *(sic)* M **9 – 10** ἐσθίων – πίνων] *post* ἀναξίως *transpos.* M **10** κρῖμα C $V^{O}V^{Ph\ p.\ c.}$ R, εἰς κριμα M εσθιεῖν M πίνειν M **11 – 12** τοῦ – ἱκανοί] *om.* $V^{W}$ **11 – 12** Διατοῦτο – ἱκανοί] *om.* $V^{E}V^{O}V^{Ph}$ M **11** ἡμῖν R **18** στραγγαλιωθῆτε] *sic* C, στραγγαλωθῆτε *ed.*

## I 1243 / C cap. Θ 2, 8

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ κατὰ αἱρέσεων ε′ βιβλίου·

Τὸ ἀπὸ τῆς κτίσεως ποτήριον, ἴδιον αἷμα ὡμολόγησεν ὁ κύριος, ἐξ οὗ τὸ ἡμέτερον δεύσει αἷμα, καὶ τὸν ἀπὸ τῆς κτίσεως ἄρτον, ἴδιον σῶμα διεβεβαιώσατο, ἀφ᾽ οὗ τὰ ἡμέτερα αὔξει σώματα. Ὁπότε οὖν καὶ τὸ κεκραμένον ποτήριον καὶ ὁ γεγονὼς ἄρτος ἐπιδέχεται τὸν λόγον τοῦ θεοῦ καὶ γίνεται εὐχαριστία καὶ σῶμα Χριστοῦ, ἐκ τούτων τὲ αὔξει καὶ συνέστηκεν ἡ τῆς σαρκὸς ἡμῶν ὑπόστασις, πῶς δεκτικὴν μὴ εἶναι τὴν σάρκα λέγουσιν τῆς δωρεᾶς τοῦ θεοῦ, ἥτις ἐστὶν ζωὴ αἰώνιος, τὴν ἀπὸ τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου τρεφομένην καὶ μέλος αὐτοῦ ὑπάρχουσαν, καθὼς ὁ μακάριος Ἀπόστολος φησὶν ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ, ὅτι *Μέλη ἐσμὲν τοῦ σώματος ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ*.

## I 1244 / C cap. Θ 2, 9

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὰς Παροιμίας·

Τὸ εἰς τοὺς τυχόντας ῥίπτειν τὰ τῆς σωτηρίας μυστήρια, καὶ πάντας ὁμοίως παραδέχεσθαι τοὺς μήτε βίῳ καθαρῷ, μήτε λόγῳ ἐξητασμένῳ καὶ ἀκριβεῖ κεχρημένους, ὅμοιόν ἐστιν, ὥσπερ ἂν εἴ τις ἐν ἀγγείῳ ῥυπαρῷ τὸ πολυτίμητον μύρον ἐμβάλοι.

---

**12 – 13** Eph. 5, 30

---

**3 – 13 I 1243** IRENAEUS LUGDUNENSIS, *Adversus haereses*, V, 2, 33–45 (Fr. gr. 4, 3–16) (ed. Rousseau/Doutreleau/Mercier, p. 32–34); Holl, n° 159, 3–15 **16 – 19 I 1244** BASILIUS CAESARIENSIS, *Homilia in principium Proverbiorum*, 4 (PG 31, 393, 26–31)

---

**2 – 13 I 1243** C (202v[4–5]5–20); R cap. Θ 8, 7; *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$; PG 96, 525, 45–46 **15 – 19 I 1244** C (202v[20–21]21–27); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$ R

---

**I 1243** Τοῦ ἁγίου] *om.* R ε′ βιβλίου] βιβλίου ε′ R

---

**3** αἷμα ἴδιον R **4** δεύσει] auget *ed. (lat.)* **5** σῶμα] αἷμα R$^{a.\ ras.\ ut\ videtur}$, μα *(spiritu et accentu supra rasuram servatis)* R$^{p.\ ras.}$ **6** κεκραμμένον R$^{p.\ c.}$ **8** σαρκώσεως C **9** τὴν σάρκα] *post* θεοῦ *transpos.* R **10** αἵματος] *praem.* τοῦ R **12** Ἀπόστολος φησὶν] παῦλος φησὶν R **13** σώματος] *add.* καὶ τοῦ αἵματος R **18** ὅμοιόν ἐστιν] *correximus (ed.)*, ὅμοιός ἐστιν C **19** μύρον] *scripsimus*, μῦρον C

## I 1245 / C cap. Θ 2, 10

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Γλυκύτητα μέλιτος πῶς ἀναγγείλω τοῖς ἀγνοοῦσιν;

## I 1246 / C cap. Θ 2, 11

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὴν Πεντηκοστήν·

Οἱ τὸν θεὸν ὀνομάζοντες, εἰ μὲν τοῖς εὐγνώμοσιν, ὑψηλοί· εἰ δὲ ταπεινοῖς, οὐκ οἰκονομικοί, πηλῷ μαργαρίτην πιστεύοντες καὶ ἀκοῇ σαθρᾷ βροντῆς ἦχον, καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον, καὶ τροφὴν στερεὰν τοῖς ἔτι γάλα ποτιζομένοις, δέον κατὰ μικρὸν προσανάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν καὶ προβιβάζειν αὐτοὺς τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν.

## I 1247 / C cap. Θ 2, 12

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς Εὐνομιανοὺς προδιαλέξεως·

Μυστικῶς τὰ μυστικὰ φθεγξώμεθα, καὶ ἁγίως τὰ ἅγια, καὶ μὴ ῥίπτωμεν εἰς βεβήλους ἀκοὰς τὰ μὴ ἔκφορα, μὴ δὲ σεμνοτέρους ἡμῶν ἀποφαίνωμεν τοὺς προσκυνοῦντας τοῖς δαίμοσιν, καὶ τῶν αἰσχρῶν μύθων καὶ πραγμάτων θεραπευτάς, οἳ θᾶττον ἂν τοῦ αἵματος ἢ λόγων ἔστιν ὧν μεταδοῖεν τοῖς ἀμυήτοις.

---

**9** τοῖς – ποτιζομένοις] cf. I Cor. 3, 2

---

**3 I 1245** Basilius Caesariensis, *Homilia exhortatoria ad S. baptisma*, 2 (PG 31, 425, 49–50) **6 – 12 I 1246** Gregorius Nazianzenus, *In Pentecosten (Orat. 41)*, 6, 5–12 (ed. Moreschini, p. 326–328) **15 – 19 I 1247** Gregorius Nazianzenus, *De theologia I adversus Eunomianos (Orat. 27)*, 5, 23–28 (ed. Gallay/Jourjon, p. 82)

---

**2 – 3 I 1245** C (202v[27]28–29); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$ R **5 – 12 I 1246** C (202v[29–30]203r1–8); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$ R **14 – 19 I 1247** C (203r[9]10–16); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ ML$^{b}$ R

---

**7** πιστεύοντες] *correximus (ed.)*, πιστεύοντας C **19** ἔστιν ὧν] *scripsimus (ed.)*, ἐστὶν, ὧν C

## I 1248 / C cap. Θ 2, 13

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς Νεμέσιον ἄρχοντα·

Καθαρὸν γὰρ ἁλώσιμον οὔποτ᾽ ἀνάγνῳ.

## I 1249 / C cap. Θ 2, 14

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τοῦ καθ᾽ ἑαυτὸν βίου, τῶν Ἐπῶν·

Ψαύειν μὴ καθαρῶς γὰρ ἁγνοῦ κακόν, ὡς πυρόεντος
Ἀδρανὲς ὄμμα φέρειν κατεναντίον ἠελίοιο.

## I 1250 / C cap. Θ 2, 15

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ κατηχητικοῦ·

Ὥσπερ οἱ δηλητήριον δι᾽ ἐπιβουλῆς λαβόντες, ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν, χρὴ δὲ καθ᾽ ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξιτήριον ἐντὸς τῶν ἀνθρωπίνων σπλάγχνων γενέσθαι, ὡς ἂν δι᾽ ἐκείνων ἐφ᾽ ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις, οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι, πάλιν ἀναγκαίως καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπεδεήθημεν, ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξιτήριον, τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ

---

**3 I 1248** GREGORIUS NAZIANZENUS, *Carmina*, II,2,7 *(Ad Nemesium)*, 221 (ed. Bénin, p. 171) **6 – 7 I 1249** GREGORIUS NAZIANZENUS, *Carmina*, II,1,1 *(De rebus suis)*, 335–336 (ed. Tuilier/Bady, p. 24) **10 – 789, 24 I 1250** Ὥσπερ – σώματος] GREGORIUS NYSSENUS, *Oratio catechetica magna* (ed. Mühlenberg, p. 93, 8 – 94, 20)

---

**2 – 3 I 1248** C (203r[16]17); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ R **5 – 7 I 1249** C (203r [17–18]18–20); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$ R **9 – 791, 12 I 1250** C (203r[20–21] 21–204v30); R cap. Θ 8, 8; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$

---

**I 1250** νύσσης $C^{p.\ c.\ man.\ rec.}$, τοῦ νῦσσης R

---

**3** ἀνάγνῳ] *correximus (ed.)*, ἀναγνῶ C **6** καθαρῷ *ed. (sed cf. app. crit.)* **10** δηλητηρίου R λαβόμενοι R **11** δύναμιν] βλάβην R δὲ] γὰρ R **12** ἀνθρωπείων R **13** ἡ] *post* βοηθοῦντος *(l. 14) transpos.* R **14** τὴν φύσιν] *post* ἡμῶν *transpos.* R

τῆς οἰκείας ἀντιπαθείας ἀπώσηται. Τί οὖν ἐστι τοῦτο; Οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ τε θανάτου κρεῖττον ἐδείχθη καὶ τῆς ζωῆς ἡμῖν κατήρξατο. Καθάπερ γὰρ *ζύμη μικρά*, καθὼς φησὶν ὁ Ἀπόστολος, *ὅλον τὸ φύραμα* πρὸς ἑαυτὴν συνεξομοιοῖ, οὕτω τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σῶμα, ἐν τῷ ἡμετέρῳ γενόμενον, ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. Ὡς γὰρ τὸ φθοροποιὸν πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέν, ἅπαν τὸ ἀναμιχθὲν συνηχρείωσεν, οὕτω καὶ τὸ ἀθάνατον σῶμα τοῦ λόγου, ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον, πρὸς τὴν ἑαυτοῦ φύσιν καὶ τὸ ἅπαν μετεποίησεν.

Ἀλλὰ μὴν οὐκ ἔστιν ἄλλως ἐντός τί γενέσθαι τοῦ σώματος, μὴ διὰ βρώσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. Οὐκοῦν ἐπάναγκες κατὰ τὸν δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τῷ σώματι δέξασθαι. Μόνου δὲ τοῦ θεοδόχου σώματος ἐκείνου ταύτην δεξαμένου τὴν χάριν, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γιγνόμενον, σκοπῆσαι προσήκει πῶς ἐγένετο δυνατὸν τὸ †ἐν ἐκείνῳ† σῶμα ταῖς τοσαύταις τῶν πιστῶν μυριάσιν κατὰ πᾶσαν τὴν οἰκουμένην εἰς ἀεὶ μεριζόμενον ὅλον ἐν ἑκάστῳ διὰ τοῦ μέρους γίνεσθαι, καὶ αὐτὸ μένειν ἐφ᾽ ἑαυτοῦ.

Οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα, μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχῃ, μικρόν τι προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν τοῦ σώματος· τάχα γὰρ ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. Εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ βρῶσις καὶ πόσις ἐστίν, ἔστιν δὲ ἐν τῇ βρώσει ὁ ἄρτος, ἐν δὲ τῇ πόσει τὸ ὕδωρ ἐφηδυνόμενον τῷ οἴνῳ, ὁ δὲ τοῦ θεοῦ λόγος, ὁ καὶ θεὸς ὢν καὶ λόγος, τῇ ἀνθρωπίνῃ συνανεκράθη φύσει καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος οὐκ ἄλλην τινὰ παρεκαινοτόμησεν

---

**3 – 4** I Cor. 5, 6

---

**24 – 790, 22** τάχα – μου] Ibid. (p. 96, 2 – 97, 12)

---

**1** οὖν ἐστὶν C **4** ἐξομοιοῖ R *(ed., sed cf. app. crit.)* **5** τοῦ] *om.* R **6** ἑαυτὸν C **7** ὑγιαῖνον] *add.* σῶμα R ἀναμιχθέν – τὸ$^2$] *om.* R **10** ἄλλως] *om.* C **11** βρώσεως] βρώσεως ἢ πόσεως *ed.* καταμϊγόμενον R **16** γενόμενον R *(cf. app. crit. ed.)* **17** †ἐν ἐκείνῳ†] *cruces apposuimus*, ἐν ἐκείνω C, ἓν ἐκεῖνο *ed. (sed cf. app. crit.)* **18 – 19** εἰσαεὶ C **20** *post* ἑαυτοῦ *hab.* ὅλον *ed.* **21** ἡμῶν C **22** ἔχει C, ἔχοι *ed.* **22 – 23** μικρὸν τί C **23** προσασχολῆσαι R **24** γενόμεθα R **26** πόσις ἐστίν] πόσις R ὁ] *om.* R *(ed., sed cf. app. crit.)* **28** συνεκράθη R **29** γινόμενος C

τῇ φύσει τὴν σύστασιν, ἀλλὰ διὰ τῶν συνήθων τὲ καὶ καταλλήλων ἔδωκεν τῷ καθ' ἑαυτὸν σώματι τὴν διαμονήν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν, ἡ δὲ βρῶσις ἄρτος ἦν, ὥσπερ τοίνυν ἐφ' ἡμῶν ὁ τὸν ἄρτον ὁρῶν τρόπον τινὰ τὸ ἀνθρώπινον βλέπει σῶμα, ὅτι ἐν τούτῳ ἐκεῖνο γενόμενον τοῦτο γίνεται, οὕτω κἀκεῖ τὸ θεοδόχον σῶμα τὴν τροφὴν τοῦ ἄρτου παραδεξάμενον λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης. Τὸ γὰρ πάντων ἴδιον καὶ ἐπ' ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ κἀκεῖνο τὸ σῶμα διεκρατεῖτο· τὸ δὲ σῶμα †τὸ οἰκεῖον† τοῦ θεοῦ λόγου πρὸς τὴν θεϊκὴν ἀξίαν μετεποιήθη. Καλῶς οὖν καὶ νῦν τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν. Καὶ γὰρ ἐκεῖνο τὸ σῶμα ἄρτος τῇ δυνάμει ἦν, ἡγιάσθη δὲ τῇ ἐπικλήσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί. Ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται. Ἐκεῖ τε γὰρ ἡ τοῦ λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα, ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸς ἄρτος ἦν, ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθὼς φησὶν ὁ Ἀπόστολος, *ἁγιάζεται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως*, οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου μεταποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ λόγου, ὅτι *Τοῦτό ἐστιν τὸ σῶμά μου*, καί· *Ἐγώ εἰμι ὁ κόκκος τοῦ σίτου, ὃς ἐὰν πεσὼν ἀποθάνῃ, καρπὸν πολὺν ποιεῖ*, καὶ πάλιν· *Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς*.

Πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης – οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες ἐν τῷ ζῆν διαμένοι – ὥσπερ [γὰρ] διὰ τῆς στερεᾶς καὶ ἀντιτύπου τροφῆς τὸ στερεὸν τοῦ σώματος ὑποστηριζόμενον συνίσταται, τὸν αὐτὸν τρό-

**14** τοῦ[1] – σαρκί] cf. Ioh. 1, 14 **19 – 20** I Tim. 4, 5 **22** Matth. 26, 26 **22 – 23** Ioh. 12, 24 **24** Ioh. 6, 35

**22 – 24** καί – ζωῆς] locus non repertus **25 – 791, 12** Πάσης – φύσιν] Gregorius Nyssenus, *Oratio catechetica magna* (ed. Mühlenberg, p. 97, 12 – 98, 7)

**1** συνήθων τὲ] ἠθῶν τε C **5** γινόμενον R **6** κἀκεῖνο R **9** κἀκείνω R$^{p.c.}$ **10** †τὸ οἰκεῖον†] *cruces apposuimus, sic* C, τῇ ἐνοικήσει *ed.* **12** λόγου] *om.* R **14** δὲ] γὰρ R ἐπικλήσει] ἐπισκηνώσει *ed.* **16** ῗσον R **17** ᾧ] ὡς R **17 – 18** ἦν – ἄρτος] *om.* C **18** ἐνταῦθα τὲ R **19** ἁγιάζεται] *add.* γὰρ R **22** τοῦτο ἐστὶ R ἐγὼ εἰμὶ R **23** πολὺν καρπὸν R ποιεῖ] φέρει R *(NT)* **24** ἐγὼ εἰμΐ R **26 – 27** διαμείνοι C **27** γὰρ] *delevimus (ed., sed cf. app. crit.)*

πον καὶ τῷ ὑγρῷ τὴν προσθήκην ἐκ τῆς τοῦ ὁμογενοῦς ποιούμεθα φύσεως, ὅπερ ἐν ἡμῖν γινόμενον διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται, καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λαμβάνοι τὴν δύναμιν †πρὸς ἣν εἰς† τὸ μέρος ἡ θεοδόχος ἐκείνη σὰρξ πρὸς σύστασιν παρεδέξατο, ὁ δὲ φανερωθεὶς θεὸς διατοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, ἵνα τῇ τῆς ἀγαθότητος κοινωνίᾳ συναποθεωθῇ τὸ ἀνθρώπινον, τούτου χάριν πᾶσιν τοῖς πεπιστευκόσιν τῇ οἰκονομίᾳ τῆς χάριτος ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, ἧς ἡ σύστασις ἐξ οἴνου τὲ καὶ ἄρτου ἐστίν, τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. Ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

## I 1251 / C cap. Θ 2, 16

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ πρὸς τοὺς νεοφωτίστους·

Ὁ Μωϋσῆς φησίν· Θύσατε ἀμνὸν προβάτων ἄμωμον, καὶ τὸ αἷμα αὐτοῦ ἐπιχρίσατε ἐπὶ ταῖς θύραις. Τί λέγεις; Αἷμα ἀλόγου σώζειν ἀνθρώπους λογικοὺς οἶδεν; Ναί φησιν. Καθάπερ γὰρ οἱ ἀνδριάντες οἱ βασιλικοί, ἄψυχοι καὶ ἀναίσθητοι ὄντες, τοὺς καταφεύγοντας εἰς αὐτοὺς ἀνθρώπους ἐμψύχους καὶ αἴσθησιν ἔχοντας

**16 – 17** Θύσατε – θύραις] cf. Ex. 12, 21–25

**16 – 18 I 1251** Ὁ – φησιν] Iohannes Chrysostomus, *Ad neophytos (Catecheses ad illuminandos,* III*)*, 14, 1–3 (ed. Wenger, p. 159) **18 – 792, 11** Καθάπερ – φεύξεται] Ibid., 14, 5 – 15, 7 (p. 159–160)

**14 – 792, 11 I 1251** C (205r[1]2–21); V$^{E}$ cap. Θ 4, 5; V$^{W}$ cap. Θ 4, 5; V$^{O}$ cap. Θ 4, 5; V$^{Ph}$ cap. Θ 4, 5; M cap. Θ 5, 5; R cap. Θ 8, 9; *deest in* H$^{II}$ H$^{I}$ P$^{(lac.)}$ L$^{b}$; PG 96, 17, 3–22

**I 1251** (a) C R Τοῦ – Ἰωάννου] *om.* R τοὺς] *om.* C (b) Τοῦ Χρυσοστόμου V M Τοῦ] *om.* V$^{Ph}$

**1** καὶ] *om.* R τῆς] *om.* C **3** εἰ] ἢ R λαμβάνει R **4** †πρὸς – εἰς†] *cruces apposuimus*, *sic* C, *om.* R, πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. ἐπεὶ οὖν καὶ τοῦτο *ed.* **6** συναποθεωθῇ] συναναεωθῇ R$^{p. c.}$, συνανννανεωθῇ R$^{a. c.}$ **9** οἴνου τε C **9 – 10** κατακιρνάμενος] *correximus (ed.)*, κατακιρναμένη R, κατακιρνώμενος C **16** μωσῆς *(*-ης M*)* V M R **17** τὰς *(*-α- M*)* θύρας M R **18** γὰρ] *om.* V M R **19 – 20** καταφεύγοντας – ἔχοντας] ψυχὴν καὶ αἴσθησιν ἔχοντας ἀνθρώπους C **20** εὐψύχους M

διασῴζουσιν, οἱ ἄψυχοι καὶ ἀναίσθητοι, οὐκ ἐπειδὴ χαλκός εἰσιν, ἀλλ’ ἐπειδὴ εἰκὼν τοῦ βασιλέως εἰσίν, οὕτω δὴ καὶ τὸ αἷμα ἐκεῖνο τὸ ἀναίσθητον καὶ ἄψυχον τοὺς ψυχὰς ἔχοντας ἀνθρώπους ἔσωσεν, οὐκ ἐπειδὴ αἷμα ἦν, ἀλλ’ ἐπειδὴ τοῦ αἵματος τούτου τύπος ἦν. Τότε εἶδεν ὁ ὀλοθρεύων ταῖς θύραις ἐπικεχρισμένον τὸ αἷμα, καὶ οὐκ ἐτόλμησεν εἰσπηδῆσαι· νῦν ἂν ἴδῃ ὁ διάβολος οὐχὶ ταῖς θύραις ἐπικεχρισμένον τὸ αἷμα τοῦ σώματος, ἀλλὰ τῷ στόματι τῶν πιστῶν ἐπικεχρισμένον τὸ αἷμα τῆς ἀληθείας, ταῖς θύραις τοῦ ναοῦ τοῦ χριστοφόρου, οὐ πολλῷ μᾶλλον καθέξει; Εἰ γὰρ ἄγγελος ἰδὼν τὸν τύπον ἠδέσθη, πολλῷ μᾶλλον ὁ διάβολος, ἰδὼν τὴν ἀλήθειαν, φεύξεται.

## I 1252 / C cap. Θ 2, 17

Τοῦ αὐτοῦ·

Ἔνυξεν τὴν πλευρὰν ὁ στρατιώτης ἐκεῖνος, καὶ ὤρυξεν τὸν τοῖχον τοῦ ἁγίου ναοῦ, κἀγὼ τὸν θησαυρὸν εὗρον καὶ τὸν πλοῦτον ἔλαβον. Οὕτως καὶ ἐπὶ τοῦ ἀμνοῦ γέγονεν· Ἰουδαῖοι ἔσφαζον τὸ πρόβατον, κἀγὼ τὴν θυσίαν ἐκαρπωσάμην ἐκ τῆς πλευρᾶς, *ὕδωρ καὶ αἷμα*.

---

**14** Ἔνυξεν – ἐκεῖνος] cf. Ioh. 19, 34 **17 – 18** Ibid.

---

**14 – 18 I 1252** Iohannes Chrysostomus, *Ad neophytos (Catecheses ad illuminandos*, III*)*, 16, 10 – 17, 1 (ed. Wenger, p. 160–161)

---

**13 – 18 I 1252** C (205r[22]22–27); $V^{E}$ cap. Θ 4, 6; $V^{W}$ cap. Θ 4, 6; $V^{O}$ cap. Θ 4, 6; $V^{Ph}$ cap. Θ 4, 6; M cap. Θ 5, 6; R cap. Θ 8, 10; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 17, 22–27

---

**I 1252** (a) C $V^{E}V^{O}$ (b) Περὶ φωτισθέντας M (c) *s. a.* $V^{W}V^{Ph}$ (d) *s. d.* R

---

**1** χαλκὸς εἰσὶν M R, χαλκός ἐστιν V **2** εἰκόνες *(*-ο- M*)* $V^{W}$ M βασιλέως ἐστὶν $V^{E}V^{O}$, βασΐλεώς ἐστῒν $V^{Ph}$ δὴ] δὲ V, *om.* M ἐκεῖνον $V^{Ph}$ **4** ἐπειδὴ$^{1}$ – ἀλλ’] *om.* R **5** Τότε] ὅτε V M ἴδεν C $V^{E}V^{O}$ M ὀλοθρεύον M, ὀλεθρεύων *(*ὀ- $V^{E}V^{O}$*)* $V^{E}V^{O}V^{Ph}$ ἐπικεχρωσμενον M **6** καὶ] *om.* $V^{Ph}$ ἴδῃ] ἴδη σε V, εἰδησαι M **7** ἐπικεχρισμένον] ἐπικείμενον V M στόματι] σώματι C $V^{W}$ **8** ἐπικεχρωσμένων M ταῖς θύραις] τὸ αἷμα $V^{E}V^{O}V^{Ph}$ **9** καθέξης M **10** αἰδεσθη $V^{W}$ **14** Ἔνυξεν] *scripsimus*, ἔνυξε R, ἤνυξεν $V^{Ph\ p.c.}$, ἔνοιξεν *(*ἐ- M*)* $V^{E}V^{O}V^{Ph\ a.c.}$ M, ἤνοιξε(ν) C $V^{W}$ τοῖχον] τύχον *(*-υ- M*)* $V^{E}V^{W}V^{Ph}$ M, τάχον *(sic)* $V^{O}$ **16** ἰουδαίοι $V^{E}$, ϊουδαίοι M ἔσφαττον C, ἔσφαξαν *(*ἐ- M*)* M R **17** ἐκ] *praem.* τὸ R **17 – 18** αἷμα καὶ ὕδωρ $V^{E}V^{O}V^{Ph}$ R

## I 1253 / C cap. Θ 2, 18

Καὶ μετ᾽ ὀλίγα·

Ὥσπερ γυνὴ τὸ τεχθὲν οἰκείῳ τρέφει αἵματι καὶ γάλακτι, οὕτω καὶ ὁ Χριστὸς οὓς ἐγέννησεν, αὐτὸς οἰκείῳ τρέφει διηνεκῶς αἵματι.

## <I suppl. 397 / V cap. Θ 4, 8>

## I 1254 / C cap. Θ 2, 19

Φίλωνος, ἐκ τοῦ β′ τῶν ἐν Γενέσει ζητημάτων·

Οὐ θέμις τὰ ἱερὰ μυστήρια ἐκλαλεῖν ἀμυήτοις, ἄχρις ἂν καθαρθῶσιν τελείᾳ καθάρσει. Ὁ γὰρ ἀνοργίαστος καὶ εὐχερής, ἀσώματον καὶ νοητὴν φύσιν ἀκούειν ἢ βλέπειν ἀδυνατῶν, ὑπὸ τῆς φανερᾶς ὄψεως ἀπατηθείς, μωμήσεται τὰ ἀμώμητα.

## I 1255 / C cap. Θ 2, 20

Ἐκ τῶν αὐτῶν·

Τὸ ἀμυήτοις ἐκλαλεῖν μυστήρια, καταλύοντος ἐστὶν τοὺς θεσμοὺς τῆς ἱερωτάτης τελετῆς.

---

**5 I suppl. 397** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1253** IOHANNES CHRYSOSTOMUS, *Ad neophytos (Catecheses ad illuminandos*, III*)*, 19, 3–5 (ed. Wenger, p. 162) **8 – 11 I 1254** PHILO IUDAEUS, *Quaestiones in Genesim*, II, locus non repertus (ed. Petit, p. 217.2); Royse 176.61 **14 – 15 I 1255** PHILO IUDAEUS, *Quaestiones in Genesim*, IV. 8c (ed. Petit, p. 148)

---

**2 – 4 I 1253** C (205r[27]28–30); $V^{E}$ cap. Θ 4, 7; $V^{W}$ cap. Θ 4, 7; $V^{O}$ cap. Θ 4, 7; $V^{Ph}$ cap. Θ 4, 7; M cap. Θ 5, 7; R cap. Θ 8, 11; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $L^{b}$; PG 96, 17, 28–30 **7 – 11 I 1254** C (205r[30]205v1–5); R cap. Θ 8, 13; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$; PG 96, 525, 48–52 **13 – 15 I 1255** C (205v[6]6–7); R cap. Θ 8, 14; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$; PG 96, 525, 52–54

---

**I 1253** (a) C R (b) *s. a.* V M **I 1254** β′] δευτέρου R **I 1255** (a) C (b) *s. d.* R

---

**3** γάλακτι καὶ αἵματι $V^{W}$ καὶ γάλακτι] *om.* C **4** Χριστὸς] υἱὸς C αὐτὸς] *om.* C διηνεκὼς $V^{O}$, διηνεκεῖ C $V^{W}$, διηνεκῆ M **15** ἱερωτάτης] ἱερατικῆς R

## I 1256 / C cap. Θ 2, 21

Τοῦ αὐτοῦ, ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ἄτοπον ἐν μὲν ταῖς πόλεσιν νόμον εἶναι τὰ μυθικὰ μυστήρια μὴ ἐξαγγεῖλαι τοῖς ἀμυήτοις, τὰς δὲ ἀληθεῖς τελετάς, αἵ πρὸς εὐσέβειαν ἀνάγουσιν καὶ ὁσιότητα, εἰς ὦτα μεστὰ φλυαρίας ἐκρίπτειν.

## I 1257 / C cap. Θ 2, 22

Ἐκ τῶν αὐτῶν·

Οὐ πάντων κοινωνητέον πᾶσιν, οὔτε λόγων, οὔτε πραγμάτων, καὶ μάλιστα ἱερῶν. Πολλὰ γὰρ προϋπάρξαι δεῖ τοῖς ἐφιεμένοις τῆς μετουσίας τούτων· πρῶτον μέν, τὸ μέγιστον καὶ ἀναγκαιότατον, πρὸς τὸν ἕνα καὶ ὄντως ὄντα θεὸν εὐσέβειαν καὶ ὁσιότητα, τὴν ἐπὶ τοῖς ἀγάλμασι καὶ ξοάνοις καὶ συνόλως ἀφιδρύμασι, τελεταῖς τε ἀτελέστοις καὶ μυστηρίοις ἀνοργιάστοις ἀνήνυτον πλάνην ἀπωσαμένοις· δεύτερον δὲ καθαρθῆναι τὰς ἁγνευτικὰς καθάρσεις, κατά τε σῶμα καὶ ψυχὴν διὰ νόμων πατρίων καὶ ἠθῶν· τρίτον ἀξιόπιστον τοῦ συνασμενισμοῦ παρασχεῖν ἐνέχυρον, ἵνα μὴ τραπέζης μεταλαβόντες ἱερᾶς, ἀσώτων μειρακίων τρόπον ὑπὸ κόρου καὶ πλησμονῆς ἐναλύωσιν ἐμπαροινοῦντες οἷς οὐ θέμις.

---

**3 – 5 I 1256** PHILO IUDAEUS, *Quaestiones in Exodum*, I, locus non repertus (ed. Petit, p. 292.13); Royse 175.11 **8 – 18 I 1257** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 293–294.14); Royse 176.62

---

**2 – 5 I 1256** C (205v[8]9–12); R cap. Θ 8, 15; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$; PG 96, 528, 1–5 **7 – 18 I 1257** C (205v[12]13–27); R cap. Θ 8, 16; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $ML^{b}$; PG 96, 528, 5–18

---

**I 1256** ἐκ – ζητημάτων] *om.* R **I 1257** (a) C (b) *s. d.* R

---

**3** τὰ] τοῦ R **5** ἄγουσι R **9** Πολλὰ – προϋπάρξαι] *om.* R **11** ὁσιότητα] *add.* ἔχειν R τὴν] τὸν C **12** συνόλοις C **13** ἀνοργιάστοις] ἀνοργισΐας τοῖς R **14** ἁγνευούσας R **16 – 17** τραπέζης] τροφῆς R **18** ἐναλύωσιν] *correximus*, ἐναλλοίωσιν C, ἐναλλοιώσωσιν R

# Στοιχεῖον Ι

**Τίτλος α′ Περὶ ἱερατικῶν καὶ τῶν τῷ θεῷ ἀνακειμένων, ὅτι οὐκ ἐφίεται ἰδιωτεύοντι ἅπτεσθαι ἱερατικοῦ σκεύους.**

**β′ Περὶ ἱερατικῶν, καὶ ὅτι οὐκ ἔξεστιν ἰδιωτεύοντι ἅπτεσθαι ἱερατικοῦ σκεύους.**

**ε′ Περὶ ἱερατικῶν, καὶ ὅτι οὐκ ἔξεστιν ἰδιωτεύοντα ἅπτεσθαι ἱερατικοῦ σκεύους.**

## I 1258 / C cap. I 1, 1

Ἀπὸ τῶν Ἀριθμῶν·

Ὁ ἀλλογενὴς ὁ ἁπτόμενος τῶν ἁγίων ἀποθανεῖται.

## I 1259 / C cap. I 1, 2

Τῶν αὐτῶν·

Ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται.

---

**10 I 1258** Num. 3, 10 vel 3, 38 **13 I 1259** Num. 18, 7

---

**1 Stoicheion** $C^{txt}$ (205v28) $C^{pin}$ **2 – 3 Titlos (a)** C (205v28 –31) $A^{II\ pin}$ R; *deest in* $H^{II}A^{II\ txt}$ **4 – 5 Titlos (b)** V $A^{I\ pin}$; *deest in* $H^{I}A^{I\ txt}$; PG 96, 57, 42–43 **6 – 7 Titlos (c)** $PML^{b\ pin}$; *deest in* $L^{b\ txt}$ **9 – 10 I 1258** C ([206r mg]206r1); R cap. I 4, 1; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **12 – 13 I 1259** C (206r[2]2–3); R cap. I 4, 2; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**1 Stoicheion** Ι] *scripsimus*, ἰῶτα $C^{txt}$, ϊωτα $C^{pin}$ **2 – 3 Titlos (a) 2** Τίτλος] *om.* $A^{II\ pin}$ $R^{pin}$ α′] δ′ $R^{pin}$, *propt. mg. resect. non liquet in* $A^{II\ pin}$ *(*α′ *secund. ser.)* ἀνακειμένων] *add.* καὶ $R^{txt}$ **3** ἐφίεται] ἐφεῖ *(sic)* $A^{II\ pin}$, ἔξεστιν R ἰδιοτεύοντι $C^{pin}$, ἰδιωτεύοντα *(-ευ-* $R^{txt}$*)* R σκεύους] *add.* ἢ νοσφίζεσθαι $C^{pin}$ **4 – 5 Titlos (b) 4** β′] γ′ $V^{O\ txt}$ *(*β′ *exspectav.)*, τίτλος β′ $V^{W\ txt}$, *propt. mg. resect. non liquet in* $A^{I\ pin}$ *(*β′ *secund. ser.)* ἰδιωτεύοντι] ἰδιοτεύοντι $V^{W\ pin}$ $V^{W\ txt\ a.\ c.}$ $V^{O}V^{Ph}$, ἰδιοτεύοντι $V^{E\ pin}$ $V^{E\ txt\ p.\ c.}$, ἰδιοτεύοντα $V^{E\ txt\ a.\ c.}$, ἰδιωτεύοντας $V^{W\ txt\ p.\ c.}$, *add.* ἀνθρώπῳ $A^{I\ pin}$ **6 – 7 Titlos (c) 6** ἱερατικῶν] ἰατρικῶν $L^{b\ pin}$ **6 – 7** καὶ – σκεύους] *om.* M **6** ϊδιωτεύοντα $P^{pin}$, ϊδιοτεύοντα $P^{txt}$ **7** ἱερατικοῦ] ἰατρικοῦ $L^{b\ pin}$

---

**I 1259** (a) C (b) *s. d.* R

## I 1260 / C cap. I 1, 3

Ἐκ τῶν αὐτῶν·

Οὐχ’ ἅψονται τῶν ἁγίων οἱ υἱοὶ Καάθ, ἵνα μὴ ἀποθάνωσιν.

## I 1261 / C cap. I 1, 4

Τῶν αὐτῶν·

Εἶπον οἱ υἱοὶ Ἰσραὴλ πρὸς Μωϋσῆν, λέγοντες· Ἰδοὺ ἐξανηλώμεθα, ἀπολώλαμεν, παρανηλώμεθα. Πᾶς ὁ ἁπτόμενος τῆς σκηνῆς τοῦ μαρτυρίου ἀποθνήσκει.

## I 1262 / C cap. I 1, 5

Βασιλειῶν β′·

Ἐξέτεινεν Ὀζᾶ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ θεοῦ κατασχεῖν αὐτήν, ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος. Καὶ ἐθυμώθη ὀργῇ κύριος τῷ Ὀζᾶ, καὶ ἐπάταξεν αὐτὸν ὁ θεός, καὶ ἀπέθανεν παρὰ τὴν κιβωτὸν κυρίου, ἐνώπιον τοῦ θεοῦ.

---

**3 I 1260** Num. 4, 15 **6 – 8 I 1261** Num. 17, 12–13 **11 – 14 I 1262** II Reg. 6, 6–7 (Wahl, *2 Samuel-Text*, p. 83)

---

**2 – 3 I 1260** C (206r[3]3–4); R cap. I 4, 3; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ V $\mathrm{H}^{\mathrm{I}}$ $\mathrm{PML}^{\mathrm{b}}$ **5 – 8 I 1261** C (206r[4]5–8); R cap. I 4, 4; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ V $\mathrm{H}^{\mathrm{I}}$ $\mathrm{PML}^{\mathrm{b}}$ **10 – 14 I 1262** C (206r[8]8–12); $\mathrm{V}^{\mathrm{E}}$ cap. I 2, 1; $\mathrm{V}^{\mathrm{W}}$ cap. I 2, 1; $\mathrm{V}^{\mathrm{O}}$ cap. I 2, 1; $\mathrm{V}^{\mathrm{Ph}}$ cap. I 2, 1; P cap. I 5, 1; M cap. I 5, 1; R cap. I 4, 5; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ $\mathrm{H}^{\mathrm{I}}$ $\mathrm{L}^{\mathrm{b}}$; PG 96, 57, 44–48

---

**I 1260** (a) C (b) *s. d.* R **I 1262** β′] δευτέρας R, *om.* $\mathrm{V}^{\mathrm{W}}\mathrm{V}^{\mathrm{O}}$ M

---

**3** οἱ] *om.* R Καάθ] κάθ R **6** οἱ] *om.* R **7** παρηναλώμεθα *(*-λω- $\mathrm{C}^{\mathrm{mg.}}$*)* $\mathrm{C}^{\mathrm{mg.}}$ R τὴν σκηνὴν R **11** Ὀζᾶ] ὀζᾶ V P, *om.* R αὐτοῦ] *add.* ὀζᾶς $\mathrm{R}^{\mathrm{a.\,c.}}$ M, ὀζὰς $\mathrm{R}^{\mathrm{p.\,c.}}$ **11 – 12** κατασχεῖν] καὶ κατέσχεν C **12** αὐτήν] *om.* V PM R ὀργῇ] *om.* M **13** ὀζᾶ $\mathrm{V}^{\mathrm{E}}\mathrm{V}^{\mathrm{O}}\mathrm{V}^{\mathrm{Ph}}$ M, ὀζα P ἐπάταξεν] ἐπέταξεν $\mathrm{V}^{\mathrm{O}}$ **14** ἐνώπιον – θεοῦ] *om.* V PM R

## I 1263 / C cap. I 1, 6

Παραλειπομένων α′·

Εἶπεν Δαυῒδ· Οὐκ ἔστιν ἆραι τὴν κιβωτὸν τοῦ θεοῦ, ἀλλ’ ἢ τοὺς Λευΐτας, ὅτι αὐτοὺς ἐξελέξατο κύριος λειτουργεῖν αὐτῷ ἕως αἰῶνος.

## I 1264 / C cap. I 1, 7

Παραλειπομένων β′·

Ἔστησαν οἱ ἱερεῖς ἐπὶ Ὀζίαν τὸν βασιλέα, καὶ εἶπον αὐτῷ· Οὔ σοι, Ὀζία, θυμιᾶσαι τῷ κυρίῳ, ἀλλ’ ἢ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις θυμιᾶσαι· ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ τοῦ κυρίου, καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ κυρίου τοῦ θεοῦ. Καὶ ἐθυμώθη Ὀζίας, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιᾶσαι ἐν τῷ ναῷ· καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς, καὶ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων ἐν οἴκῳ κυρίου.

---

**3 – 5 I 1263** I Par. 15, 2 (Wahl, *1 Chronik-Text*, p. 139) **8 – 15 I 1264** II Par. 26, 18–19 (Wahl, *2 Chronik-Text*, p. 152–153)

---

**2 – 5 I 1263** C (206r[13]13–16); $V^{E}$ cap. I 2, 2; $V^{W}$ cap. I 2, 2; $V^{O}$ cap. I 2, 2; $V^{Ph}$ cap. I 2, 2; P cap. I 5, 2; M cap. I 5, 2; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 57, 49–51 **7 – 15 I 1264** C (206r[16]16–25); $V^{E}$ cap. I 2, 3; $V^{W}$ cap. I 2, 3; $V^{O}$ cap. I 2, 3; $V^{Ph}$ cap. I 2, 3; P cap. I 5, 3; M cap. I 5, 3; R cap. I 4, 6; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 57, 52 – 60, 3

---

**I 1263** α′] *om.* V **I 1264** (a) C $V^{E}V^{O}V^{Ph}$ P R (b) *s. a.* $V^{W}$ M

---

**3** Οὐκ] *praem.* οὐ $V^{W\ s.\ l.\ ut\ videtur}$ ἔσται *(*ἐ- PM*)* $V^{E}V^{O}V^{Ph}$ PM τοῦ θεοῦ] κυρίου M **4** αὐτῷ] αὐτοὺς $V^{E}V^{W\ e\ corr.}$ $V^{O}V^{Ph}$ P **4 – 5** αἰῶνος] *praem.* του M **8** ὀζίαν $V^{O}V^{Ph}$ M, οζειαν P αὐτὸν M Οὔ σοι] οὐ σοι PM, οὐ σὺ $V^{E}V^{O}V^{Ph}$, οὔ σὺ $V^{W}$, οὐκ ἔξεστί σοι R **9** Ὀζία] ὀζία $V^{O}$ M, *add.* ἔξεστι $V^{W\ man.\ rec.\ mg.}$ **9 – 10** θυμιᾶσαι – ἡγιασμένοις] *om.* $V^{E}V^{O}V^{Ph}$ **9** θυμηάσαι P, θυμειασεις M υἱοῖς Ἀαρὼν] *om.* $V^{W}$ PM R Ἀαρὼν] *scripsimus*, ἀαρῶν C **10** θυμιᾶσαι] ἐστὶν θυμιασαι M, *om.* $V^{W\ p.\ ras.}$ ἐκ] ἀπὸ M R **11** ἔσται σοι] έσται M, ἔστι σοι $V^{W}$ **11 – 12** κυρίου – θεοῦ] κυρίου θεοῦ $V^{W}$ P R *(LXX)*, κυρίω θεῶ M **12** ὀζίας C $V^{O}V^{Ph}$, οζιας P καὶ] *add.* ἐλαβεν M **13** καὶ] *om.* $V^{E}V^{O}V^{Ph}$ PM τῷ[2]] ᾧ $V^{Ph}$ **14** προσώπω M ἐναντίων *(*-τι- P*)* $V^{Ph}$ P

## I 1265 / C cap. I 1, 8

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τοῦ θʹ κεφαλαίου τῶν Ἱεροθέου τοῦ ἁγιωτάτου στοιχειώσεων·

Μηδεὶς ἀτέλεστος ἐπὶ τὴν θέαν ἴτω τῶν ἱερατικῶν ἁγίων. Καὶ γὰρ οὐδὲ ταῖς ἡλιοτεύκτοις αὐγαῖς ἐν ἀσθενέσι κόραις ἀντωπεῖν ἀκίνδυνον, οὐδὲ τοῖς ὑπὲρ ἡμᾶς ἐγχειρεῖν ἀβλαβές, εἴπερ ἀληθὴς ἡ κατὰ τὸν νόμον ἱεραρχία, τὸν μὲν Ὀζίαν, ὅτι τοῖς ἱεροῖς ἐνεχείρησεν, ἀποστρεφομένη, τὸν Κορὲ δέ, ὅτι τοῖς ὑπὲρ αὐτὸν ἱεροῖς, τὸν δὲ Ναδάβ, ὅτι τοῖς οἰκείοις ἀνιέρως ἀπεχρήσατο.

## I 1266 / C cap. I 1, 9

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὸν πατέρα αὐτοῦ·

Μέγα τῷ θυσιαστηρίῳ ποτὲ τὸ μὴ πέλεκυν ἐπ' αὐτῷ ἀναβῆναι, μὴ δὲ ὀφθῆναι ἢ ἀκουσθῆναι λαξευτήριον, λόγῳ μείζονι, ὡς δέον φυσικὸν καὶ ἄτεχνον εἶναι πᾶν τὸ τῷ θεῷ καθιερούμενον.

---

**2 – 3** τῶν – στοιχειώσεων] cf. Ps.-Dion. Areop., *De divinis nominibus*, III. 2 (ed. Suchla, p. 139, 18) **6 – 8** ἡ – ἀποστρεφομένη] cf. II Par. 26, 16–20 **8** τὸν[1] – ἱεροῖς] cf. Num. 16, 1–35 **8 – 9** τὸν[2] – ἀπεχρήσατο] cf. Lev. 10, 1–2 **12 – 13** Μέγα – λαξευτήριον] cf. Deut. 27, 5

---

**4 – 9 I 1265** Ps.-Dionysius Areopagita, *De ecclesiastica hierarchia*, II (ed. Heil†, p. 69, 15–19) **12 – 14 I 1266** Gregorius Nazianzenus, *Funebris oratio in patrem (Orat. 18)*, 10 (PG 35, 996, 25–28)

---

**2 – 9 I 1265** C (206r[26–27]28–206v5); R cap. I 4, 7; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **11 – 14 I 1266** C (206v[6]7–10); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1265** τοῦ Ἀρεοπαγίτου] *om.* R τοῦ ἁγιωτάτου] *om.* R

---

**4** ἴτω] ἤτω R, ἰέτω *ed.* **5 – 6** ἀκίνδυνον] ἀδύνατον R **7 – 8** ἐνεχείρισεν R **9** νάδαβ C **12** αὐτὸ *ed.*

## I 1267 / C cap. I 1, 10

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ θεολογίας λόγου·

Οἶδα ἐγὼ μήτε τῶν τοίχων τοῦ ἱεροῦ ψαῦσαι †ἦν† τοῖς πολλοῖς, καὶ διατοῦτο ἑτέρων δεηθῆναι τοίχων τῶν ἔξωθεν· μὴ δὲ τὰς θυσίας αὐτὰς ὑφ' ὧν καὶ ὅτε καὶ οὗ μὴ καθῆκον ἦν ἀναλίσκεσθαι· τοσούτου δεῖν πρὸς *τὰ ἅγια τῶν ἁγίων* προσφοιτᾶν θαρροῦντα τὸ καταπέτασμα ἢ τὸ ἱλαστήριον ἢ τὴν κιβωτὸν προσβλέπειν εἶναι παντός, ἢ προσάπτεσθαι.

**6** e. g. Lev. 21, 22

**3 – 8 I 1267** Gregorius Nazianzenus, *De theologia*, re vera *De dogmate et constitutione episcoporum (Orat. 20)*, 3, 8–14 (ed. Mossay/Lafontaine, p. 60–62)

**2 – 8 I 1267** C (206v[11]11–19); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R

**3** †ἦν†] *cruces apposuimus*, *sic* C *post* πολλοῖς *hab.* ὂν ἀσφαλὲς *ed.* **5** ἀναλίσκεσθαι] αναμίσγεσθαι *(sic)* C$^{mg.}$

**Τίτλος β′ Περὶ ἰσότητος, ὅτι ἴση τάξις παρὰ θεῷ πλουσίου καὶ πένητος.**

**ζ′ Περὶ ἰσότητος, ὅτι ἴση τάξις παρὰ θεῷ πλουσίου καὶ πένητος.**

**ζ′ Περὶ ἰσότητος, ὅτι <ἴσ>η τάξις παρὰ θεῷ πλουσίου καὶ πένητος.**

## I 1268 / C cap. I 2, 1

Τῆς Ἐξόδου·

Τὸ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ κυρίῳ. Πᾶς ὁ παραπορευόμενος εἰς τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, δώσουσιν τὴν εἰσφορὰν κυρίῳ. Ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου ἐν τῷ διδόναι τὴν εἰσφορὰν τῷ κυρίῳ, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.

---

**9 – 13 I 1268** Ex. 30, 13–15

---

**1 – 2 Titlos (a)** C (206v19–21) A$^{\text{II pin}}$ R; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$ **3 – 4 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I txt}}$ A$^{\text{I txt}}$; PG 96, 65, 8–9 **5 – 6 Titlos (c)** PML$^{\text{b pin}}$; *deest in* L$^{\text{b txt}}$ **8 – 13 I 1268** C (206v[21]21–28); R cap. I 5, 1; *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ PML$^{\text{b}}$

---

**1 – 2 Titlos (a) 1** Τίτλος] *om.* A$^{\text{II pin}}$ R$^{\text{pin}}$ β′] ε′ R, *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(*β′ *secund. ser.)* τάξις – θεῷ] παρὰ θεῶ τάξϊς A$^{\text{II pin}}$ R πλουσίου] πλουσίου τε C$^{\text{pin}}$ **3 – 4 Titlos (b) 3** ζ′] *praem.* τίτλος V$^{\text{W txt}}$, *om.* V$^{\text{O txt}}$ *(*ζ′ *secund. ser.), propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(*ζ′ *secund. ser.)* ὅτι] *praem.* καὶ V$^{\text{E pin}}$ V$^{\text{O pin}}$ V$^{\text{Ph pin}}$ **3 – 4** πλουσίου – πένητος] πάντων V$^{\text{E txt}}$ V$^{\text{O txt}}$ V$^{\text{Ph txt}}$ A$^{\text{I pin}}$ **5 – 6 Titlos (c) 5** ἰσότητα M$^{\text{txt}}$ **5 – 6** ὅτι – πένητος] *om.* M **5** ἴση] *correximus*, ή PL$^{\text{b pin}}$

---

**9** διδράγμου R **12** ἡμίσου C **13** ἐξΐλεοῦσθαι C

## I 1269 / C cap. I 2, 2

Σοφίας Σολομῶντος·

Μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν,
ὁμοίως τε προνοεῖται περὶ πάντων.

## I 1270 / C cap. I 2, 3

Τῶν Πράξεων·

Εἶπεν ὁ Πέτρος· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν προσωπολήπτης ὁ θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν.

## I 1271 / C cap. I 2, 4

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Οὐδὲν τῷ θεῷ μέγα, ὃ μὴ καὶ πένης δίδωσιν, ἵνα μὴ κἀνταῦθα παραθεωροῦνται οἱ πένητες· οὐ γὰρ ἔχουσιν ὅπως τοῖς πλουσίοις ἁμιλληθῶσιν.

---

**3 – 4 I 1269** Sap. 6, $7^{3-4}$ **7 – 9 I 1270** Act. 10, 34–35 **12 – 14 I 1271** GREGORIUS NAZIANZENUS, *In S. baptisma (Orat. 40)*, 25, 37–39 (ed. Moreschini, p. 254)

---

**2 – 4 I 1269** C (206v[28]28–30); $V^{E}$ cap. I 7, 1; $V^{W}$ cap. I 7, 1; $V^{O}$ cap. I 7, 1; $V^{Ph}$ cap. I 7, 1; P cap. I 7, 1; M cap. I 7, 1; R cap. I 5, 2; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 10–11 **6 – 9 I 1270** C (206v[30]30–207r4); R cap. I 5, 3; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **11 – 14 I 1271** C (207r[4–5]5–8); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1269** (a) C PM R σοφια PM σολομωντος P, σολομοντος M, σαλομῶντος R (b) Σολομῶντος $V^{W}$ σολο$^{μ}$ *cod.* (c) Ἰώβ $V^{E}V^{O}V^{Ph}$ **I 1270** Τῶν] *om.* R

---

**3** μεγα P αὐτὸς] *praem.* ὁ $V^{W}$ **4** ὁμοίως τὲ M, ὁμοίως δὲ C, αὐτὸς τὲ *(*τε $V^{O}$*)* $V^{E}V^{O}$, αὐτός τε $V^{Ph}$ προνοεῖται] *post* πάντων *transpos.* M περὶ] *om.* $V^{W}$ R **8** αὐτὸν] τὸν θεὸν R **9** αὐτῶ ἐστὶν C **12 – 13** παρωθῶνται *ed.*

## I 1272 / C cap. I 2, 5

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φιλοπτωχίας·

Μιμησώμεθα νόμον θεοῦ τὸν ἀνωτάτω καὶ πρῶτον, ὃς τὰς πρώτας τοῦ ζῆν ἀφορμὰς ἀφθόνως πᾶσιν ἐχαρίσατο, τῇ ἰσότητι τῆς δωρεᾶς τὸ τῆς φύσεως τιμῶν ὁμότιμον, καὶ δεικνὺς ἐφ᾽ ἅπασιν ἀδιάφορον τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ.

## <I suppl. 398–399 / V cap. I 7, 2–3>

## I 1273 / C cap. I 2, 6

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας β′·

Τοῦ<το> τοίνυν εἰ δι᾽ ὅλου τοῦ περὶ προνοίας λόγου μνημονεύοιτο, οὐδὲν ἂν ὑποπτεύοιτο πρὸς ἀνισότητα καὶ ἀταξίαν πρὸς θεοῦ διοικούμενον. Εἰ μὲν γὰρ εὕροι τίς ἂν ὡς ἄλλῳ μὲν ἀνεῖται τῆς εὐσεβοῦς ἀρετῆς ἡ πορεία, ἄλλῳ δὲ ἀποκέκλεισται, ἐνταῦθα πρὸς τὸ μόνον κεφάλαιον τῶν ἀγαθῶν ἡ ἀνισότης διαβολὴν ἂν ἔχειν ἔδοξεν τῆς διοικήσεως. Εἰ δὲ δι᾽ οὗ καὶ μόνου γένοιτ᾽ ἄν τις ὡς ἀληθῶς μακάριος, τοῦτο κοινὸν ἐπίσης πρὸς ἐξουσίαν τοῖς πᾶσι πρόκειται, ποίαν καταφωράσειεν ἄν τις, κἂν ᾖ φιλαίτιος, ἀνισότητα, ὁπότε τῶν ἐκτὸς αἱ πλεονεξίαι αὖθις πρὸς ἰσότητα τοῖς λο-

---

7 **I suppl. 398–399** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

3 **I 1272** Μιμησώμεθα – ὃς] Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 25 (PG 35, 889, 29–30) **3 – 4** τὰς – ἐχαρίσατο] Ibid. (PG 35, 889, 34–35) **4 – 6** τῇ – αὐτοῦ] Ibid. (PG 35, 889, 39–41) **10 – 803, 15 I 1273** Τοῦτο – διαναπαύσεις] Titus Bostrensis, *Contra Manichaeos*, II, 21, 13–39 (ed. Roman/Schmidt, p. 139–141 = Extrait 3, 1–29 [ed. Declerck, p. CXXIX])

---

**2 – 6 I 1272** C (207r[8]9–14); R cap. I 5, 4; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ **9 – 804, 3 I 1273** C (207r[14]15–208r9); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R

---

**I 1272** αὐτοῦ] θεολόγου R φιλοπτωχείας C

---

**3** μιμώμεθα R ἀνώτατον C ὃς] οἷς R **6** ἀδιάφθορον C **10** Τοῦτο τοίνυν] *correximus (ed.)*, τοῦτοίνυν C **11 – 12** θεοῦ] *correximus (ed.)*, θεὸν C **13** ἀποκέκλεισται, ἐνταῦθα] *non est interpunctio post* ἀποκέκλεισται *in* C **15** γένοιτ᾽ – τις] *correximus (ed.)*, γένοιτό τις C **16** ἐπίσης] *scripsimus*, ἐπ᾽ ἴσης C

γισμοῖς ἀνακλῶνται, ὡς οὐκ ἔλαττον μὲν ἢ καὶ μᾶλλον ἡδομένου τοῦ πένητος οἷς προσφέρεται τροφείοις τοῦ πλουσίου; Καὶ τὰ περὶ σκέπην δὲ ὁμοίως ἔχει, κἂν ἔλαττον ὑπάρχῃ τίμια. Καὶ τύπος αἰσθήσεως τὰ συνήθως παρακείμενα, ὡς μηδένα τοῦ πλείονος ἐπαισθάνεσθαι, διὰ τῆς συνηθείας τῆς αἰσθήσεως ἀμαυρουμένης, μὴ δ’ ἄλλον τοῦ ἐλάττονος, καὶ τούτου διὰ τῆς συνηθείας τὸ ἐνδέον πρὸς τὴν αἴσθησιν μὴ ἄγοντος. Αὐτίκα βάρβαροι, γυμνοί τε τὸ πλέον τοῦ σώματος διάγοντες καὶ ἄστρωτοι καθεύδοντες καὶ λυγροῖς ἐδέσμασι διαιτώμενοι, οὐκ ἠνέσχοντο πώποτε καταλιπεῖν τὴν φίλην δίαιταν, ὡς διὰ τῆς συνηθείας τὸ ἐνδέον αὐτῆς μὴ καθορῶντες, μᾶλλον δὲ ταύτην μὴ δὲ ἀπολιπεῖν οἷοί τε ὄντες. Ἢ θᾶττον μὲν ἂν καὶ τὸ ὑγιαίνειν καταλίποιεν, θᾶττον δὲ ἂν καὶ τὸ πρὸς κρυμοὺς ἢ καὶ ἡλιακὴν φλόγα καρτερεῖν ἀποκτήσαιντο. Καὶ πρός γε τὸ ζῆν καὶ ἡδέως ζῆν, οὐδεὶς [δὲ] οὐδενὸς πλέον ἔχει κατὰ τὸν βίον. Κοιναὶ μὲν οὖν πᾶσαι αἱ φυσικαὶ διαναπαύσεις.

Εἰ δέ τις εὕροι ἂν τοὺς μὲν ἀπαθεῖς φύσει τῶν ἀνθρώπων, τοὺς δὲ ἐμπαθεῖς καθ’ ἑ<κά>τερον, ψυχήν τε καὶ σῶμα, καὶ τοὺς μὲν ἄνευ τροφῆς διαζῶντας, τοὺς δὲ διὰ τροφῆς, ἢ καὶ τοὺς μὲν ἀνεπιδέκτους κακίας, τοὺς δὲ δεκτικούς, ἔτι μὴν τοὺς μὲν θνητούς, τοὺς δὲ ἀθανάτους, καλῶς ἂν ὁ τοιοῦτος ἀταξίαν τε καὶ ἀνισότητα κατείποι τῆς διοικήσεως, ὡς ἀποκληρώσει τινὶ μᾶλλον ἢ λόγῳ τοῦ θεοῦ τὰ καθ’ ἡμᾶς διοικοῦντος. Εἰ δὲ τρόπος μὲν ὁ αὐτὸς τοῖς πᾶσιν γενέσεως, μία δὲ καὶ ἡ αὐτὴ τῆς φύσεως ἡ ἀνατροφή, τῶν δὲ ἀναγκαίων, ὧν ἄνευ ζῆσαι ἀδύνατον, κοινὴ τοῖς πᾶσιν ἐπίσης χορηγία, τέλος δὲ τῶν ἁπάντων ἕν τε καὶ μόνον, τῆς ἰσότητος πρὸς ἄκραν ἀκρίβειαν ἐν πᾶσιν φαινομένης, ἢ τυφλὸς παντελῶς ὁ διαβάλλων εἰς ἀταξίαν τοῦ θεοῦ τὴν πρόνοιαν, ἢ ἐχθροῖς ὄμμασι καθορῶν τὰ πράγματα, καὶ ἥκιστα πιστεύεσθαι δίκαιος. Εἰ γὰρ διαφορὰ τὴν ἀταξίαν ἔχει, τὸ κόσμιον τῆς ποικιλίας, τεχνίτῃ γε πανσόφῳ λίαν ἁρμόττον, ὁ τοιοῦτος διαβάλλει· καὶ

**16 – 804, 3** Εἰ – προσφερομένων] Ibid., II, 21, 49–68 (p. 143 = Extrait 3, 30–50 [p. CXXIX–CXXX])

**3** ὑπάρχῃ] *scripsimus (ed.),* ὑπάρχει C  τίμια. Καὶ] *non est interpunctio post* τίμια *in* C  **8** καὶ ἄστρωτοι] C$^{p.\,c.\,mg.}$, καὶ ἄτρωτοι C$^{a.\,c.}$  **9** λυγροῖς] λυπροῖς *ed.*  **14** δὲ] *delevimus (cf. ed.)*  **17** ἑκάτερον] *correximus (ed.),* ἕτερον C  **19** μὴν] *correximus (ed.),* μὲν C  **25** ἐπίσης] *correximus (ed.),* ἐφ’ ἴσης C  μόνον, τῆς] *non est interpunctio post* μόνον *in* C  **30** τεχνίτῃ γε] *correximus (ed.),* τεχνήτηγε C  ἁρμόττων C

προϊὼν κακιζέτω καὶ τὸ ποικίλον τῶν χρωμάτων καὶ τῶν ἐδεσμάτων καὶ πομάτων τὸ διάφορον, ἅπερ ἀναλαμβάνει γε θαυμασίως τὰς αἰσθήσεις τῶν προσφερομένων.

## I 1274 / C cap. I 2, 7

Φίλωνος, ἐκ τοῦ β′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Οὔτε πλοῦτον ἀσπάζεται τὸ θεῖον, οὔτε πενίαν ἀποστρέφεται.

## I 1275 / C cap. I 2, 8

Τοῦ ἁγίου Ἐφραίμ, ἐκ τοῦ εἰς τὸν Κάϊν·

Οὐκ ἔστιν παρὰ θεῷ δοῦλος καὶ ἐλεύθερος, ἰδιώτης καὶ βασιλεύς· πᾶσιν ἐδόθη ἡ ἐντολὴ καὶ ἡ ἐξέτασις· πᾶσιν ἐπαγγέλλεται τὴν βασιλείαν ἐπὶ τοῦ μέλλοντος.

---

**6 I 1274** PHILO IUDAEUS, *Quaestiones in Exodum*, II. 99 (ed. Petit, p. 276) **9 – 11 I 1275** EPHRAEM, *In Cain*, locus non repertus

---

**5 – 6 I 1274** C (208r[9–10]11–12); R cap. I 5, 6; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **8 – 11 I 1275** C (208r[12]13–16); R cap. I 5, 7; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1274** ἐκ – ζητημάτων] *om.* R

---

**3** τὰς] *correximus (ed.)*, ταῖς C

# Στοιχεῖον Κ

**Τίτλος αʹ Περὶ κρίματος καὶ δικαιοσύνης θεοῦ, καὶ ὅτι τὰ πρὸς ἀξίαν ἑκάστῳ ἀπονέμει ὁ θεός, καὶ *προσωποληψία οὐκ ἔστιν παρ' αὐτῷ*.**

**ιαʹ Περὶ κρίματος καὶ δικαιοσύνης θεοῦ, καὶ ὅτι τὰ πρὸς ἀξίαν ἑκάστῳ νέμει ὁ θεός, καὶ πρόσωπον ἀνθρώπου οὐ λαμβάνει.**

**ιʹ Περὶ κρίματος καὶ δικαιοσύνης θεοῦ, καὶ ὅτι πρὸς ἀξίαν ἑκάστῳ νέμει ὁ θεός, καὶ πρόσωπον οὐ λαμβάνει.**

## I 1276 / C cap. K 1, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Κύριος ὁ θεὸς ὑμῶν, οὗτος θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων, ὁ θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρα.

---

**2 – 4** Περὶ – αὐτῷ] cf. I / $C^{pin}$ Παραπομπαὶ Α 4 et Δ 3 (SJD VIII/1) **3 – 4** Rom. 2, 11

---

**11 – 13 I 1276** Deut. 10, 17 (Wahl, *Deuteronomium-Text*, p. 125)

---

**1 Stoicheion** $C^{txt}$ (208r17) $C^{pin}$ **2 – 4 Titlos (a)** C (208r17–20) $A^{II\ pin}$ R; *deest in* $H^{II}A^{II\ txt}$ **5 – 6 Titlos (b)** V; PG 96, 84, 24–26 **7 – 8 Titlos (c)** $PML^{b\ pin}$; *deest in* $L^{b\ txt}$ **10 – 13 I 1276** C (208r[21]21–24); $V^{E}$ cap. K 11, 1; $V^{W}$ cap. K 11, 1; $V^{O}$ cap. K 11, 1; $V^{Ph}$ cap. K 11, 1; P cap. K 10, 1; M cap. K 10, 1; R cap. K 24, 1; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 84, 27–30

---

**1 Stoicheion** K] *scripsimus*, κάππα C **2 – 4 Titlos (a)** **2** Τίτλος] *om.* $A^{II\ pin}$ $R^{pin}$ αʹ] κδʹ R, *propt. mg. resect. non liquet in* $A^{II\ pin}$ *(*αʹ *secund. ser.)* θεοῦ] *add.* ἐν κρίσει δικαία $C^{pin}$ **3** ὁ θεός] *om.* $C^{pin}$ **3 – 4** προσωποληψία – αὐτῷ] πρόσωπον οὐ λαμβάνει R **5 – 6 Titlos (b)** **5** ιαʹ] *praem.* τίτλος $V^{W\ txt}$ **6** ὁ θεός] *om.* $V^{E\ txt}$ $V^{O\ txt}V^{Ph\ txt}$ **7 – 8 Titlos (c)** **7** κριματων $M^{pin\ p.\ c.}$ $M^{txt}$ **7 – 8** καὶ[1] – λαμβάνει] *om.* $M^{pin}$ *(add.* δικαιοσύνης θεοῦ *man. rec.)* **7** καὶ[1]] *om.* $M^{txt}$ **7 – 8** καὶ[2] – λαμβάνει] *om.* $M^{txt}$

---

**I 1276** (a) C P Ἀπὸ] *om.* P (b) Δευτερονομίου M R (c) Λευϊτικοῦ V λευητ $V^{W}$

---

**11** ἡμῶν $V^{W\ e\ corr.}$ PM R κυρίων] κυρίων ἐστὶν R **12** ἰσχυρὸς] *praem.* ὁ $V^{E}V^{O}V^{Ph}$ φοβερός] *praem.* ὁ *(*ο P*)* V P θαυμάσει *(*-μα- M*)* V PM R **13** οὐδ' οὐ] οὐδὲ V P R λάβοι $V^{O}$, λάβει M δῶρον *(*-ώ- $V^{E}$*)* V M, δωρων P

## I 1277 / C cap. K 1, 2

Τοῦ αὐτοῦ·

Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ,
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις.
Θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ·
δίκαιος καὶ ὅσιος ὁ κύριος.

## I 1278 / C cap. K 1, 3

Τοῦ αὐτοῦ·

Ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἐκδικήσω·
καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς,
καὶ τοῖς μισοῦσίν με ἀνταποδώσω.

---

**3 – 6 I 1277** Deut. 32, $4^{1-4}$ (Wahl, *Deuteronomium-Text*, p. 149–150) **9 – 11 I 1278** Deut. 32, $41^{2-4}$ (Wahl, *Deuteronomium-Text*, p. 152)

---

**2 – 6 I 1277** C (208r[25]25–27); $V^{E}$ cap. K 11, 2; $V^{W}$ cap. K 11, 2; $V^{O}$ cap. K 11, 2; $V^{Ph}$ cap. K 11, 2; P cap. K 10, 2; M cap. K 10, 2; R cap. K 24, 2; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 84, 31–33 **8 – 11 I 1278** C (208r[27]28–30); $V^{E}$ cap. K 11, 3; $V^{W}$ cap. K 11, 3; $V^{O}$ cap. K 11, 3; $V^{Ph}$ cap. K 11, 3; P cap. K 10, 3; M cap. K 10, 3; R cap. K 24, 3; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 84, 33–35

---

**I 1277** (a) C PM (b) Δευτερονομίου $V^{E}V^{O}V^{Ph}$ (c) *s. a.* $V^{W}$ R **I 1278** (a) C P (b) Δευτερονομίου $V^{W}$ (c) Βασιλειῶν α′ M *(vide infra,* I 1279 / C cap. K 1, 4 *[lemma a])* (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ (e) *s. d.* R

---

**3** Θεός] κύριος *(rubricatoris vitio)* R **4** κρίσεις C R **5 – 6** Θεὸς – κύριος] καὶ τα λ<οιπα> P, *om.* $V^{W}$ M R **6** δίκαιος – κύριος] *om.* $V^{E}V^{O}V^{Ph}$ **9** Ἀνθέξεται – ἐκδικήσω] *om.* R **10 – 11** δίκην – ἀνταποδώσω] καὶ τὰ ἑξῆς $V^{W}$, *om.* PM **11** μισοῦσίν – ἀνταποδώσω] μισοῦσιν $V^{E}V^{O}V^{Ph}$

## I 1279 / C cap. K 1, 4

Βασιλειῶν α′·

Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν,
αὐτὸς κρίνει ἄκρα γῆς, δίκαιος ὤν.

Αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

## I 1280 / C cap. K 1, 5

Τοῦ Ἰώβ·

Μὴ ὁ κύριος ἀδικήσει κρίνων,
ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;

## <I suppl. 400 / V cap. K 11, 6>

## I 1281 / C cap. K 1, 6

Καὶ πάλιν·

Οἴῃ δὲ τὸν κύριον ἄτοπα ποιήσειν;

---

**10 I suppl. 400** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1279 *Versio* V PM** I Reg. 2, 10$^{9-10}$ (Wahl, *1 Samuel-Text*, p. 44–45) **5 I 1279 *Versio* C R** I Reg. 2, 10$^{10}$ (Wahl, *1 Samuel-Text*, p. 45) **8 – 9 I 1280** Iob 8, 3$^{1-2}$ **13 – 808, 2 I 1281** Iob 34, 12$^{1}$–13$^{1}$

---

**2 – 5 I 1279** C ([208r30]208v1); V$^{E}$ cap. K 11, 4; V$^{W}$ cap. K 11, 4; V$^{O}$ cap. K 11, 4; V$^{Ph}$ cap. K 11, 4; P cap. K 10, 4; M cap. K 10, 4; R cap. K 24, 4; *deest in* H$^{II}$ L$^{b}$; PG 96, 84, 36–37 **7 – 9 I 1280** C (208v[1]2–3); V$^{E}$ cap. K 11, 5; V$^{W}$ cap. K 11, 5; V$^{O}$ cap. K 11, 5; V$^{Ph}$ cap. K 11, 5; P cap. K 10, 5; M cap. K 10, 5; R cap. K 24, 5; *deest in* H$^{II}$ L$^{b}$; PG 96, 84, 38–39 **12 – 808, 2 I 1281** C (208v[3]3–5); *deest in* H$^{II}$ V PML$^{b}$ R

---

**I 1279** (a) C V P α′] πρώτης P (b) Ἐκ τῆς γ′ ᾠδῆς M *(Od. 3, 10$^{9-10}$)* (c) *s. a.* R **I 1280** Τοῦ] *om.* V PM R ἰωβ V$^{Ph}$, ϊώβ PM **I 1281** Καὶ πάλιν] *non ut lemma in* C

---

**4** κρινει P ἄκραν V$^{O}$V$^{Ph}$ δίκαιος ὤν] δικαιως P **9** ἢ] *om.* P σύμπαντα R **13** οἴει C$^{p.\ c.\ man.\ rec.}$

Ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν,
ὃς ἐποίησεν τὴν γῆν;

## <I suppl. 401 / V cap. K 11, 7>

## I 1282 / C cap. K 1, 7

Δαυῒδ ἐν ψαλμῷ ι′·

Δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν,
εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

## <I suppl. 402 / V cap. K 11, 9>

## I 1283 / C cap. K 1, 8

Ἐν ψαλμῷ λβ′·

Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος.

---

**3 I suppl. 401** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **8 I suppl. 402** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**6–7 I 1282** Ps. 10, $7^{1-2}$ **11 I 1283** Ps. 32, $5^{1}$

---

**5–7 I 1282** C (208v[6]6–7); $V^{E}$ cap. K 11, 8; $V^{W}$ cap. K 11, 8; $V^{O}$ cap. K 11, 8; $V^{Ph}$ cap. K 11, 8; P cap. K 10, 8; M cap. K 10, 8; R cap. K 24, 6; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 84, 43–44 **10–11 I 1283** C (208v[8]8–9); $V^{E}$ cap. K 11, 10; $V^{O}$ cap. K 11, 10; $V^{Ph}$ cap. K 11, 10; P cap. K 10, 10; M cap. K 10, 10; R cap. K 24, 7; *deest in* $H^{II}$ $V^{W}$ $L^{b}$; PG 96, 84, 47

---

**I 1282** (a) C (b) Ψαλμοῦ ι′ PM R ψαλμος M (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$
**I 1283** (a) C (b) Ψαλμοῦ λβ′ PM R ψαλμος M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**6** Δίκαιος] *praem.* ὅτι M *(LXX)* **7** εἶδε – αὐτοῦ] *om.* $V^{E}V^{O}V^{Ph}$ ἴδεν C, ϊδεν P, ἴδὲν *(sic)* M τὸ – αὐτοῦ] *in mg.* $V^{W}$, *om.* P

## I 1284 / C cap. K 1, 9

Ἐν ψαλμῷ μζʹ·

Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

## I 1285 / C cap. K 1, 10

Ἐν ψαλμῷ πηʹ·

Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου.

## I 1286 / C cap. K 1, 11

Ἐν ψαλμῷ ϙαʹ·

Εὐθὴς κύριος ὁ θεὸς ἡμῶν,
καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

## <I suppl. 403 / PML$^{b}$ cap. K 10, 14>

**11 I suppl. 403** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3 I 1284** Ps. 47, $11^{3}$ **6 I 1285** Ps. 88, $15^{1}$ **9 – 10 I 1286** Ps. 91, $16^{1-2}$

**2 – 3 I 1284** C (208v[9]9–10); $V^{E}$ cap. K 11, 11; $V^{O}$ cap. K 11, 11; $V^{Ph}$ cap. K 11, 11; P cap. K 10, 11; M cap. K 10, 11; R cap. K 24, 8; *deest in* $H^{II}$ $V^{W}$ $L^{b}$; PG 96, 85, 1 **5 – 6 I 1285** C (208v[10]10–11); $V^{E}$ cap. K 11, 12; $V^{O}$ cap. K 11, 12; $V^{Ph}$ cap. K 11, 12; P cap. K 10, 12; R cap. K 24, 9; *deest in* $H^{II}$ $V^{W}$ $ML^{b}$; PG 96, 85, 2–3 **8 – 10 I 1286** C (208v[11]11–12); P cap. K 10, 13; R cap. K 24, 10; *deest in* $H^{II}$ V $ML^{b}$

**I 1284** (a) C (b) Ψαλμοῦ μζʹ PM ψαλμος M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ R **I 1285** (a) C (b) Ψαλμοῦ πηʹ P R πηʹ] *om.* R (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1286** (a) C (b) Ψαλμοῦ ϙαʹ P R ϙαʹ] *om.* R

**6** κρῖμα C R, κρϊμα $V^{O}$, κριμα P **9** ἡμῶν] *om.* P

## I 1287 / C cap. K 1, 12

Ἐν ψαλμῷ ϙς′·

Δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.

## I 1288 / C cap. K 1, 13

Ἐν ψαλμῷ ϙη′·

Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας.

## <I suppl. 404 / V cap. K 11, 14>

## I 1289 / C cap. K 1, 14

Τῶν Παροιμιῶν·

Πάντα τὰ ἔργα κυρίου μετὰ δικαιοσύνης.

---

**7 I suppl. 404** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 I 1287** Ps. 96, $2^{2}$ **6 I 1288** Ps. 98, $4^{3}$ **10 I 1289** Prov. 16, $9^{1}$ (Wahl, *Proverbien-Text*, p. 81)

---

**2–3 I 1287** C (208v[13]13–14); P cap. K 10, 15; M cap. K 10, 12; R cap. K 24, 11; *deest in* $H^{II}$ V $L^{b}$ **5–6 I 1288** C (208v[14]14–15); $V^{E}$ cap. K 11, 13; $V^{O}$ cap. K 11, 13; $V^{Ph}$ cap. K 11, 13; P cap. K 10, 16; M cap. K 10, 13; *deest in* $H^{II}$ $V^{W}$ $L^{b}$ R; PG 96, 85, 4 **9–10 I 1289** C (208v[16]16–17); $V^{E}$ cap. K 11, 15; $V^{W}$ cap. K 11, 11; $V^{O}$ cap. K 11, 15; $V^{Ph}$ cap. K 11, 15; P cap. K 10, 18; M cap. K 10, 15; R cap. K 24, 12; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 6

---

**I 1287** (a) C (b) Ψαλμοῦ ϙς′ P (c) Ψαλμὸς πη′ M (d) *s. a.* R **I 1288** (a) C (b) Ψαλμοῦ ϙη′ PM ψαλμος M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1289** Τῶν] *om.* V P R

---

**3** κρῖμα C R **6** κρῖμα C ιακὼβ P, ϊακὼβ M

## I 1290 / C cap. K 1, 15

Τῶν αὐτῶν·

Ῥοπὴ ζυγοῦ δικαιοσύνη παρὰ κυρίου,
τὰ δὲ ἔργα αὐτοῦ στάθμια δίκαια.

## I 1291 / C cap. K 1, 16

Τῶν αὐτῶν·

Πολλοὶ θεραπεύουσιν πρόσωπα ἡγουμένων,
παρὰ δὲ κυρίου γίνεται τὸ δίκαιον.

## I 1292 / C cap. K 1, 17

Τῶν αὐτῶν·

Ὁ πλάσας πνοὴν πᾶσαν αὐτὸς οἶδεν πάντα,
καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

## <I suppl. 405 / V cap. K 11, 19>

---

**13 I suppl. 405** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1290** Prov. 16, $11^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 81) **7 – 8 I 1291** Prov. 29, $26^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 143) **11 – 12 I 1292** Prov. 24, $12^{3-4}$ (Wahl, *Proverbien-Text*, p. 113)

---

**2 – 4 I 1290** C (208v[17]17–19); $V^{E}$ cap. K 11, 16; $V^{W}$ cap. K 11, 12; $V^{O}$ cap. K 11, 16; $V^{Ph}$ cap. K 11, 16; P cap. K 10, 19; M cap. K 10, 16; R cap. K 24, 13; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 6–8 **6 – 8 I 1291** C (208v[19]19–20); $V^{E}$ cap. K 11, 17; $V^{W}$ cap. K 11, 13; $V^{O}$ cap. K 11, 17; $V^{Ph}$ cap. K 11, 17; P cap. K 10, 20; M cap. K 10, 17; R cap. K 24, 14; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 9–10 **10 – 12 I 1292** C (208v[21]21–23); $V^{E}$ cap. K 11, 18; $V^{W}$ cap. K 11, 14; $V^{O}$ cap. K 11, 18; $V^{Ph}$ cap. K 11, 18; P cap. K 10, 21; M cap. K 10, 18; R cap. K 24, 15; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 11–12

---

**I 1290** (a) C PM (b) *s. a.* V (c) *s. d.* R **I 1291** (a) C $V^{W}$ M (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P (c) *s. d.* R **I 1292** (a) C $V^{W}$ PM (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ (c) *s. d.* R

---

**3** δικαιοσύνης R **4** αὐτοῦ] κυρίου M **8** κυρίου δὲ P

## I 1293 / C cap. K 1, 18

Τῶν αὐτῶν·

Παρὰ κυρίου πάντα δίκαια.

## I 1294 / C cap. K 1, 19

Ναοὺμ προφήτου·

Τί λογίζεσθε ἐπὶ κύριον; Συντέλειαν αὐτὸς ποιήσεται, καὶ οὐκ ἐκδικήσει δὶς ἐπιτοαυτὸ ἐν θλίψει.

## I 1295 / C cap. K 1, 20

Ἡσαΐου προφήτου·

Ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν.

## <I suppl. 406–407 / V cap. K 11, 23–24>

---

**11 I suppl. 406–407** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 I 1293** Prov. 16, $33^{2}$ (Wahl, *Proverbien-Text*, p. 85) **6–7 I 1294** Nah. 1, 9 (Wahl, *Prophetenzitate*, p. 229) **10 I 1295** Is. 35, 4 (Wahl, *Prophetenzitate*, p. 377–378)

---

**2–3 I 1293** C (208v[23]23); $V^{E}$ cap. K 11, 20; $V^{W}$ cap. K 11, 16; $V^{O}$ cap. K 11, 20; $V^{Ph}$ cap. K 11, 20; P cap. K 10, 23; M cap. K 10, 20; *deest in* $H^{II}$ $L^{b}$ R; PG 96, 85, 14–15 **5–7 I 1294** C (208v[24]24–26); R cap. K 24, 16; *deest in* $H^{II}$ V $PML^{b}$ **9–10 I 1295** C (208v[26]27–28); $V^{E}$ cap. K 11, 21; $V^{W}$ cap. K 11, 17; $V^{O}$ cap. K 11, 21; $V^{Ph}$ cap. K 11, 21; P cap. K 10, 24; M cap. K 10, 21; R cap. K 24, 17; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 16–17

---

**I 1293** (a) C M (b) *s. a.* V P **I 1294** προφήτου] *om.* R **I 1295** ησαϊου P προφήτου] *om.* V PM R

---

**3** δίκαια] *praem.* τὰ M **6–7** ἐκδικήσεται R **10** ἰσχύσασθε $V^{Ph\ a.\ c.}$ φοβεῖσθαι PM

## I 1296 / C cap. K 1, 21

Τοῦ αὐτοῦ·

Ὑψωθήσεται κύριος Σαβαὼθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ.

## I 1297 / C cap. K 1, 22

Τοῦ αὐτοῦ·

Ἐγώ εἰμι ὁ θεὸς ὁ ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἅρπαγμα ἐξ ἀδικίας.

## I 1298 / C cap. K 1, 23

Τοῦ αὐτοῦ·

Ἐγὼ κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν.

---

**3 – 4 I 1296** Is. 5, 16 (Wahl, *Prophetenzitate*, p. 305) **7 – 8 I 1297** Is. 61, 8 (Wahl, *Prophetenzitate*, p. 460) **11 I 1298** Is. 45, 19 (Wahl, *Prophetenzitate*, p. 407)

---

**2 – 4 I 1296** C (208v[28]28–30); $V^{E}$ cap. K 11, 22; $V^{W}$ cap. K 11, 18; $V^{O}$ cap. K 11, 22; $V^{Ph}$ cap. K 11, 22; P cap. K 10, 25; M cap. K 10, 22; R cap. K 24, 18; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 18–19 **6 – 8 I 1297** C (208v[30]30–209r2); $V^{E}$ cap. K 11, 25; $V^{W}$ cap. K 11, 21; $V^{O}$ cap. K 11, 25; $V^{Ph}$ cap. K 11, 25; P cap. K 10, 28; M cap. K 10, 25; R cap. K 24, 20; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 31 **10 – 11 I 1298** C (209r[2]2–3); $V^{E}$ cap. K 11, 26; $V^{W}$ cap. K 11, 22; $V^{O}$ cap. K 11, 26; $V^{Ph}$ cap. K 11, 26; P cap. K 10, 29; R cap. K 24, 21; *deest in* $H^{II}$ M$L^{b}$; PG 96, 85, 31–32

---

**I 1296** (a) C $V^{W}$ P (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ M (c) *s. d.* R **I 1297** (a) C (b) Ἡσαΐου P ησαΐου *cod.* (c) Τοῦ αὐτοῦ· Ἡσαΐου M (d) Δανιήλ $V^{E}$ (e) *s. a.* $V^{W}V^{O}V^{Ph}$ (f) *s. d.* R **I 1298** (a) C P R (b) *s. a.* $V^{W}$ (c) *s. d.* $V^{E}V^{O}V^{Ph}$

---

**3** σαβαωθ P **7** ἐγὼ εἰμὶ M R, ἐγω ειμι P **7 – 8** ὁ$^{1}$ – ἀδικίας] *om.* $V^{E}V^{O}V^{Ph}$ *(ubi sequitur pars* I 1298 / C cap. K 1, 23*)* **7 – 8** ἀδικιῶν R **11** Ἐγὼ] ἐγώ *(*-ω P*)* εἰμι $V^{W}$ P, *om.* $V^{E}V^{O}V^{Ph}$ *(cf. supra*, I 1297 / C cap. K 1, 22*)* ἀναγγέλων $V^{O}V^{Ph\ a.\ c.}$ R, ἀγαπῶν *(*-ων P*)* $V^{W\ e\ corr.}$ P

## I 1299 / C cap. K 1, 24

Τοῦ αὐτοῦ·

Ἐγώ εἰμι κύριος ποιῶν κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου.

## I 1300 / C cap. K 1, 25

Τοῦ αὐτοῦ·

Ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς, καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως καὶ τὸ περιβόλαιον ζήλου, ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναντίοις αὐτοῦ.

## I 1301 / C cap. K 1, 26

Ἱερεμίου προφήτου·

Οἱ ὀφθαλμοί σου ἠνεωγμένοι εἰς πάσας τὰς ὁδοὺς τῶν ἀνθρώπων, δοῦναι ἑκάστῳ κατὰ τὴν ὁδὸν αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ.

---

**3 – 4 I 1299** Is., re vera Ier. 9, 24 (Wahl, *Prophetenzitate*, p. 519) **7 – 10 I 1300** Is. 59, 17–18 (Wahl, *Prophetenzitate*, p. 458–459) **13 – 15 I 1301** Ier. 39, 19 (Wahl, *Prophetenzitate*, p. 568)

---

**2 – 4 I 1299** C (209r[3]3–5); R cap. K 24, 22; *deest in* $H^{II}$ V $PML^{b}$ **6 – 10 I 1300** C (209r[5]5–9); R cap. K 24, 23; *deest in* $H^{II}$ V $PML^{b}$ **12 – 15 I 1301** C (209r[10]10–13); R cap. K 24, 24; *deest in* $H^{II}$ V $PML^{b}$

---

**I 1299** (a) C (b) *s. d.* R **I 1301** προφήτου] *om.* R

---

**3** ἐγὼ εἰμὶ R κρῖμα] *sic acc.* C R **3 – 4** ὅτι – μου] *om.* R **9** τὸ] *om.* R **9 – 10** ὄνειδος] *om.* R **15** αὐτῶν R

## I 1302 / C cap. K 1, 27

Τοῦ αὐτοῦ·

Ἐγὼ κύριος ποιῶν ἔλεος καὶ κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει κύριος.

## I 1303 / C cap. K 1, 28

Δανιὴλ προφήτου·

Πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς,
καὶ κρίματα ἀληθείας ἐποίησας.

## <I suppl. 408 / V cap. K 11, 28>

## I 1304 / C cap. K 1, 29–30

Σοφίας Σολομῶντος·

Δίκαιος ὤν, δικαίως τὰ πάντα διέπεις,
αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι

---

**9 I suppl. 408** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1302** Ier. 9, 24 (Wahl, *Prophetenzitate*, p. 519) **7 – 8 I 1303** Dan. 3, $27^{3}$–$28^{1}$ (Wahl, *Prophetenzitate*, p. 682) **12 – 816, 2 I 1304** Sap. 12, $15^{1}$–$16^{1}$

---

**2 – 4 I 1302** C (209r[13]13–15); R cap. K 24, 25; *deest in* $H^{II}$ V PM$L^{b}$ **6 – 8 I 1303** C (209r[15]16–17); $V^{E}$ cap. K 11, 27; $V^{W}$ cap. K 11, 23; $V^{O}$ cap. K 11, 27; $V^{Ph}$ cap. K 11, 27; P cap. K 10, 30; M cap. K 10, 26; R cap. K 24, 26; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 33–34 **11 – 816, 2 I 1304** C (209r[17]17–21); $V^{E}$ cap. K 11, 29; $V^{W}$ cap. K 11, 25; $V^{O}$ cap. K 11, 29; $V^{Ph}$ cap. K 11, 29; P cap. K 10, 32; M cap. K 10, 28; E cap. 159, 89; R cap. K 24, 27; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 36–37

---

**I 1302** (a) C (b) *s. d.* R **I 1303** (a) C (b) Δανιὴλ $V^{W}$ PM R δανιηλ $V^{W}$ (c) *s. a.* $V^{E}V^{Ph}$ (d) *s. d.* $V^{O}$ **I 1304** (a) E R (b) Τοῦ αὐτοῦ $V^{W}$ M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P (d) Σοφίας Σολομῶντος / Τῆς αὐτῆς C *(cf. infra, app. crit. txt.)*

---

**3** κρῖμα] *sic acc.* C R **7** ἀληθεῖς] ἀλήθεια $V^{E}V^{W\,a.\,c.}V^{O}V^{Ph}$, ἀληθιναὶ, καὶ εὐθεῖαι αἱ ὁδοί σου *(= Dan. 3, $27^{2}$)* R **12** διέπεις] διέπης M, ἐπεις P, *hic caesura in* C **13 – 816, 2** αὐτὸν – ἀρχή] *om.* V PM E **13 – 816, 1** αὐτὸν – δυνάμεως] *om.* R

ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως·
ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή.

## I 1305 / C cap. K 1, 31

Τῆς αὐτῆς·

Μεγάλαι σου αἱ κρίσεις καὶ δυσδιήγητοι·
τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν παρεκάλεσας,
ἐκείνους δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτησας.

## I 1306 / C cap. K 1, 32

Τῆς αὐτῆς·

Τοῖς κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα.

## I 1307 / C cap. K 1, 33

Τῆς αὐτῆς·

Εἷλκεν γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη,
ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προσαναπληρώσουσιν κόλασιν.

---

**5 I 1305** Μεγάλαι – δυσδιήγητοι] Sap. 17, $1^{1}$ **6 – 7** τούτους – ἐξήτησας] Ibid. 11, $10^{1-2}$ **10 I 1306** Sap. 6, 8 **13 I 1307** Εἷλκεν – ἀνάγκη] Sap. 19, $4^{1}$ **14** ἵνα – κόλασιν] Ibid. 19, $4^{3}$

---

**4 – 7 I 1305** C (209r[21]21–22); $V^{E}$ cap. K 11, 30–31; $V^{W}$ cap. K 11, 26; $V^{O}$ cap. K 11, 30; $V^{Ph}$ cap. K 11, 30–31; P cap. K 10, 33; M cap. K 10, 29; R cap. K 24, 28; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 38–41 **9 – 10 I 1306** C (209r[22]22–23); $V^{E}$ cap. K 11, 32; $V^{W}$ cap. K 11, 27; $V^{Ph}$ cap. K 11, 32; P cap. K 10, 35; M cap. K 10, 30; E cap. 159, 90; *deest in* $H^{II}$ $V^{O}$ $L^{b}$ R **12 – 14 I 1307** C (209r[23]24–26); *deest in* $H^{II}$ V PM$L^{b}$ R

---

**I 1305** (a) C (b) Τοῦ αὐτοῦ $V^{W}$ M (c) *s. a.* $V^{O}$ P (d) *s. d.* R (e) *s. a.* / *s. a.* $V^{E}V^{Ph}$ *(cf. infra, app. crit. txt.)* **I 1306** (a) C (b) Πρὸς Ἑβραίους $V^{E}V^{Ph}$ P ἐβρεους $V^{E}$, εβραιους P (c) Τοῦ Ἀποστόλου $V^{W}$ (d) *s. a.* E (e) *s. d.* M

---

**5** δυσδιήγητοι] δυσδιήγηται $V^{E}V^{O}V^{Ph}$, *hic caesura in* $V^{E}V^{Ph}$ **6 – 7** τούτους – ἐξήτησας] *om.* C **6** νουθετῶν] *om.* V **7** ἐζήτησας $V^{O}V^{Ph}$ R **14** προσαναπληρώσωσιν *LXX*

## I 1308 / C cap. K 1, 34

Τοῦ Σιράχ·

Κύριος κριτής ἐστιν,
καὶ οὐκ ἔστιν παρ᾽ αὐτῷ δόξα ἀνθρώπου·
οὐ λήψεται πρόσωπον ἐπὶ πτωχῷ.

## I 1309 / C cap. K 1, 35

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων;

## I 1310 / C cap. K 1, 36

Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς·

Πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει.

---

**3 – 5 I 1308** Sir. 32, $15^{2}$–$16^{1}$ (Wahl, *Sirach-Text*, p. 136) **8 I 1309** Rom. 8, 33–34 **11 I 1310** Gal. 2, 6

---

**2 – 5 I 1308** C (209r[26]27–28); $V^{E}$ cap. K 11, 33; $V^{W}$ cap. K 11, 28; $V^{O}$ cap. K 11, 31; $V^{Ph}$ cap. K 11, 33; P cap. K 10, 34; M cap. K 10, 42; R cap. K 24, 29; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 42–43 **7 – 8 I 1309** C (209r[29]29–30); $V^{E}$ cap. K 11, 37; $V^{W}$ cap. K 11, 32; $V^{O}$ cap. K 11, 35; $V^{Ph}$ cap. K 11, 37; P cap. K 10, 39; M cap. K 10, 33; E cap. 159, 93; R cap. K 24, 30; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 47 **10 – 11 I 1310** C ([209r30] 209v1); $V^{E}$ cap. K 11, 35; $V^{W}$ cap. K 11, 30; $V^{O}$ cap. K 11, 33; $V^{Ph}$ cap. K 11, 35; P cap. K 10, 37; E cap. 159, 92; R cap. K 24, 31; *deest in* $H^{II}$ $ML^{b}$; PG 96, 85, 45

---

**I 1308** (a) C M (b) Σιράχ $V^{W}$ R (c) Τοῦ αὐτοῦ P (d) Πρὸς Ἑβραίους $V^{O}$ (e) *s. a.* $V^{E}V^{Ph}$ **I 1309** (a) C (b) Πρὸς Ῥωμαίους PM R ρωμαίους P (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E **I 1310** (a) C (b) Πρὸς Γαλάτας P R (c) Πρὸς Ἐφεσίους $V^{E}V^{O}V^{Ph}$ *(vide infra,* I 1311 / C cap. K 1, 37 *[lemma c])* (d) Τοῦ Ἀποστόλου $V^{W}$ (e) *s. a.* E

---

**3** κριτής ἐστὶν M, κριτης ἐστιν P **4** ἀνθρώπου] προσώπου *LXX* **5** ἐπὶ πτωχῷ] *om.* V PM πτωχόν C, πτωχοῦ *LXX (sed cf. app. crit.)* **8** Θεὸς] κύριος R **11** θεὸς] *praem.* ὁ $V^{E}V^{O}V^{Ph}$ E ἀνθρώπου] ἄνθρωπον $V^{O}$, *om.* E

## I 1311 / C cap. K 1, 37

Ἐκ τῆς πρὸς Ἐφεσίους·

Προσωποληψία οὐκ ἔστιν παρ᾿ αὐτῷ.

## I 1312 / C cap. K 1, 38

Ἐκ τῆς πρὸς Ἑβραίους·

Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος.

## I 1313 / C cap. K 1, 39

Σχόλιον·

Ἐπίσκεψαι βιβλίῳ β′, εἰς τὸ Ε στοιχεῖον, τὸν Περὶ ἔργων καὶ πράξεων τίτλον, καὶ ἐνταῦθα ἐν τῷ Δέλτα στοιχείῳ, τίτλῳ ε′, Μαλαχίου προφήτου.

---

**9 – 10** Περὶ – πράξεων] cf. $II^{1}$768–795 / K cap. E 1, 1–28 (SJD VIII/4), ubi autem Malachiae locus non exstat **10 – 11** ἐν – προφήτου] cf. supra, I 881–898 / C cap. Δ 5, 1–18 (SJD VIII/1), ubi autem Malachiae locus non exstat; cf. etiam infra, I 1346 / C cap. K 2, 22

---

**3 I 1311** Eph. 6, 9 **6 I 1312** Hebr. 10, 31 **9 – 11 I 1313** *Scholion*

---

**2 – 3 I 1311** C (209v[1]2); $V^{E}$ cap. K 11, 36; $V^{W}$ cap. K 11, 31; $V^{O}$ cap. K 11, 34; $V^{Ph}$ cap. K 11, 36; P cap. K 10, 38; M cap. K 10, 32; E cap. 159, 92; R cap. K 24, 32; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 46 **5 – 6 I 1312** C (209v[2]3); $V^{E}$ cap. K 11, 34; $V^{W}$ cap. K 11, 29; $V^{O}$ cap. K 11, 32; $V^{Ph}$ cap. K 11, 34; P cap. K 10, 36; M cap. K 10, 31; E cap. 159, 91; R cap. K 24, 33; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 85, 44 **8 – 11 I 1313** C (209v[4]4–6); *deest in* $H^{II}$ V PM$L^{b}$ R

---

**I 1311** (a) C P Ἐκ τῆς] *om.* P ἐφεσιους C, εφεσίους P (b) Τοῦ Ἀποστόλου $V^{W}$ (c) *s. a. (cf. supra,* I 1310 / C cap. K 1, 36 *[lemma c])* $V^{E}V^{O}V^{Ph}$ R (d) *s. d.* M E
**I 1312** (a) C M R Ἐκ τῆς] *om.* M R ἑβραίους M (b) Ἀποστόλου $V^{W}$ E (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P

---

**3** προσωπολειψία $V^{E}V^{O}$ **9** E] *scripsimus*, EI C

## I 1314 / C cap. K 1, 40

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ κατὰ αἱρέσεων δʹ βιβλίου·

Εἷς καὶ ὁ αὐτὸς πατήρ, ὁ τοῖς μὲν γλιχομένοις αὐτοῦ τῆς κοινωνίας καὶ προσμένουσιν αὐτοῦ τῇ ὑποταγῇ τὰ παρ᾽ αὐτῷ ἡτοιμακὼς ἀγαθά, τῷ δὲ ἀρχηγῷ τῆς ἀποστασίας διαβόλῳ καὶ τοῖς συναποστᾶσιν αὐτῷ, τὸ αἰώνιον πῦρ ἡτοιμακώς, εἰς ὃ πεμφθήσεσθαι ἔφη ὁ κύριος τοὺς εἰς τὰ ἀριστ<ερ>ὰ διακριθέντας. Καὶ τοῦτό ἐστιν τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου· *Ἐγὼ θεὸς ζηλωτής, ποιῶν εἰρήνην καὶ κτίζων κακά*, ἐπὶ μὲν τοὺς μετανοοῦντας καὶ ἐπιστρέφοντας πρὸς αὐτὸν ποιῶν εἰρήνην καὶ φιλίαν καὶ ἕνωσιν συντιθέμενος, ἐπὶ δὲ τοὺς μὴ μετανοοῦντας καὶ φεύγοντας αὐτοῦ τὸ φῶς πῦρ αἰώνιον καὶ ἐξώτερον σκότος ἡτοιμακώς, ἅτινά ἐστιν κακὰ τοῖς ἐμπεσοῦσιν εἰς αὐτά.

## I 1315 / C cap. K 1, 41

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν ριδʹ ψαλμόν·

Οὔτε τὸ ἔλεος τοῦ θεοῦ ἄκριτον, οὔτε ἡ κρίσις ἀνελεήμων, ἀλλὰ

---

**5 – 7** τῷ – διακριθέντας] cf. Matth. 25, 41 **8** Ἐγὼ – ζηλωτής] e. g. Deut. 5, 9 **8 – 9** Is. 45, 7

---

**3 – 13 I 1314** IRENAEUS LUGDUNENSIS, *Adversus haereses*, IV, 40, 1–14 (Fr. gr. 27) (ed. Rousseau/Hemmerdinger/Mercier, p. 974); Holl, n° 158 **16 – 820, 2 I 1315** BASILIUS CAESARIENSIS, *Homilia in Psalmum CXIV*, 3 (PG 29, 489, 9–13)

---

**2 – 13 I 1314** C (209v[7]8–22); *deest in* $H^{II}$ V PM$L^{b}$ R **15 – 820, 2 I 1315** C (209v [22]23–26); $V^{E}$ cap. K 11, 38; $V^{W}$ cap. K 11, 33; $V^{O}$ cap. K 11, 36; $V^{Ph}$ cap. K 11, 38; P cap. K 10, 40; M cap. K 10, 34; E cap. 159, 94; *deest in* $H^{II}$ $L^{b}$ R; PG 96, 85, 48 – 88, 2

---

**I 1315** (a) C PM Τοῦ ἁγίου] *om.* M βασιλειου PM ἐκ τοῦ] *om.* PM ψαλμόν] *om.* P (b) Βασιλείου V E

---

**5 – 6** συναποστᾶσιν] *correximus*, συνάποστάσιν C, qui cum eo abscesserunt angelis *ed. (lat.)* **7** ἀριστερὰ] *scripsimus (ed.)*, ἄριστα C **16** τὸ] ὁ E ἀκρίτως (-κρι- P) $V^{W}$ P, ἄκριτος E ἀνελεήμων] ἀνήλεος C

καὶ ἐλεῶν, κεκριμένως τοῖς ἀξίοις ἐπιμετρεῖ τοὺς οἰκτιρμούς, καὶ κρίνων, ἐστοχασμένως τῆς ἀσθενείας ἡμῶν ἐπάγει τὴν κρίσιν.

## I 1316 / C cap. K 1, 42

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ βαπτίσματος·

Κρίνεται μετὰ τῶν ἐπιτηδευμάτων ἀεὶ τὸ κατορθούμενον, παρὰ τοῦ δικαίου καὶ φιλανθρώπου τῶν ἡμετέρων κριτοῦ· καὶ μικρὸν κατορθώσας πολλάκις ὁ ἐν τῷ μέσῳ, πλέον ἔσχεν τοῦ ἐν ἐλευθερίᾳ μὴ τὸ πᾶν κατορθώσαντος.

## I 1317 / C cap. K 1, 43

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ δʹ λόγου τῶν μακαρισμῶν·

Ἡ δικαία τοῦ θεοῦ κρίσις ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται, καὶ οἷάπερ ἂν τὰ παρʼ ἡμῶν ᾖ, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων ἀντιπαρέχεται. Χρὴ γὰρ πάντως θερίσαι τινὰ ὅπερ ἔσπειρεν, καὶ οὐκ ἔστιν ἄλλως· σπορὰ δέ ἐστιν ἡ ἀνθρωπίνη προαίρεσις, θέρος δέ, ἡ ἐπὶ τῇ προαιρέσει ἀνταπόδοσις.

---

**5 – 8 I 1316** GREGORIUS NAZIANZENUS, *In S. baptisma (Orat. 40)*, 19, 22–26 (ed. Moreschini, p. 240) **11 – 13 I 1317** Ἡ – ἀντιπαρέχεται] GREGORIUS NYSSENUS, *De beatitudinibus*, V (ed. Callahan, p. 130, 13–15) **13 – 14** Χρὴ – ἄλλως] IBID. (p. 131, 7–8) **14 – 15** σπορὰ – ἀνταπόδοσις] IBID. (p. 131, 3–5)

---

**4 – 8 I 1316** C (209v[27]28–210r2); R cap. K 24, 35; *deest in* $H^{II}$ V $PML^{b}$ **10 – 15 I 1317** C (210r[2–3]4–10); $V^{E}$ cap. K 11, 39–40; $V^{W}$ cap. K 11, 34; $V^{O}$ cap. K 11, 37–38; $V^{Ph}$ cap. K 11, 39–40; P cap. K 10, 41; M cap. K 10, 35; R cap. K 24, 34; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 3–8

---

**I 1316** Τοῦ – Γρηγορίου] *om.* R **I 1317** (a) C R νύσσης $C^{p.\ c.\ man.\ rec.}$ R ἐκ – μακαρισμῶν] *om.* R δʹ] *sic* C, εʹ *exspectav.* (b) Τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσης, ἐκ τῶν μακαρισμῶν P (c) Τοῦ Νύσσης εἰς τοὺς μακαρισμούς M νύσης $M^{a.\ c.}$ (d) Νύσης $V^{W}$ (e) Τοῦ Νύσης / *s. a.* $V^{E}V^{O}V^{Ph}$ $ν^{υ}$ *codd. (cf. infra, app. crit. txt.)*

---

**1** ἔλεον $V^{W}$ κεκριμενος P, κεκρϋμένως $V^{O\ a.\ c.}$, καὶ κρυμενως M τοὺς] τοῖς $V^{W\ a.\ c.}$ **2** ἐστοχασμένος $V^{E}$, ἐστωχασμένως P τὴν] *om.* PM **11** διάθεσιν P **12** τὰ] τὰς $V^{O}$ ᾖ] ἦ P, εἶ $V^{O}V^{Ph}$ M, εἶ *(sic)* $V^{E}$ **12 – 13** ἀντιπαρέχεται] ἀντιπαρέχει $V^{E}V^{O}V^{Ph}$, *hic caesura in* $V^{E}V^{O}V^{Ph}$ **13** ἐχρὴ $V^{O}$ ἅπερ C **14** ἄλλος $V^{E}V^{O}V^{Ph}$ δὲ ἐστὶν C, δὲ ἔστϊν $V^{O}$ ἡ²] *om.* P **15** ἀνταπόδ° $V^{E}V^{Ph}$, ἀνταπόδομα $V^{O}$, ἀντίδοσις (-εις M) $V^{W\ e\ corr.}$ PM *(ed.)*

## I 1318 / C cap. K 1, 44

Τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, ἐκ τῆς α′ ἀπολογίας αὐτοῦ·

Ὥσπερ πᾶσι τοῖς γενομένοις σώμασιν ὑπὸ τοῦ θεοῦ συνυπάρχει καὶ τὸ σκιὰν ἔχειν, οὕτως τῷ θεῷ, δικαίῳ ὄντι τοῖς τὰ καλὰ ἑλομένοις καὶ τοῖς τὰ κακὰ προτιμήσασιν, ἀκόλουθόν ἐστιν τὸ κατ᾽ ἀξίαν ἑκάστῳ ἀπονεῖμαι.

## I 1319 / C cap. K 1, 45

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὸν ἐκπεσόντα Θεόδωρον·

Οὐδὲν ὅλως τῶν ἀγαθῶν, κἂν μικρὸν ᾖ, παροφθήσεται παρὰ τοῦ κριτοῦ. Εἰ γὰρ ἁμαρτήματα μετὰ τοσαύτης ἐξετάζεται τῆς ἀκριβείας, ὡς καὶ ῥημάτων καὶ ἐνθυμημάτων τίνειν τιμωρίας ἡμᾶς, πολλῷ μᾶλλον τὰ κατορθώματα, κἂν μεγάλα ᾖ κἂν μικρά, λογισθήσεται.

---

**4 – 7 I 1318** (Ps.-)Iustinus Martyr, *Apologia I*, locus non repertus (Frg. X, ed. Otto, p. 258–260); Holl, n° 113 **11 – 15 I 1319** Iohannes Chrysostomus, *Ad Theodorum lapsum*, I, 8, 80–85 (ed. Dumortier, p. 122)

---

**2 – 7 I 1318** C (210r[10–11]11–15); $V^{E}$ cap. K 11, 41; $V^{W}$ cap. K 11, 35; $V^{O}$ cap. K 11, 39; $V^{Ph}$ cap. K 11, 41; P cap. K 10, 42; M cap. K 10, 36; R cap. K 24, 36; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 9–13 **9 – 15 I 1319** C (210r[16–17]17–22); $V^{E}$ cap. K 11, 42; $V^{W}$ cap. K 11, 36; $V^{O}$ cap. K 11, 40; $V^{Ph}$ cap. K 11, 42; P cap. K 10, 43; M cap. K 10, 37; R cap. K 24, 37; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 14–19

---

**I 1318** (a) C R τοῦ] *om.* R (b) Ἰουστίνου V (c) Τοῦ αὐτοῦ P (d) *s. a.* M **I 1319** (a) C R Τοῦ – Ἰωάννου] *om.* R (b) Τοῦ Χρυσοστόμου, εἰς Θεόδωρον PM (c) Τοῦ Χρυσοστόμου V Τοῦ] *om.* $V^{W}V^{Ph}$

---

**4** γινομένοις (-με- M) C $V^{W}$ M **5** οὕτως] *add.* καὶ $V^{E}V^{O}V^{Ph}$ τὰ] *om.* C **6** τὰ] *om.* C $V^{W}$ ἀκούλουθον (-κου- P) ἐστὶν (-ι- P) PM τὸ] *s. l.* $V^{W}$ **7** ἀπονέμειν PM **11** τὸ ἀγαθὸν M ᾖ] ῃ P, ἤ $V^{E}V^{W\,a.\,c.}$ παρωφθήσεται $V^{W}V^{Ph}$, παραφθήσεται $V^{O}$ **12** ἁμαρτήματα] *praem.* τὰ $V^{E}V^{O}V^{Ph}$ τῆς] *om.* C R **13** ὡς καὶ] *om.* M ὡς] ὥστε $V^{W\,p.\,c.}$ P τείνειν τιμωρίας R, τίννειν τιμωρίας $V^{W}$ P, τινυνται τιμωρίαν M ἡμᾶς] *om.* M R **14** πολλῷ] πόσω $V^{W}$ ᾖ] ῃ P, ἤ $V^{E}V^{W\,a.\,c.}$ $V^{O\,a.\,c.\,ut\,videtur}$, *om.* $V^{Ph}$ κἂν²] καὶ $V^{O}$

## I 1320 / C cap. K 1, 46

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν λη′ ψαλμόν·

Εἷς ἐστιν νεκρῶν καὶ ζώντων κριτής, ζυγοστατῶν ἑκάστῳ τὸ δίκαιον.

## I 1321 / C cap. K 1, 47

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν Σαοὺλ καὶ τὸν Δαυΐδ·

Ὅταν ὁ θεὸς ἀποφαίνηται, οὐδεμία τοῖς ἀντιλέγουσιν ὑπολέλειπται πρόφασις. Ἀδέκαστος γὰρ ἡ ψῆφος ἐκείνη, οὔτε πρὸς χάριν, οὔτε πρὸς ἀπέχθειαν τοῦ θεοῦ κρίνοντος, ἀλλὰ τῇ τῆς ψυχῆς ἀρετῇ γυμνῇ ψηφιζομένου.

## I 1322 / C cap. K 1, 48

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν σταυρὸν λόγου·

Ἐν τῷ κάτω δικαστηρίῳ καὶ δίκαιοι πολλάκις κατακρίνονται καὶ ἄδικοι διαφεύγουσιν, καὶ ὑπεύθυνοι ἀφίενται καὶ ἀνεύθυνοι κολά-

---

**3 – 4 I 1320** (PS.-)IOHANNES CHRYSOSTOMUS, *In illud:* Verumtamen frustra conturbatur *(Ps. 38, 7)*, 2 (PG 55, 561, 46–47) **7 – 10 I 1321** IOHANNES CHRYSOSTOMUS, *De Davide et Saule*, I, 1, 49–53 (ed. Barone, p. 5) **13 – 823, 6 I 1322** IOHANNES CHRYSOSTOMUS, *De cruce et latrone homilia I*, 3 (PG 49, 402, 62 – 403, 7)

---

**2 – 4 I 1320** C (210r[23]23–24); $V^{E}$ cap. K 11, 43; $V^{W}$ cap. K 11, 37; $V^{O}$ cap. K 11, 41; $V^{Ph}$ cap. K 11, 43; P cap. K 10, 44; M cap. K 10, 38; R cap. K 24, 38; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 19–20 **6 – 10 I 1321** C (210r[25]25–30); $V^{E}$ cap. K 11, 44; $V^{W}$ cap. K 11, 38; $V^{O}$ cap. K 11, 42; $V^{Ph}$ cap. K 11, 44; P cap. K 10, 45; M cap. K 10, 39; R cap. K 24, 39; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 21–25 **12 – 823, 6 I 1322** C ([210r30]210v1–10); R cap. K 24, 40; *deest in* $H^{II}$ V $PML^{b}$

---

**I 1320** (a) C PM R Τοῦ αὐτοῦ] *om.* M ἐκ τοῦ] *om.* PM λη′] λε′ R ψαλμόν] *om.* R (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1321** (a) C R (b) Κυρίλλου $V^{E}V^{O}V^{Ph}$ (c) *s. a.* $V^{W}$ P (d) *s. d.* M **I 1322** λόγου] *om.* R

---

**3** εἷς ἐστὶ(ν) C $V^{O}$ M R **7** ὁ] *om.* C R ἀποφαίνεται *(*-φαι- P*)* V P, ἀποφαίνειται C **7 – 8** ὑπολελειπται P, ὑπολέληπται $V^{E}$, ὑπολείπεται C M R, ὑπολέλυται $V^{O\ a.\ c.}$, ὑπολέληται $V^{O\ p.\ c.}$ $V^{Ph}$ **10** ψιφιζομένου *(*-με- P*)* PM, ψηφιζόμεν° R, ψηφϊζομένον $V^{O}$ **13** κάτω] *om.* R καὶ¹] *om.* C

ζονται. Καὶ γὰρ ἑκόντες καὶ ἄκοντες πολλὰ ἁμαρτάνουσιν οἱ δικάζοντες· ἢ γὰρ ἀγνοοῦντες τὸ δίκαιον καὶ ἀπατώμενοι, ἢ εἰδότες μέν, ὑπὸ χρημάτων δὲ διαφθαρέντες προδέδωκαν πολλάκις τὴν δίκην. Ἄνω δὲ οὐδὲν τοιοῦτόν ἐστιν· ὁ γὰρ θεὸς κριτὴς δίκαιος, καὶ τὸ κρῖμα αὐτοῦ ὡς φῶς ἐξελεύσεται, οὐκ ἔχον σκότος οὐδὲ ἄγνοιαν.

## I 1323 / C cap. K 1, 49

Τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τοῦ ιη′ λόγου τῶν κατὰ Ἰουλιανοῦ·

*Οὐκ ἔστιν προσωποληψία παρὰ τῷ θεῷ*, κατὰ τὸ γεγραμμένον, ἀλλ’ εἴτέ τις εἴη μέγας καὶ σοβαρός, πλούτῳ τὲ καὶ δόξῃ τῇ κατὰ τὸν κόσμον εἰς ὕψος ἠρμένος, τὴν ἀκλεᾶ καὶ ἀγέλαστον ἀποίσεται ψῆφον, τοῖς τῆς φαυλότητος αἰτιάμασιν ἐνεχόμενος· εἴτέ τις εἴη μικρός, πτωχείᾳ τε καὶ ἀδοξίᾳ συζῶν, καταδικασθήσεται πρὸς ἀκαθαρσίαν, εἰ μὴ τοῖς εἰς ἀρετὴν ἐπαυχοίη τρόποις· οὐδ’ ἂν εὕρημά τις ποιήσαιτο τῆς ταπεινότητος τὸ ἐλεεῖσθαι δεῖν παρὰ τοῦ δικαίου κριτοῦ, τὸ ἐκπρεπὲς ἐν ἔργοις οὐκ ἔχων, τοῖς κατ’ εὐσέβειαν δηλον<ότι> καὶ ἀρετήν.

## <I suppl. 409 / V cap. K 11, 45>

**10** Rom. 2, 11; Eph. 6, 9 **19 I suppl. 409** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**10 – 18 I 1323** Cyrillus Alexandrinus, *Contra Iulianum imperatorem*, XVIII, re vera *De adoratione et cultu in spiritu et veritate*, XIV (PG 68, 924, 11–22)

**8 – 18 I 1323** C (210v[10–11]12–23); *deest in* H$^{II}$ V PML$^{b}$ R

**1 – 4 Marginalia** Καὶ – δίκην] Σημείωσαι ὅτι ἐπικίνδυνον τὸ δικάζειν C

**I 1323** ἐκ – Ἰουλιανοῦ] *similis error in* I suppl. 399 / V cap. I 7, 3 *lemma a* (SJD VIII/3)

**2** τὸ δίκαιον] *om.* R **3** παραδέδωκαν C **4** τοιοῦτον ἐστὶν R θεὸς] κύριος R **5** κρῖμα] *sic acc.* C R **12** ἀγέλαστον] *sic* C *(cf.* I suppl. 399 / V cap. I 7, 3 [SJD VIII/3]*)*, ἀγέραστον *ed.* **17** εὐπρεπὲς *ed.* **18** δηλονότι] *correximus (ed.)*, δῆλον C

## I 1324 / C cap. K 1, 50

Νείλου ἀσκητοῦ·

Ἄνθρωποι μὲν γὰρ πολλάκις καὶ βασκανίᾳ διαβάλλουσιν τὰ καλά, τὸ δὲ ἄνω θέατρον ἀδεκάστως κρίνει τὰ πράγματα, καὶ τῇ ἀληθείᾳ τῶν γινομένων τὴν ψῆφον βραβεύει.

## I 1325 / C cap. K 1, 51

Ἰωσήππου, ἐκ τῆς Ἰουδαϊκῆς ἱστορίας·

Μανία σαφὴς τὸν θεὸν προσδοκᾶν ἐπὶ δικαίοις, οἷος ἐπ᾽ ἀδίκοις ἐφάνη.

---

**3–5 I 1324** Nilus Asceta (Ancyranus?), *Liber de monastica exercitatione*, 75 (PG 79, 809, 34–37) **8–9 I 1325** Flavius Iosephus, *De bello Iudaico*, V, 407 (ed. Destinon/Niese, VI, p. 490, 14)

---

**2–5 I 1324** C (210v[23]23–27); $V^{E}$ cap. K 11, 46; $V^{W}$ cap. K 11, 40; $V^{O}$ cap. K 11, 44; $V^{Ph}$ cap. K 11, 46; P cap. K 10, 47; M cap. K 10, 41; R cap. K 24, 42; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 88, 28–31 **7–9 I 1325** C (210v[27]28–29); R cap. K 24, 43; *deest in* $H^{II}$ V $PML^{b}$

---

**I 1324** (a) C R (b) Νείλου V PM νίλου $V^{E}V^{O}V^{Ph}$, νεῖλου M **I 1325** ἐκ – ἱστορίας] *om.* R

---

**3** ἄνθρωπος $V^{O}$ καλά] καλλὰ $V^{O}$, κακὰ *(*-α P*)* $V^{W}$ P **4** ἄνωθεν θέατρον $V^{Ph\ a.\,c.}$, ἀναθεατρον P **4–5** ἡ ἀλήθεια V M, η αληθεια P **5** βραβευσει P **8** ἐπ᾽] ἐπὶ R

**Τίτλος β′ Περὶ κριμάτων θεοῦ ἀνεκφράστων καὶ ἀνεκδιηγήτων, καὶ ὅτι οὐ χρὴ δυσφορεῖν ἢ ἰλιγγιᾶν ἐφ’ οἷς δίκαιοι πολλάκις δυσπραγοῦσιν, ἄδικοι δὲ ἔσθ’ ὅτε κατὰ τὸν βίον εὐπραγοῦσιν· ἄρρητος γὰρ ἡ τῶν τοιῶνδε αἰτία, καὶ μόνῳ θεῷ ἐγνωσμένη.**

**α′ Περὶ κριμάτων θεοῦ, καὶ ὅτι οὐ χρὴ δυσφορεῖν ἐφ’ οἷς δίκαιοι μὲν δυσπραγοῦσιν, ἄδικοι δὲ εὐπραγοῦσιν.**

**θ′ Περὶ κριμάτων θεοῦ, καὶ ὅτι οὐ χρὴ δυσφορεῖν ἐφ’ οἷς δίκαιοι μὲν δυσπραγοῦσιν, ἄδικοι δὲ εὐπραγοῦσιν.**

## I 1326 / C cap. K 2, 1

Ἐκ τοῦ Ἰώβ·

Εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρός.

---

**1** Περὶ – θεοῦ] cf. *II$^2$1097 / T cap. Δ 24, 24 (SJD VIII/6)

---

**12 I 1326** Iob 21, 30$^1$

---

**1 – 5 Titlos (a)** C (210v30–211r5) A$^{\mathrm{II\ pin}}$ R; *deest in* H$^{\mathrm{II}}$A$^{\mathrm{II\ txt}}$; PG 96, 529, 3 **6 – 7 Titlos (b)** V A$^{\mathrm{I\ pin}}$; *deest in* H$^{\mathrm{I}}$A$^{\mathrm{I\ txt}}$; PG 96, 65, 23–25 **8 – 9 Titlos (c)** PML$^{\mathrm{b\ pin}}$ A$^{\mathrm{III\ pin}}$; *deest in* H$^{\mathrm{III}}$A$^{\mathrm{III\ txt}}$ L$^{\mathrm{b\ txt}}$ **11 – 12 I 1326** C (211r[5]5–6); R cap. K 23, 1; *deest in* H$^{\mathrm{II}}$ V H$^{\mathrm{I}}$ PML$^{\mathrm{b}}$

---

**1 – 5 Titlos (a) 1** Τίτλος] *om.* A$^{\mathrm{II\ pin}}$ R$^{\mathrm{pin}}$ β′] κγ′ R, *propt. mg. resect. non liquet in* A$^{\mathrm{II\ pin}}$ *(*β′ *secund. ser.)* **2** ἢ ἰλιγγιᾶν] *om.* C$^{\mathrm{pin}}$ **4** τοιούτων C$^{\mathrm{pin}}$ **6 – 7 Titlos (b) 6** α′] *praem. (iuxta* Στοιχεῖον K*)* τίτλος α′ V$^{\mathrm{E\ pin}}$ V$^{\mathrm{O\ pin}}$, *praem.* τίτλος V$^{\mathrm{W\ txt}}$, *propt. mg. resect. non liquet in* A$^{\mathrm{I\ pin}}$ *(*α′ *secund. ser.)* **6 – 7** δίκαιοι] ὅσιοι V$^{\mathrm{E\ pin}}$ V$^{\mathrm{W}}$V$^{\mathrm{Ph\ pin}}$, ὅσι V$^{\mathrm{O\ pin}}$ **7** εὐπραγοῦσιν] εὐπαθοῦσιν V$^{\mathrm{E\ txt}}$ V$^{\mathrm{O\ txt}}$ V$^{\mathrm{Ph\ txt}}$ A$^{\mathrm{I\ pin}}$ **8 – 9 Titlos (c) 8** θ′] *propt. mg. resect. non liquet in* A$^{\mathrm{III\ pin}}$ *(*ιη′ *secund. ser.)* **8 – 9** καὶ – εὐπραγοῦσιν] *om.* M **8** οὐ] *om.* P

---

**I 1326** Ἐκ τοῦ] *om.* R

## I 1327 / C cap. K 2, 2

Τοῦ αὐτοῦ·

Εἶπεν κύριος πρὸς Ἰώβ·
Μὴ ἀποποιοῦ μου τὸ κρίμα.
Οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;

## I 1328 / C cap. K 2, 3

Τοῦ αὐτοῦ·

Διατί ἀσεβεῖς ζῶσιν,
πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ;
Ὁ σπόρος αὐτῶν κατ' ἐπιθυμίαν ψυχῆς,
τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς.
Οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, φόβος δὲ οὐδαμοῦ,
μάστιξ δὲ παρὰ κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς.
Μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια,
τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν,
ἀναλαμβάνοντα ψαλτήριον καὶ κιθάραν·
συνετέλεσαν ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν.

---

**3 I 1327** Εἶπεν – Ἰώβ] Iob 40, 6 **4 – 5** Μὴ – δίκαιος] Ibid. 40, $8^{1-2}$ **8 – 13 I 1328** Διατί – αὐτοῖς] Iob 21, $7^{1}$–$9^{2}$ **14 – 16** Μένουσι – κιθάραν] Ibid. 21, $11^{1}$–$12^{1}$ **17** συνετέλεσαν – αὐτῶν] Ibid. 21, $13^{1}$

---

**2 – 5 I 1327** C (211r[6]7–9); $V^{E}$ cap. K 1, 1; $V^{W}$ cap. K 1, 1; $V^{O}$ cap. K 1, 1; $V^{Ph}$ cap. K 1, 1; P cap. K 9, 1; M cap. K 9, 1; R cap. K 23, 2; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 26–28 **7 – 17 I 1328** C (211r[9]9–16); $V^{E}$ cap. K 1, 2; $V^{W}$ cap. K 1, 2; $V^{O}$ cap. K 1, 2; $V^{Ph}$ cap. K 1, 2; P cap. K 9, 2; M cap. K 9, 2; R cap. K 23, 3; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 29–36

---

**I 1327** (a) C (b) Ἰώβ V PM ϊωβ PM (c) *s. d.* R **I 1328** (a) C $V^{W}$ (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ PM (c) *s. d.* R

---

**3** ϊωβ PM **4** μου] μοι $V^{W}V^{O}$ κρῖμα C $V^{Ph}$ R **5** Οἴει – με] οἴη δέ με $C^{a. c.}$ $V^{W}$, οἴου δέ με $V^{E}V^{Ph}$, ὃν οὐδέ με $V^{O}$, οιει δ' εμε P ἄλλως] ἄλλω $M^{a. c.}$, *praem.* μὴ R ἢ] *om.* M **8** Διατί] *om.* R, *add.* ὅτι $V^{E}V^{O}V^{Ph}$ **9** πεπαλαίονται (-αι- P) V PM καὶ] *om.* M **10** αὐτῶν] *om.* M **11** δὲ] *om.* R **12** εὐθυμοῦσϊν $V^{O}$ **13** δὲ] *om.* C R ἐπ'] ἐν C R **15** δὲ] *om.* $V^{W}$ αὐτοῖς R προπαίζουσιν M **16** λαμβάνοντα R

## I 1329 / C cap. K 2, 4

Ἐν ψαλμῷ θʹ·

Γινώσκεται κύριος κρίματα ποιῶν·
ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

## I 1330 / C cap. K 2, 5

Δαυῒδ ἐν ψαλμῷ ιηʹ·

Τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπιτοαυτό,
ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν.

## I 1331 / C cap. K 2, 6

Τοῦ αὐτοῦ·

Παραπτώματα τίς συνήσει;

---

**3 – 4 I 1329** Ps. 9, $17^{1-2}$ **7 – 8 I 1330** Ps. 18, $10^{2}$–$11^{1}$ **11 I 1331** Ps. 18, $13^{1}$

---

**2 – 4 I 1329** C (211r[17]17–19); R cap. K 23, 4; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **6 – 8 I 1330** C (211r[19]19–21); R cap. K 23, 5; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **10 – 11 I 1331** C (211r[21]21–22); R cap. K 23, 6; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1329** (a) C (b) Ψαλμῶν R **I 1330** (a) C (b) Ψαλμῶν R **I 1331** (a) C (b) *s. d.* R *(cf. supra*, I 1330 / C cap. K 2, 5*)*

---

**4** ἐν – συνελήφθη] ἕως R **7 – 8** δεδικαιωμένα – πολύν] ἕως R *(cf. infra*, I 1331 / C cap. K 2, 6, *ubi lemma omisit* R*)*

## I 1332 / C cap. K 2, 7

Ἐν ψαλμῷ λε′·

Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ,
τὰ κρίματά σου ἄβυσσος πολλή.

## I 1333 / C cap. K 2, 8–9

Ἐν ψαλμῷ λς′·

Μὴ παραζήλου ἐν πονηρευομένοις,
μὴ δὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν,
ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται,
καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.
Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ,
ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν,
ὅτι ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός,
καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς.

Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ,
ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.

## <I suppl. 410 / V cap. K 1, 5>

**17 I suppl. 410** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3–4 I 1332** Ps. 35, $7^{1-2}$ **7–14 I 1333 *Versio* C R** **7–10** Μὴ – ἀποπεσοῦνται] Ps. 36, $1^{2}$–$2^{2}$ **11–12** Μὴ – παρανομίαν] Ibid. 36, $7^{2-3}$ **13–14** ὅτι – εὕρῃς] Ibid. 36, $10^{1-2}$ **15–16 I 1333 *Versio* V PM** Ps. 36, $7^{2-3}$

**2–4 I 1332** C (211r[22]22–23); $V^{E}$ cap. K 1, 3; $V^{W}$ cap. K 1, 3; $V^{O}$ cap. K 1, 3; $V^{Ph}$ cap. K 1, 3; P cap. K 9, 3; M cap. K 9, 3; R cap. K 23, 7; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 37–38 **6–16 I 1333** C (211r[24]24–29; 211r[29]29–211v1); $V^{E}$ cap. K 1, 4; $V^{W}$ cap. K 1, 4; $V^{O}$ cap. K 1, 4; $V^{Ph}$ cap. K 1, 4; P cap. K 9, 4; M cap. K 9, 4; R cap. K 23, 8; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 39–40

**I 1332** (a) C (b) Ψαλμοῦ λε′ PM ψαλμὸς M (c) Ψαλμῶν R (d) Δαυΐδ V **I 1333** (a) Ἐν ψαλμῷ λς′ / Τοῦ αὐτοῦ C *(cf. infra, app. crit. txt.)* (b) Ψαλμοῦ λς′ PM ψαλμὸς M (c) Ψαλμῶν R (d) Δαυΐδ $V^{W}$ (e) *s. a.* $V^{E}V^{O}V^{Ph}$

**3** Ἡ] *om.* $V^{E}V^{W\ a.\ c.\ ut\ videtur}V^{O\ a.\ c.\ ut\ videtur}V^{Ph}$ σου] *e corr.* $V^{W}$ **4** τὰ – σου] ἕως R **8–12** μὴ – παρανομίαν] ἕως R **12** παρανομίαν] *hic caesura in* C

## I 1334 / C cap. K 2, 10

Ἐν ψαλμῷ οβʹ·

Παρ᾽ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου,
ὅτι ἐζήλωσα, ἐπὶ τοῖς ἀνόμοις
εἰρήνην ἁμαρτωλῶν θεωρῶν,
ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν
καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·
ἐν κόποις ἀνθρώπων οὐκ εἰσί,
καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
Διατοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος·
περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν·
ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν.

## I 1335 / C cap. K 2, 11

Καὶ μετ᾽ ὀλίγα·

Ἰδοὺ οὗτοι ἁμαρτωλοί, καὶ εὐθηνοῦντες·
εἰς τὸν αἰῶνα κατέσχον πλοῦτον.

---

**3 – 12 I 1334** Ps. 72, $2^{2}$–$7^{1}$ **15 – 16 I 1335** Ps. 72, $12^{1-2}$

---

**2 – 12 I 1334** C (211v[1]2–9); $V^{E}$ cap. K 1, 6; $V^{W}$ cap. K 1, 6; $V^{O}$ cap. K 1, 6; $V^{Ph}$ cap. K 1, 6; P cap. K 9, 6; M cap. K 9, 6; R cap. K 23, 9; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 44–45 **14 – 16 I 1335** C (211v[9–10]10–11); $V^{E}$ cap. K 1, 7; $V^{W}$ cap. K 1, 7; $V^{O}$ cap. K 1, 7; $V^{Ph}$ cap. K 1, 7; P cap. K 9, 7; M cap. K 9, 7; R cap. K 23, 10; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 45–46

---

**I 1334** (a) C (b) Ψαλμοῦ οβʹ PM ψαλμὸς M (c) Ψαλμῶν R (d) Τοῦ αὐτοῦ $V^{W}$ (e) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1335** (a) C (b) Ψαλμῶν R (c) Τοῦ αὐτοῦ $V^{W}$ PM αὐτοῦ] *add.* ψαλμοῦ M (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**4 – 12** ὅτι – αὐτῶν] *om.* $V^{W}$ P **4 – 12** ὅτι – στέατος] ἕως R **4 – 12** ἐπὶ – αὐτῶν] *om.* $V^{O}V^{Ph}$ **4 – 12** τοῖς – αὐτῶν] *om.* $V^{E}$ **6 – 12** ὅτι – αὐτῶν] *om.* M **12** αὐτοῦ R **15** ἁμαρτωλοί] *praem.* οἱ *(*οι P*)* $V^{O}V^{Ph}$ $PM^{s. l.}$ εὐθηνοῦντες] *praem.* οἱ $V^{O}$ **16** κατέσχον πλοῦτον] κατέσχον πλούτου $V^{W}$, κατεσχου πλούτου M, *om.* $V^{E}V^{O}V^{Ph}$

## I 1336 / C cap. K 2, 12

Ἐν ψαλμῷ οδʹ·

Ὁ θεὸς κριτής ἐστιν·
τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ,
ὅτι ποτήριον ἐν χειρὶ κυρίου
οἴνου ἀκράτου πλῆρες κεράσματος,
καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο,
πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη·
πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.

## I 1337 / C cap. K 2, 13

Ἐν ψαλμῷ ϙαʹ·

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε,
σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου.
Ἀνὴρ ἄφρων οὐ γνώσεται
καὶ ἀσύνετος οὐ συνήσει ταῦτα·
ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον
καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

---

**3–9 I 1336** Ps. 74, $8^1$–$9^5$ **12–18 I 1337** Ps. 91, $6^1$–$8^3$

---

**2–9 I 1336** C (211v[11]12–16); $V^E$ cap. K 1, 8; $V^W$ cap. K 1, 8; $V^O$ cap. K 1, 8; $V^{Ph}$ cap. K 1, 8; P cap. K 9, 8; M cap. K 9, 8; R cap. K 23, 11; *deest in* $H^{II}$ $H^I$ $L^b$; PG 96, 65, 47–48 **11–18 I 1337** C (211v[16]17–22); R cap. K 23, 12; *deest in* $H^{II}$ V $H^I$ $PML^b$

---

**I 1336** (a) C (b) Ψαλμὸς οδʹ $V^W$ PM Ψαλμὸς] Δαυῒδ $V^W$, *om.* P (c) Ψαλμῶν R (d) *s. a.* $V^E V^O V^{Ph}$ **I 1337** (a) C (b) Ψαλμῶν R

---

**3** Ὁ] *om.* $V^O$ **5–9** ὅτι – γῆς] *om.* V PM **5–9** ὅτι – πάντες] ἕως R **14–18** Ἀνὴρ – ἐξολοθρευθῶσιν] ἕως R

## I 1338 / C cap. K 2, 14

Ἐν ψαλμῷ ρδ′·

Αὐτὸς κύριος ὁ θεὸς ἡμῶν,
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.

## I 1339 / C cap. K 2, 15

Ἐν ψαλμῷ ρμγ′·

Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων,
ὧν τὸ στόμα ἐλάλησεν ματαιότητα,
καὶ ἡ δεξιὰ αὐτῶν, δεξιὰ ἀδικίας.
Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα
ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν,
αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι,
περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ·
τὰ ταμιεῖα αὐτῶν πλήρη
ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο,
τὰ πρόβατα αὐτῶν πολυτόκα,
πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν,
οἱ βόες αὐτῶν παχεῖς·
οὐκ ἔστιν κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος,
οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν.
Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστιν·
μακάριος ὁ λαός, οὗ κύριος ὁ θεὸς αὐτοῦ.

---

**3 – 4 I 1338** Ps. 104, $7^{1-2}$ **7 – 22 I 1339** Ps. 143, $11^{1}$–$15^{2}$

---

**2 – 4 I 1338** C (211v[22]23); R cap. K 23, 13; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ **6 – 22 I 1339** C (211v[24]24–212r6); R cap. K 23, 14; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1338** (a) C (b) Ψαλμῶν R **I 1339** (a) C (b) Ψαλμῶν R

---

**8 – 19** ὧν – διέξοδος] ἕως R **20** πλατείας $C^{a.\,c.}$ **21 – 22** Ἐμακάρισαν – αὐτοῦ] *om.* R

## I 1340 / C cap. K 2, 16

Τῶν Παροιμιῶν·

Μὴ ζηλούτω σου ἡ καρδία ἁμαρτωλούς,
ἀλλ᾽ ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέραν.

## <I suppl. 411–412 / V cap. K 1, 10–11>

## I 1341 / C cap. K 2, 17

Ἱερεμίου προφήτου·

Δίκαιος εἶ, κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ, πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται, εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; Ἐφύτευσας αὐτοὺς καὶ ἐριζώθησαν, ἐτεκνοποίησαν καὶ ἐποίησαν καρπόν. Ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν.

---

**5 I suppl. 411–412** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1340** Prov. 23, $17^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 110) **8 – 12 I 1341** Ier. 12, 1–2 (Wahl, *Prophetenzitate*, p. 523)

---

**2 – 4 I 1340** C (212r[6]6–7); $V^{E}$ cap. K 1, 9; $V^{W}$ cap. K 1, 9; $V^{O}$ cap. K 1, 9; $V^{Ph}$ cap. K 1, 9; P cap. K 9, 9; M cap. K 9, 9; R cap. K 23, 15; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 65, 49–50 **7 – 12 I 1341** C (212r[7]8–14); $V^{E}$ cap. K 1, 12; $V^{W}$ cap. K 1, 12; $V^{O}$ cap. K 1, 12; $V^{Ph}$ cap. K 1, 12; P cap. K 9, 12; M cap. K 9, 12; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 68, 6–11

---

**I 1340** (a) C $V^{E}V^{W}$ PM Τῶν] *om.* $V^{E}V^{W}$ PM παροιμί$^{α}$ $V^{E}$ (b) Ψαλμῶν R (c) *s. a.* $V^{O}V^{Ph}$ **I 1341** ἱερεμίου *(sic)* $V^{E}$, ἠηρεμίου P, ϊερεμιου M προφήτου] *om.* V PM

---

**3** σου] *post* καρδία *transpos.* M καρδία] ψυχὴ C R **4** ἀλλ᾽ – ἡμέραν] *om.* C **8** πρὸς σέ] *om.* $V^{E}V^{O}V^{Ph}$ **9** ὁδοι *(sic)* M εὐοδοῦνται M εὐθήνησαν] *add.* δὲ C **10** ἀθέτημα $V^{E}V^{O}V^{Ph}$ Ἐφύτευσας] ἐφύλισας *(-ύ- p. ras. in mg.)* $V^{W}$

## I 1342 / C cap. K 2, 18

Τοῦ Σιράχ·

Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλῶν.

## I 1343 / C cap. K 2, 19

Τοῦ αὐτοῦ·

Διατί ἡμέρα ἡμέρας ὑπερέχει,
καὶ πᾶν φῶς ἡμέρας ἐν αὐγῇ ἡλίου;
Ἐν γνώσει κυρίου διεχωρίσθησαν,
καὶ ἠλλοίωσεν καιροὺς καὶ ἑορτάς·
ἀπ᾽ αὐτῶν ἡγίασεν καὶ ὕψωσεν,
καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν.
Καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους,
καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ·
ἐν πλήθει ἐπιστήμης κύριος ἐχώρισεν αὐτοὺς
καὶ ἠλλοίωσεν τὰς ὁδοὺς αὐτῶν·
ἐξ αὐτῶν ηὐλόγησεν καὶ ἀνύψωσεν,
καὶ ἐξ αὐτῶν ἡγίασεν καὶ πρὸς αὐτὸν ἤγγισεν·
ἀπ᾽ αὐτῶν κατηράσατο καὶ ἐταπείνωσεν
καὶ ἀνέτρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν.

---

**3 I 1342** Sir. 9, $11^{1}$ (Wahl, *Sirach-Text*, p. 71) **6 – 19 I 1343** Sir. 36, $7^{1}$–$12^{4}$ (Wahl, *Sirach-Text*, p. 144–145)

---

**2 – 3 I 1342** C (212r[14]14–15); $V^{E}$ cap. K 1, 13; $V^{W}$ cap. K 1, 13; $V^{O}$ cap. K 1, 13; $V^{Ph}$ cap. K 1, 13; P cap. K 9, 13; M cap. K 9, 13; R cap. K 23, 17; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 68, 12 **5 – 19 I 1343** C (212r[15]15–25); R cap. K 23, 18; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1342** (a) C $V^{W}$ PM R Τοῦ] *om.* $V^{W}$ P R σηράχ M (b) Ἱερεμίου $V^{O}$ (c) *s. a.* $V^{E}V^{Ph}$
**I 1343** (a) C (b) *s. d.* R

---

**3** ζηλώσεις P **6** Διατί] διότι R **7** ἐν αὐγῇ] ἐνιαυτοῦ ἀφ᾽ *LXX* **9** ἠλλοίωσαν R **12 – 14** ἐδάφους – κύριος] ἐδάφους καὶ ἐκ γῆς. ἐκτίσθη ἀδάμ ἐν πλήθει ἐπιστήμης· κύριος *interpunx.* C **14** ἐν πλήθει] ἐπλήσθη R **19** ἀποστάσεως C

## <I suppl. 413 / V cap. K cap. 1, 14>

## I 1344 / C cap. K 2, 20

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν· μήπω γὰρ γεννηθέντων, μὴ δὲ πραξάντων τί ἀγαθὸν ἢ κακόν, ἐρ<ρ>έθη αὐτῇ ὅτι Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι, καθὼς γέγραπται· Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. Τί οὖν ἐροῦμεν; Μὴ ἀδικία παρὰ τῷ θεῷ; Μὴ γένοιτο. Τῷ Μωϋσῇ γὰρ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ. Λέγει γὰρ ἡ Γραφὴ τῷ Φαραὼ ὅτι Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ, ὃν δὲ θέλει, σκληρύνει. Ἐρεῖς μοι οὖν· Τί ἔτι μέμφεται; Τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν; Ὦ ἄνθρωπε, μενοῦνγε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ; Μὴ ἐρεῖ

---

**1 I suppl. 413** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **6** Gen. 25, 23[4] **7** Mal. 1, 2–3 **9 – 10** Ex. 33, 19 **11 – 14** Ibid. 9, 16

---

**4 – 835, 3 I 1344** Rom. 9, 10–21

---

**3 – 835, 3 I 1344** C (212r[25]26–212v13); $V^{E}$ cap. K 1, 15; $V^{W}$ cap. K 1, 15; $V^{O}$ cap. K 1, 15; $V^{Ph}$ cap. K 1, 15; P cap. K 9, 15; M cap. K 9, 15; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 68, 15–32

---

**I 1344** (a) C ρωμαίους *cod.* (b) Πρὸς Ῥωμαίους V PM ρωμαίους $V^{E}V^{W}V^{Ph}$ P

---

4 ρεβέκκα $V^{E}$, ρεβεκκα PM Ἰσαὰκ] ἰσαάκ $V^{O}$, ϊσαὰκ P, ϊσαακ M, *post* ἡμῶν *transpos.* C **5** γὰρ] *om.* V P ἀγαθῶν M κακόν] φαῦλον· ἵνα ἡ κατεκλογῆν πρόθέσις τοῦ θεοῦ μένει· οὐκ εξέργων ἀλλ' εκ τοῦ καλοῦντος *(= Rom. 9, 11–12)* M **6** ἐρρέθη] *correximus (NT)*, ἐρέθη $V^{E}V^{W}V^{Ph}$ P, ἐρρήθη $C^{p.c.}$ M, ἐρρείθη $C^{a.c.}$, ἐρήθη $V^{O}$ **7** ϊακωβ PM ἠσαὺ $V^{E}$, ἠσαυ P, ησαῦ M **8 – 9** Μωϋσῇ γὰρ] μωσῆ *(*-η P*)* γὰρ V P, γὰρ μωσῆ M **9 – 10** οἰκτειρῶ $V^{O}$, οἰκτηρῶ M **10** ἆρα C $V^{E}V^{O}V^{Ph}$, ἀρα M, αρα P **11 – 835, 3** Λέγει – ἀτιμίαν] καὶ τὰ ἑξῆς $V^{W}$ **11** φαραῶ $C^{a.c.}$ $V^{E\,a.c.}$ $V^{O}$, φαραω P ὅτι] ἔτι P **12** ἐνδείξομαι *(*-ει- P*)* $V^{O}$ P **13 – 14** καὶ – γῇ] *om.* $V^{E}V^{O}V^{Ph}$ P **13** διαγγελῇ] *correximus (NT)*, διαγγέλη C, διαγγελει M **14** ἆρα C $V^{E}V^{O}V^{Ph}$, ἀρα M, αρα P ὃν δὲ] καὶ ον M θέλει] θέλη M, *om.* $V^{Ph}$ οὖν μοι $V^{E}V^{O}V^{Ph}$ M **15 – 16** Ὦ ἄνθρωπε] *post* μενοῦνγε *transpos.* $V^{E}V^{O}V^{Ph}$ M

τὸ πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

## I 1345 / C cap. K 2, 21

Ἐκ τῆς αὐτῆς·

Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

## I 1346 / C cap. K 2, 22

Σχόλιον·

Δίελθε ἐνταῦθα ἀνωτέρω ἐν τῷ Δέλτα στοιχείῳ, τίτλῳ ε′, Μαλαχίου προφήτου.

---

**6 – 7** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 9.17./14b. (ed. Ihm, p. 214–215); 41.2./48.2. (p. 740) **10 – 11** ἐν – προφήτου] cf. supra, I 881–898 / C cap. Δ 5, 1–18 (SJD VIII/1), ubi autem Malachiae locus non exstat; cf. etiam supra, I 1313 / C cap. K 1, 39

---

**6 – 7 I 1345** Rom. 11, 33 **10 – 11 I 1346** *Scholion*

---

**5 – 7 I 1345** C (212v[14]14–16); $V^{E}$ cap. K 1, 16; $V^{W}$ cap. K 1, 16; $V^{O}$ cap. K 1, 16; $V^{Ph}$ cap. K 1, 16; P cap. K 9, 16; M cap. K 9, 16; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 68, 33–35 **9 – 11 I 1346** C (212v[16]17–18); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1345** (a) C P Ἐκ] *om.* P (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ M (c) *s. a.* $V^{W}V^{Ph}$

---

**1** οὕτως] *om.* C **3** σκεῦος] *om.* P **6** Ὦ] ὢ $C^{a. c. ut videtur}$ $V^{E}V^{O}V^{Ph}$, ω P ἀνεξήρεύνητα *(sic)* P

## I 1347 / C cap. K 2, 23

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τοῦ <η′> κεφαλαίου τῶν Ἱεροθέου στοιχειώσεων·

Ἀλλ᾽ εἴποι τίς ἄν· Οὐκ ἔστιν δικαιοσύνης ἴδιον ἄνδρας ὁσίους παρορᾶν ἀβοηθήτους ὑπὸ τῶν φαύλων ἐκτρυχομένους. Πρὸς ὃν ῥητέον ὡς Εἰ μὲν ἀγαπῶσιν οὓς φῂς ὁσίους τὰ ἐπὶ γῆς ὑπὸ τῶν φαύλων καὶ προσύλων ζηλούμενα, τοῦ θείου πάντως ἐκπεπτώκασιν ἔρωτος, καὶ οὐκ οἶδα ὅπως ὅσιοι κληθεῖεν ἄν, ἀδικοῦντες τὰ οὕτως ἐραστὰ καὶ θεῖα, τοῖς ἀζηλώτοις καὶ ἀνεράστοις ὑπ᾽ αὐτῶν οὐκ εὐαγῶς παρευδοκ<ιμ>ούμενα. Εἰ δὲ τῶν ὄντως ὄντων ἐρῶσιν, εὐφραίνεσθαι χρὴ τοὺς τινῶν ἐφιεμένους, ἡνίκα τῶν ἐφετῶν τυγχάνουσιν. Ἢ οὐχὶ τότε μᾶλλον πλησιάζουσιν ταῖς ἀγγελικαῖς ἀρεταῖς, ὅταν ὡς δυνατὸν ἐφέσει τῶν θείων ἀναχωροῦσι τῆς τῶν ὑλικῶν προσπαθείας, ἐγγυμναζόμενοι πρὸς τοῦτο λίαν ἀνδρικῶς ἐν ταῖς ὑπὲρ τοῦ καλοῦ περιστάσεσιν; Ὥστε ἀληθὲς εἰπεῖν ὅτι τοῦτο μᾶλλον ἐστὶν τῆς θείας δικαιοσύνης ἴδιον, τὸ μὴ θέλγειν καὶ ἀπολλύειν τῶν ἀρίστων τὴν ἀρρενότητα ταῖς τῶν ὑλικῶν δόσεσιν, μὴ δὲ εἴ τις ἐπιχειροίη τοῦτο ποιεῖν, ἐᾶν ἀβοηθήτους, ἀλλ᾽ ἐνιδρύειν αὐτοὺς ἐν τῇ καλῇ καὶ ἀμειλίκτῳ στάσει, καὶ ἀπονέμειν αὐτοῖς τοιούτοις οὖσιν, τὰ κατ᾽ ἀξίαν.

---

**3** τῶν – στοιχειώσεων] cf. Ps.-Dion. Areop., *De divinis nominibus*, III. 2 (ed. Suchla, p. 139, 18) **4 – 20** Ἀλλ᾽ – ἀξίαν] cf. *II$^{2}$1097 / T cap. Δ 24, 24 (SJD VIII/6)

---

**4 – 20 I 1347** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, VIII. 8 (ed. Suchla, p. 205, 1–15)

---

**2 – 20 I 1347** C (212v[19–20]20–213r12); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R

---

**I 1347** η′] *supplevimus (cf.* *II$^{2}$1096 / T cap. Δ 24, 23 [SJD VIII/6]*)*, *om.* C

---

7 φαύλων καὶ] *desunt in ed. (cf. etiam* *II$^{2}$1096 / T cap. Δ 24, 23 [SJD VIII/6]*)* **9** οὕτως] ὄντως *ed.* **10** παρευδοκιμούμενα] *correximus (ed.)*, παρευδοκούμενα C ὄντως] *correximus (ed.)*, οὕτως C **18** ἐᾶν] *correximus (ed.)*, ἐὰν C

## I 1348 / C cap. K 2, 24

Τοῦ ἁγίου Κλήμεντος ἐπισκόπου Ῥώμης, ἐκ τῆς β′ πρὸς Κορινθίους ἐπιστολῆς·

Μὴ ταρασσέτω τὴν καρδίαν ὑμῶν ὅτι βλέπομεν τοὺς ἀδίκους πλουτοῦντας καὶ στενοχωρουμένους τοὺς τοῦ *θεοῦ δούλους*. Οὐδεὶς γὰρ τῶν δικαίων ταχὺν καρπὸν ἔλαβεν, ἀλλ᾽ ἐκδέχεται αὐτόν. Εἰ γὰρ τὸν μισθὸν τῶν δικαίων ὁ θεὸς εὐθέως ἀπεδίδου, ἐμπορίαν ἠσκοῦμεν καὶ οὐκ εὐσέβειαν. Ἐδοκοῦμεν γὰρ εἶναι δίκαιοι, οὐ διὰ τὸ εὐσεβές, ἀλλὰ τὸ κερδαλέον διώκοντες.

## I 1349 / C cap. K 2, 25

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὰς Παροιμίας·

Ἡ παρὰ τοῦ δικαίου κριτοῦ οὐρανόθεν ἐπαγομένη ἡμῖν δικαιοσύνη, ἐπανορθωτικὴ οὖσα καὶ ἀνταποδοτική, πολὺ ἔχει τὸ δυσθεώρητον διὰ τὸ ὕψος τῶν ἐναποκειμένων αὐτῇ δογμάτων. Τοῦτο γὰρ οἶμαι λέγειν τὸν Ψαλμωδόν· *Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ*.

---

**5** I Petr. 2, 16 **15** Ps. 35, 7[1]

---

**4 – 5 I 1348** Μὴ – δούλους] Ps.-Clemens Romanus, *Epistula II ad Corinthios*, XX. 1 (ed. Funk/Bihlmeyer, p. 80); Holl, n° 2, 1–2 **5 – 9** Οὐδεὶς – διώκοντες] Ibid., 3–4 (p. 80–81); Holl, n° 2, 3–6 **12 – 15 I 1349** Basilius Caesariensis, *Homilia in principium Proverbiorum*, 8 (PG 31, 404, 4–9)

---

**2 – 9 I 1348** C (213r[12–13]13–20); R cap. K 23, 19; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$; PG 96, 529, 5–12 **11 – 15 I 1349** C (213r[21]22–27); V$^{E}$ cap. K 1, 18; V$^{W}$ cap. K 1, 18; V$^{O}$ cap. K 1, 18; V$^{Ph}$ cap. K 1, 18; P cap. K 9, 18; M cap. K 9, 18; R cap. K 23, 20; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$; PG 96, 68, 40–45

---

**I 1348** ἐκ – ἐπιστολῆς] *om.* R **I 1349** (a) C R (b) Τοῦ αὐτοῦ, εἰς τὰς Παροιμίας PM Τοῦ αὐτοῦ] *om.* P (c) Τοῦ αὐτοῦ V$^{E}$V$^{O}$ (d) Παροιμιῶν V$^{W}$ (e) *s. a.* V$^{Ph}$

---

**4** ταρασσέσθω R ἡμῶν R **7** εὐθέως ὁ θεὸς R **8** ἐδοκῶμεν R **9** κερδαλέον] *scripsimus*, κερδάλεον C, κερδαλαῖον R **12** δικαίου κριτοῦ] δικαιοκρίτου (-κρι- P*)* V$^{E}$V$^{W}$V$^{O}$ PM ἐπαγωμένη V$^{E}$V$^{O}$V$^{Ph}$ **14** ἀποκειμενων PM **15** ψαλμὸν V$^{W}$ σου] *s. l. e corr.* V$^{W}$

## I 1350 / C cap. K 2, 26

Τοῦ αὐτοῦ, ἐκ τῆς ις′ ἐπιστολῆς·

Κἂν οἱ λόγοι τῶν παρὰ θεοῦ οἰκονομουμένων διαφεύγουσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν ἀποδεκτόν ἐστιν, κἂν ἐπίπονον ᾖ.

## I 1351 / C cap. K 2, 27

Τοῦ αὐτοῦ, ἐκ τῆς ξβ′ ἐπιστολῆς·

Ἀμαθεῖς ἐσμέν, ὥστε τὰ ἄρρητα τοῦ θεοῦ κρίματα δοκιμάζειν.

---

**3 – 5 I 1350** Basilius Caesariensis, *Epistulae* (ις′), V, 2, 17–20 (ed. Courtonne, I, p. 18) **8 I 1351** Basilius Caesariensis, *Epistulae* (ξβ′), VI, 2, 8–9 (ed. Courtonne, I, p. 20)

---

**2 – 5 I 1350** C (213r[27]27–30+mg); $V^{E}$ cap. K 1, 17; $V^{W}$ cap. K 1, 17; $V^{O}$ cap. K 1, 17; $V^{Ph}$ cap. K 1, 17; P cap. K 9, 17; M cap. K 9, 17; R cap. K 23, 21; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 68, 36–39 **7 – 8 I 1351** C (213v[1]1–2); $V^{E}$ cap. K 1, 19; $V^{W}$ cap. K 1, 19; $V^{O}$ cap. K 1, 19; $V^{Ph}$ cap. K 1, 19; P cap. K 9, 19; M cap. K 9, 19; R cap. K 23, 22; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 68, 46–47

---

**I 1350** (a) C R ις′] ιζ′ R (b) Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς ις′ ἐπιστολῆς PM Τοῦ ἁγίου] *non liquet in* P (c) Βασιλείου V βασιλίου $V^{W}$ **I 1351** (a) C PM R Τοῦ αὐτοῦ] *om.* C P, *post* ἐπιστολῆς *transpos.* M (b) Τοῦ αὐτοῦ $V^{E}V^{W}$ (c) *s. a.* $V^{O}V^{Ph}$

---

**3** ἡμῖν M **4** ἀλλὰ] *om.* V PM τὸ] τῶ $V^{W\ a.c.}$, τῶν M αγαπήσαντος *(sic)* $V^{W}$ **5** ἀπόδεκτόν ἐστι $V^{E}V^{W\ a.c.}$, ἀπόδεκτον ἐστι $V^{O}$, ἀπόδεκτον *(*ἀπὸ- M*)* ἐστὶ(ν) $V^{Ph}$ M, ἀποδεκτον ἐστιν P κἂν] καὶ M ᾖ] *om.* M **8** ὥστε] ὅτε M δοκιμάζομεν M

## I 1352 / C cap. K 2, 28

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ φιλοπτωχίας·

Τίς οἶδεν εἰ ὁ μὲν διὰ κακίαν κολάζεται, ὁ δέ, ὡς ἐπαινούμενος αἴρεται, ἀλλὰ μὴ τοὐναντίον, ὁ μὲν διὰ πονηρίαν ὑψοῦται, ὁ δὲ διὰ ἀρετὴν δοκιμάζεται, ὁ μὲν πλεῖον ἐπαιρόμενος, ἵνα καὶ πέσῃ χαλεπώτερον, ὅλην ἐώμενος πρότερον ὥσπέρ τινα νόσον ἐκρῆξαι τὴν ἑαυτοῦ κακίαν, ἵνα καὶ κολασθῇ δικαιότερον, ὁ δὲ παρὰ δόξαν πιεζόμενος, ἵνα ὥσπερ χρυσὸς ἐν καμίνῳ δοκιμασθείς, τῆς κακίας εἴ τι καὶ μικρὸν ἔχει, τοῦτο ἐκτήξῃ.

## I 1353 / C cap. K 2, 29

Ἐκ τοῦ αὐτοῦ·

Τοῖς ἡμετέροις μάλιστα ἐπιστατεῖν δεξώμεθα τὸν ἡμέτερον εἴτε ποιητήν, εἴτε πλάστην βούλει καλεῖν, κἂν διὰ τῶν ἐναντίων ὁ βίος ἡμῖν διεξάγηται, διατοῦτο τυχὸν καὶ ἀγνοουμένων, ἵνα τῷ δυσθε-

---

**3 – 5** Τίς – δοκιμάζεται] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 18.11./12. (ed. Ihm, p. 433–434)

---

**3 – 9 I 1352** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 30 (PG 35, 897, 28–37) **12 – 840, 4 I 1353** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 33 (PG 35, 904, 6–14)

---

**2 – 9 I 1352** C (213v[2–3]3–12); $V^{E}$ cap. K 1, 21; $V^{W}$ cap. K 1, 21; $V^{O}$ cap. K 1, 21; $V^{Ph}$ cap. K 1, 21; P cap. K 9, 22; M cap. K 9, 22; R cap. K 23, 23; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 68, 50 – 69, 6 **11 – 840, 4 I 1353** C (213v[12]12–20); R cap. K 23, 24; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1352** (a) C R Τοῦ – Γρηγορίου] *om.* R (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ (c) *s. a.* $V^{W}V^{Ph}$ P (d) *s. d.* M **I 1353** Ἐκ] *om.* R

---

**3** Τίς] τοῖς M ὁ[1]] *s. l.* C ἐπαινούμενος] ἐπαιρόμενος *(*-ρο- M*)* V PM **4** τὸ ἐναντίον R **5** διὰ] δι' V PM καὶ] *om.* M **6** *post* χαλεπώτερον *fenestra circiter octo litterarum in* C, *ante* χαλεπώτερον *fenestra circiter quinque litterarum in* $V^{W\ p.\ ras.\ ut\ videtur}$ ἐώμενος] ἰώμενος *(*ἰ- *e ras.)* $V^{W}$, οἰόμενος M πρότερον] *om.* R ἐκρῆξαι] *scripsimus (ed.)*, ῥῆξαι R, ἐκρίξαι $V^{E}V^{O}V^{Ph}$, ἐκρίψαι $V^{W}$ P, ἐκχρῆψαι *(sic)* M, *om.* C **7** δίκαιος $V^{E}V^{O}V^{Ph}$ δὲ] *add.* καὶ V PM **7 – 8** παραδόξαν $V^{E}V^{W\ p.\ c.}$ P, παράδοξον $V^{W\ a.\ c.}$, παραδόξων $V^{O}$, παραδόξον M **9** εἶχε $V^{E}V^{O}V^{Ph}$, ἔχῃ P $R^{a.\ c.\ ut\ videtur}$ τοῦτο] *om.* R ἐκτήξει C $V^{W}$, ἐκτίξει $V^{E}V^{O}V^{Ph}$ M **12** δοξόμεθα R **13** εἴτε] *add.* καὶ C **14** ἡμῶν R τυχὼν $C^{p.\ c.}$, τυχῶν $C^{a.\ c.}$

ωρήτῳ τὸν ὑπὲρ πάντα λόγον θαυμάζωμεν, ἐπειδὴ τὸ μὲν ῥαδίως ληπτὸν ἅπαν εὐκαταφρόνητον, τὸ δὲ ὑπὲρ ἡμᾶς ὅσῳ δυσεφικτότερον τοσούτῳ θαυμασιώτερον, καὶ γυμνάζει τὸν πόθον ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν.

## I 1354 / C cap. K 2, 30

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ θεολογίας β′ λόγου·

Παῦλος πειρᾶται μὲν ἐφικέσθαι οὔπω λέγω τῆς τοῦ θεοῦ φύσεως – τοῦτο γὰρ ἤδη παντελῶς ἀδύνατον –, ἀλλὰ μόνον τῶν τοῦ θεοῦ κριμάτων. Ἐπειδὴ δὲ οὐχ’ εὑρίσκει διέξοδον, οὐδὲ στάσιν τῆς ἀναβάσεως, οὐδὲ εἰς τί φανερὸν τελευτᾷ ἡ πολυπραγμοσύνη τῆς διανοίας, ἀεὶ τινὸς ἐπιφαινομένου τοῦ λείποντος, ὢ τοῦ θαύματος, ἵνα καὶ αὐτὸς πάθω τὸ ἴσον, ἐκπλήξει περιγράφει τὸν λόγον, καὶ *πλοῦτον θεοῦ καὶ βάθος* τὸ τοιοῦτο καλεῖ, καὶ ὁμολογεῖ τῶν τοῦ θεοῦ κριμάτων τὸ ἀκατάληπτον, μονονουχὶ τὰ αὐτὰ τῷ Δαυῒδ φθεγγόμενος, ποτὲ μὲν *ἄβυσσον πολλὴν* ὀνομάζοντι τὰ τοῦ θεοῦ κρίματα, ἧς οὐκ ἔστι τὴν ἕδραν ἢ μέτρῳ ἢ αἰσθήσει λαβεῖν, ποτὲ δὲ *τεθαυμαστῶσθαι τὴν γνῶσιν ἐξ ἑαυτοῦ* καὶ τῆς ἑαυτοῦ συστάσεως λέγοντι, κεκραταιῶσθαί τε πλέον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ περίδραξιν.

---

**7–9** Παῦλος – κριμάτων] cf. Rom. 11, 33 **13** Ibid. **15** Ps. 35, $7^{2}$ **17** Ibid. 138, $6^{1}$ **18–19** κεκραταιῶσθαί – δύναμιν] cf. ibid. 138, $6^{2}$

---

**7–19 I 1354** Gregorius Nazianzenus, *De theologia II (Orat. 28)*, 21, 20–34 (ed. Gallay/Jourjon, p. 144)

---

**6–19 I 1354** C (213v[21]21–214r7); R cap. K 23, 25; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1354** Τοῦ αὐτοῦ] *om.* R λόγου] *om.* R

---

**8** ἤδη] ᾔδει *ed. (sed cf. app. crit.)* μόνων R **9–10** οὐδὲ – ἀναβάσεως] *om.* R **10** εἴς τι R *post* τελευτᾷ *hab.* πέρας *ed.* **12** παθὼν C ἶσον R ἐκπλήξη C **13** τοιοῦτον R **16** ἧς – λαβεῖν] *om.* R **17** ἑαυτοῦ$^{1}$] αὐτοῦ C ἑαυτοῦ$^{2}$] αὐτοῦ R **18** λέγοντι] λόγον τι C κεκραταιῶσθαι τὲ R ἑαυτοῦ] ἐπ’ αὐτοῦ R

## I 1355 / C cap. K 2, 31

Ἐκ τοῦ πρὸς τὸν ἄρχοντα καὶ τοὺς πολιτευομένους·

Κύκλος τίς ἐστιν, ἀδελφοί, τῶν ἀνθρωπίνων πραγμάτων, καὶ παιδεύει διὰ τῶν ἐναντίων ἡμᾶς ὁ θεός, ὥσπερ συνεστήσατο τὰ πάντα σοφῶς καὶ συνέδησεν, οὕτω σοφῶς τὸ πᾶν διεξάγων καὶ κυβερνῶν τοῖς ἀνεφίκτοις αὐτοῦ καὶ ἀνεξιχνιάστοις κρίμασιν.

## I 1356 / C cap. K 2, 32

Ἐκ τοῦ α′ στηλιτευτικοῦ·

Οἷον διὰ κύκλου τινὸς εὐθύνει καὶ διεξάγει τὸν πάντα κόσμον ὁ θεὸς καὶ τὰ ἡμέτερα, σαλευόμενά τε ὁμοῦ καὶ μὴ σαλευόμενα, ταῖς μεταβολαῖς μὲν κινούμενα καὶ περιτρεπόμενα, καὶ ἄλλοτε ἄλλως ἔχοντα, τῇ τάξει δὲ τῆς προνοίας πάγια καὶ ἀκίνητα, κἂν διὰ τῶν ἐναντίων ὁδεύῃ, τῷ λόγῳ μὲν δήλων ὄντων, ἡμῖν δὲ ἀγνοουμένων.

---

**3 – 6 I 1355** GREGORIUS NAZIANZENUS, *Ad praefectum et cives Nazianzenos (Orat. 17)*, 4 (PG 35, 969, 23–28) **9 – 14 I 1356** GREGORIUS NAZIANZENUS, *Contra Iulianum imperatorem I (Orat. 4)*, 12, 13–18 (ed. Bernardi, p. 104)

---

**2 – 6 I 1355** C (214r[8]9–13); $V^{E}$ cap. K 1, 22; $V^{W}$ cap. K 1, 22; $V^{O}$ cap. K 1, 22; $V^{Ph}$ cap. K 1, 22; P cap. K 9, 23; M cap. K 9, 23; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$ R; PG 96, 69, 7–12 **8 – 14 I 1356** C (214r[13–14]14–20); R cap. K 23, 26; *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$

---

**I 1355** (a) C (b) Πρὸς τὸν ἄρχοντα PM ἄρχοντα] *add.* ὀργιζόμενον M (c) Τοῦ αὐτοῦ $V^{E}V^{W}V^{O}$ (d) *s. a.* $V^{Ph}$ **I 1356** α′] πρώτου C

---

**4** ὁ θεός] *in mg.* $V^{W}$ ὁ] *om.* P **5** τὸ πᾶν] τὰ πάντα $V^{E}V^{O}V^{Ph}$, *om.* M καὶ²] *om.* $V^{W\,a.\,c.}$ P **6** ἀνεφίκτοις] ἀφύκτοις $V^{W\,a.\,c.}$, ἀνεφύκτοις $V^{W\,p.\,c.}$ ἀνεξιχνιάστοις] *add.* αὐτοῦ $V^{O}$ **11** κενούμενα R

## I 1357 / C cap. K 2, 33

Ἐκ τῶν αὐτοῦ ἐπιστολῶν·

Πείθομαι μηδὲν ἄλογον εἶναι παρὰ τῷ λόγῳ τῶν ἡμετέρων, κἂν ἡμῖν οὕτως φαίνηται.

## I 1358 / C cap. K 2, 34

Τοῦ αὐτοῦ·

Πολλά ἐστιν καὶ ἀδικεῖσθαι δοκοῦντας εὖ πάσχειν, καὶ καλῶς πάσχοντας ἀδικεῖσθαι.

## I 1359 / C cap. K 2, 35

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς παρθένους ὑποθήκης, δι' ἐπῶν·

Μήτε κακοὺς ὁρῶσα γαληνιόωντας, ὁδοῖς
Ἵστασο, μήτ' ἀγαθοῖς φρένα δάπτεο καμπτομένοισι
– Πεσσοὶ ταῦτα βίοιο –, τὰ δ' ὕστατα δέρκεο πάντα.

---

**3 – 4 I 1357** GREGORIUS NAZIANZENUS, *Epistulae*, XXXVI, 2 (ed. Gallay, I, p. 46) **7 – 8 I 1358** GREGORIUS NAZIANZENUS, *Epistulae*, CXXXV, 1 (ed. Gallay, II, p. 23) **11 – 13 I 1359** GREGORIUS NAZIANZENUS, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 360–362 (PG 37, 606, 12 – 607, 2)

---

**2 – 4 I 1357** C (214r[20–21]21–22); R cap. K 23, 27; *deest in* H[II] V H[I] PML[b] **6 – 8 I 1358** C (214r[22]23–24); R cap. K 23, 28; *deest in* H[II] V H[I] PML[b] **10 – 13 I 1359** C (214r[24–25]26–28); *deest in* H[II] V H[I] PML[b] R

---

**I 1357** αὐτοῦ] *om.* R **I 1358** (a) C (b) *s. d.* R *(cf. supra*, I 1357 / C cap. K 2, 33*)*

---

**4** φαίνηται] φαίνωνται πολλὰ *(*πολλὰ *ex initio* I 1358 / C cap. K 2, 34*)* R **7** Πολλά ἐστιν] ἔστι R *(cf. supra*, I 1357 / C cap. K 2, 33*)* **11 – 12** ὁδοῖο Ἴσχεο *ed.* **12** ἀγαθοῖς] *correximus (ed.)*, ἀγαθοὺς C

## I 1360 / C cap. Κ 2, 36

Ἐκ τῶν αὐτῶν·

Πολλάκις γὰρ πτῶσις μὲν ἀπὸ χθονὸς ὑψόσ’ ἀείρει,
Ἐς χθόνα δ’ ὕψος ἔθηκε· θεῷ τάδε τέθμια κεῖται.

## I 1361 / C cap. Κ 2, 37

Ἐκ τῶν Ἐπῶν·

Ἄλλοι μὲν εὐπλοοῦσι τῶν θεῷ φίλων,
Ἄλλοι δὲ δυσπλοοῦσιν, οὐδὲν χείρονες.
Τίς οἶδεν τούτων τοὺς λόγους, πλήν σου, λόγε;

**3** ὑψόσ’ ἀείρει] cf. e. g. Hom., *Il.*, X, 465

**3 – 4 I 1360** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 7–8 (PG 37, 578, 11–12) **7 – 9 I 1361** Gregorius Nazianzenus, *Carmina*, II,1,23 *(In secessionem)*, 1–3 (PG 37, 1282, 12–14)

**2 – 4 I 1360** C (214r[28]29–30); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R **6 – 9 I 1361** C (214v[1] 1–3); V$^{E}$ cap. Κ 1, 20; V$^{W}$ cap. Κ 1, 20; V$^{O}$ cap. Κ 1, 20; V$^{Ph}$ cap. Κ 1, 20; P cap. Κ 9, 20–21; M cap. Κ 9, 20–21; *deest in* H$^{II}$ H$^{I}$ L$^{b}$ R; PG 96, 68, 47–49

**I 1361** (a) C (b) Τοῦ Θεολόγου V Τοῦ] *om.* V$^{W}$ (c) Τοῦ Θεολόγου / Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φιλοπτωχίας PM *(cf. infra, app. crit. txt.)* Τοῦ αὐτοῦ] *om.* P

**3** ὑψόσ’] *scripsimus (ed.)*, ὕψος C **7** εὐπλοοῦσι] εὐπαθοῦσι *(*-ου- P*)* PM θεῷ φιλῶν V$^{E}$, θεῶ φιλων P, θεοφιλῶν V$^{W}$V$^{Ph}$, θεοφίλων M **8** χείρονες] *hic caesura in* PM

## I 1362 / C cap. K 2, 38

Τοῦ ἁγίου Ἰωάννου, τοῦ χρυσοστόμου, ἐκ τοῦ πρὸς Σταγείριον α′·

Ἓν μόνον πεπεῖσθαι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται παρὰ θεοῦ, τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μήτε ἀγνοοῦντας ἀσχάλλειν ἢ ἀθυμεῖν. Οὔτε γὰρ δυνατὸν ταῦτα εἰδέναι, οὔτε συμφέρον, τὸ μὲν διὰ τὸ θνητοὺς εἶναι, τὸ δὲ διὰ τὸ ταχέως εἰς ἀπόνοιαν αἴρεσθαι.

## I 1363 / C cap. K 2, 39

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας·

Οὐ προσήκει ἡμῖν ἑκάστου τῶν γινομένων παρὰ θεοῦ, τὴν ἀπόδειξιν ἀπαιτεῖν, ἐπεὶ χαλεπωτέρα γίνεται τῆς ἀγνοίας ἡ τοιαύτη γνῶσις, ὡς διατοῦτο δυσωπουμένου τοῦ νοῦ ὅτι μανθάνοι, ἄλλως δὲ οὐδὲ καταδεξαμένου πρὸς δικαίαν οἰκονομίαν οὐδὲν ὧν διοικεῖ ὁ θεός. Βέλτιον δὲ ἡ πρὸς θεὸν πίστις τε καὶ διάθεσις, εἰ καὶ δίχα τοῦ καθορᾶν τὸν νοῦν τῶν πραττομένων θαρσοίη τῇ τοῦ διοικοῦντος ὀρθότητι, ἐπείτοι τὸ δι’ ἀποδείξεων πανταχοῦ προσβιβάζεσθαι ἀπιστία σαφὴς μᾶλλον ἢ πίστις ἂν εἴη. Αὐτίκα οὐδὲ φίλους

---

**3 – 7** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 18.12./13. (ed. Ihm, p. 434)

---

**3 – 7 I 1362** Iohannes Chrysostomus, *Ad Stagirium a daemone vexatum*, I, 7 (PG 47, 441, 55 – 442, 2) **10 – 845, 8 I 1363** Titus Bostrensis, *Contra Manichaeos*, II, 43, 18–34 (ed. Roman/Schmidt, p. 191–193 = Extrait 5 [ed. Declerck, p. CXXXII–CXXXIII])

---

**2 – 7 I 1362** C (214v[4]5–10); $V^{E}$ cap. K 1, 23; $V^{W}$ cap. K 1, 23; $V^{O}$ cap. K 1, 23; $V^{Ph}$ cap. K 1, 23; P cap. K 9, 24; M cap. K 9, 24; R cap. K 23, 29; *deest in* $H^{II}$ $H^{I}$ $L^{b}$; PG 96, 69, 13–18 **9 – 845, 8 I 1363** C (214v[10–11]11–215r2); *deest in* $H^{II}$ V $H^{I}$ $PML^{b}$ R

---

**I 1362** (a) C PM R Τοῦ – Ἰωάννου] *om.* PM R ἐκ τοῦ] *om.* PM πρὸς] εις *(sic)* M ταγείριον C, σταγηριον M, ταγήριον P α′] *om.* C M R (b) Τοῦ Χρυσοστόμου $V^{W}$ (c) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ (d) *s. a.* $V^{Ph}$

---

**3** πεισθῆναι *(*-ει- *e corr.* $V^{W}$, -η- P*)* $V^{W}$ PM R συμφερόντων $V^{O}$ πάντα $V^{W}$ **4** θεοῦ] θεῷ R, *praem.* τοῦ M μὴ δὲ R **5** ἀσχάλλην M, ἀσχάλλει $V^{O}$, ἀσχάλειν *(*-α- P*)* P R δυνατὸν] *post* εἰδέναι *transpos.* C ταῦτα] πάντα R **6** εἶναι] *add.* ἡμᾶς $V^{Ph}$ **6 – 7** διάνοιαν *(*δια- P*)* $V^{W}$ P **12** διατοῦτο] *correximus (cf. ed.)*, διὰ τούτου C

γνησίους πολλοὶ περιεργάζονται, τῷ ἀνεξετάστῳ τῆς συνουσίας τὸ γνήσιον νέμοντες, ὡς ῥαδίως ἐπ' ἀπιστίᾳ διαβαλλόμενοι, εἰ μηδέποτε τὸ θαρσεῖν τούτοις μετά γε τὴν πεῖραν παρέχοιντο. Οὕτω δὴ καὶ ὁ θεὸς μάλιστα βουλόμενος ἡμᾶς διακεῖσθαι πρὸς αὐτὸν γνησίως, οὐχ' ἅπασαν τῆς ἑαυτοῦ προνοίας σαφηνίζει τὴν ἐνέργειαν – ἐθέλει γὰρ ἡμᾶς μᾶλλον πιστεύειν ἢ ἀπιστεῖν αὐτῷ –, οὐ μὴν οὐδ' ἅπασαν ἀποκρύπτει, ἀλλὰ δι' ἐνίων ὑποδειγμάτων ὑπερείδει τρόπον τινὰ τὸν ἡμέτερον νοῦν.

## I 1364 / C cap. K 2, 40

Ἐκ τοῦ αὐτοῦ·

Οὐκ ἐχρῆν δέ, ὡς ἔοικεν, βατὰ τοῖς πᾶσιν ὑπάρχειν τῆς τοῦ θεοῦ σοφίας τὰ τεκμήρια, καὶ τὸν ἄρρητον καὶ ἀκατάληπτον νοῦν πάντη γυμνὸν εἶναι ἀνθρώποις, ὅπου γε καὶ βασιλέως ἀνθρώπου καὶ ἄρχοντος ἔστιν ὅτε τὰ πλεῖστα τῶν βουλευμάτων κέκρυπται, ὡς καὶ τὸ πραττόμενον ἄδηλον εἶναι ὅτῳ λόγῳ πράττεται. Οὐ τοίνυν θαῦμα, εἰ ἄνθρωποί γε μὴ χωροῦσιν ὅλως τῆς διοικήσεως τοῦ θεοῦ τὸν λόγον· οἷς ἁρμόττει καὶ δίχα τοῦ πολυπραγμονεῖν, ὑπείκειν τε καὶ ἡσυχάζειν καὶ ἥκιστα ἀνταίρειν κατὰ τῆς ἀρρήτου διοικήσεως. Πολλάκις γὰρ οὐδὲ τεχνίτην εἴτουν οἰκοδομίας ἢ ναυπηγίας ἢ χαλκευτικῆς ἔμπειρον αἰδούμενοι περιεργαζόμεθα, ποιοῦντά γε τὸ οἰκεῖον ἕκαστον, ἀλλὰ τῇ πείρᾳ καταπιστεύσαντες ἐκδεχόμεθα τὸ ἔργον ἰδεῖν· ἔστιν δὲ ὅτε καὶ σφαλλομένων οὐκ ἐπαισθανόμεθα. Τί δ' ἂν εἴποιμεν περὶ τῆς ὑπὲρ πάντα νοῦν σοφίας τοῦ θεοῦ, ἣν προσῆκεν, καὶ νοοῦντάς τε καὶ μὴ νοοῦντας, ἐκπλήττεσθαί τε καὶ τιμᾶν;

**11 – 846, 4 I 1364** Titus Bostrensis, *Contra Manichaeos*, II, 48, 7 – 49, 5 (ed. Roman/Schmidt, p. 205–207 = Extrait 6a [ed. Declerck, p. CXXXIII–CXXXIV])

**10 – 846, 4 I 1364** C (215r[2]2–25); R cap. K 23, 30; *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$; PG 96, 529, 13–36

**I 1364** (a) C (b) Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας R

**11** δέ] *om.* R τῆς] *om.* R **12** σοφίας] *om.* R **13** γυμνὸν] γνώριμον R **14** κρύπτεται R **15** πραττομενων R$^{a. c.}$ ὅτῳ] *correximus (ed.)*, ὃ τῶ C R **16** όλως C, όλης C$^{mg.}$, ὅλης *ed.* **18** ὑπείκειν] *praem.* καὶ R ἀντέρειν C$^{a. c.}$, ἀντέρεῖν C$^{p. c.}$ **19** τεχνήτην C **24** ἣν] ἢ R

Εἰ δέ τις διὰ τὸ μὴ καταλαμβάνειν τὸν λόγον τῶν πλειόνων πρὸς τοῦ θεοῦ γινομένων, ἐκπέσοι πρὸς ἀτοπίαν τῆς <κατὰ> τοῦ θεοῦ δόξης, ἀθλιώτατος καὶ λίαν ἀνόητος ὁ τοιοῦτος, ὡς αὐτῇ γε τῇ τυφλώσει τῆς ἰδίας διανοίας ὁδηγῷ χρώμενος.

## <I suppl. 414–416 / V cap. K 1, 24–26>

## I 1365 / C cap. K 2, 41

Φίλωνος, ἐκ τοῦ περὶ †τοῦ νήψας ὁ νοῦς† εὔχεται·

Μήποτε ἰδὼν τινὰ τῶν φαύλων οἷς ἂν ἐπιθῆται πᾶσιν εὐμαρῶς διεξιόντα, θαυμάσῃς ὡς κατορθοῦντα· τοὐναντίον δὲ ὡς ἀποτυγχάνοντα οἰκτίζου, ὅτι ἀφορίᾳ μὲν ἀρετῆς, κακίας δὲ εὐφορίᾳ χρώμενος διατελεῖ.

## I 1366 / C cap. K 2, 42

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ προνοίας·

Μὴ τοσοῦτον ψευσθείῃς τῆς ἀληθείας, <ὡς> εὐδαίμονά τινα τῶν φαύλων εἶναι νομίσαι, κἂν πλουσιώτερος μὲν ᾖ Κροίσου, Λυγκέως δὲ ὀξυωπέστερος ἢ τοῦ Κροτωνιάτου Μίλωνος παλαιστρι-

---

**5 I suppl. 414–416** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**8 – 11 I 1365** PHILO IUDAEUS, *De sobrietate*, re vera *De confusione linguarum*, 167 (ed. Wendland, p. 261, 14–17) **14 – 847, 6 I 1366** PHILO IUDAEUS, *De providentia II* (ed. Aucher, p. 55 [arm. et lat.]; Colson, frg. 2, 7–8, p. 462)

---

**7 – 11 I 1365** C (215r[25–26]26–30); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R **13 – 847, 6 I 1366** C (215v[1]1–12); *deest in* H$^{II}$ V H$^{I}$ PML$^{b}$ R

---

**I 1365** †τοῦ – νοῦς†] *cruces apposuimus*, *sic* C, ὧν νήψας ὁ Νῶε *legendum videtur (cf. Phil. Iud., De sobrietate,* titulus [ed. Wendland, p. 215]*)*

---

**2 – 3** ἀτοπίαν – δόξης] ἀτόπους κατὰ θεοῦ δόξας *ed.* **2** κατὰ] *supplev. Declerck (ed. gr. et syr.)* **14** ὡς] *supplevimus (ed.)*, *om.* C

κώτερος, καλλίων δὲ Γανυμήδους. †Ὅτ᾽ ἂν† γὰρ ἴδιον δαίμονα, λέγω δὲ τὸν ἑαυτοῦ νοῦν, μυρίων ὅσων δεσποτῶν δοῦλον ἀποφήνας, ἔρωτος, ἐπιθυμίας, ἡδονῆς, φόβου, λύπης, ἀφροσύνης, ἀκολασίας, δειλίας, ἀδικίας, οὐκ ἂν εἶναι ποτὲ δύναιτο εὐδαίμων, κἂν οἱ πολλοί, σφαλλόμενοι κρίσεως ἀληθοῦς, νομίσωσιν, δεκασθέντες ὑπὸ κακοῦ διδύμου, τυφλοῦ καὶ κενῆς δόξης.

---

**1** καλλίων] *correximus (ed.)*, κάλλιον C  Γανυμήδους] *correximus (ed.)*, γανυμίδους C  †Ὅτ᾽ ἂν†] *cruces apposuimus*, *sic* C, ὃν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν κάλλεος εἵνεκα οἷο *(= Hom., Il., XX, 234–235)*. τὸν *ed.*  γὰρ] γοῦν *ed.*

# Στοιχεῖον Λ

**Τίτλος αʹ Περὶ λαοῦ τῶν Χριστιανῶν, ὅτι εὐπειθὴς καὶ πιστὸς τὰ πρὸς τὸν θεόν.**

**δʹ Περὶ Χριστιανισμοῦ καὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας.**

**ζʹ Περὶ Χριστιανισμοῦ καὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας.**

## I 1367 / C cap. Λ 1, 1

Ἀπὸ τῆς Γενέσεως·

Ἐδέετο δὲ Ἰσαὰκ κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν· ἐπήκουσεν δὲ αὐτοῦ ὁ θεός, καὶ ἔλαβεν ἐν γαστρὶ Ῥεβέκκα ἡ γυνὴ αὐτοῦ. Ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ, εἶπεν δέ· Εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἱνατί μοι τὸ ζῆν; Ἐπορεύθη δὲ πυθέσθαι παρὰ κυρίου, καὶ εἶπεν κύριος αὐτῇ· Δύο ἔθνη ἐν τῇ γαστρί σου εἰσίν, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

---

**8 – 14 I 1367** Gen. 25, 21–23

---

**1 Stoicheion** C$^{txt}$ (215v13) C$^{pin}$ **2 – 3 Titlos (a)** C (215v13–15) A$^{II\ pin}$; *deest in* H$^{II}$A$^{II\ txt}$ **4 Titlos (b)** V *(sub littera* X*)*; PG 96, 428, 33–34 **5 Titlos (c)** PML$^{b\ pin}$ R *(sub littera* X*)*; *deest in* L$^{b\ txt}$; PG 96, 541, 4–5 **7 – 14 I 1367** C (215v[15]16–24); R cap. X 6, 1; *deest in* H$^{II}$ V PML$^{b}$

---

**1 Stoicheion** Λ] *scripsimus*, λαμβδα C$^{pin}$, λάμδα C$^{txt}$ **2 – 3 Titlos (a)** **2** Τίτλος] *om.* A$^{II\ pin}$ αʹ] *propt. mg. resect. non liquet in* A$^{II\ pin}$ *(*αʹ *secund. ser.)* **4 Titlos (b)** δʹ] ζʹ V$^{W\ pin}$, τίτλος ζʹ V$^{W\ txt}$, *om.* V$^{Ph\ pin}$ χρϊστϊανϊσμῶν V$^{O\ txt}$ ἐκκλησίας] κλήσεως V$^{E\ pin}$ V$^{O\ pin}$ V$^{Ph\ pin}$ **5 Titlos (c)** ζʹ] εʹ M$^{txt}$, ςʹ R$^{pin}$, τίτλος ςʹ R$^{txt}$ καὶ – ἐκκλησίας] *om.* M$^{pin}$

---

**I 1367** Ἀπὸ τῆς] *om.* R

---

**8** δὲ] *om.* R **10** παιδάρια R **11** τὸ ζῆν] *sic* R, τοῦ ζῆν C, τοῦτο *LXX*

## I 1368 / C cap. Λ 1, 2

Σχόλιον·

Τὰ αὐτὰ καὶ ἐπὶ τῆς Θάμαρ, τῆς ἐξ Ἰούδα συλλαβούσης, εὑρήσεις ζητῶν μυστικῶς συμβάντα.

## I 1369 / C cap. Λ 1, 3

Δαυῒδ ἐν ψαλμῷ ιζ′·

Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέν μοι,
εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν μου.

## I 1370 / C cap. Λ 1, 4

Ὠσηὲ προφήτου·

Καλέσω τὸν οὐ λαόν μου, λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

---

**3 – 4** Τὰ – συμβάντα] cf. Gen. 38, 27–30

---

**3 – 4 I 1368** *Scholion in Gen. 25, 21–23* **7 – 8 I 1369** Ps. 17, 44$^{3}$–45$^{1}$ **11 – 12 I 1370** Os. 2, 23 (cum app. crit.; deest apud Wahl, *Prophetenzitate*)

---

**2 – 4 I 1368** C (215v[24]24–26); R cap. X 6, 2; *deest in* H$^{II}$ V PML$^{b}$ **6 – 8 I 1369** C (215v[26–27]27–28); R cap. X 6, 3; *deest in* H$^{II}$ V PML$^{b}$ **10 – 12 I 1370** C (215v [28]29–216r1); V$^{E}$ cap. X 4, 1; V$^{W}$ cap. X 6, 1; V$^{O}$ cap. X 4, 1; V$^{Ph}$ cap. X 4, 1; P cap. X 7, 1; M cap. X 7, 1; R cap. X 6, 4; *deest in* H$^{II}$ L$^{b}$; PG 96, 428, 35–36

---

**I 1369** (a) C (b) Ψαλμοῦ ιζ′ R **I 1370** ὡσηὲ C$^{a. c.}$, ωσηέ PM, ὡσιέ V προφήτου] *om.* V PM R

---

**11** οὐ] *om.* V$^{O}$ λαόν μου$^{2}$] λαὸν V$^{Ph}$

## I 1371 / C cap. Λ 1, 5

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, συνάξω τὴν συντετριμμένην καὶ τὴν ἐξωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην· καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπεριμμένην εἰς ἔθνος δυνατόν, καὶ βασιλεύσει κύριος ἐπ᾽ αὐτοὺς ἐν ὄρει Σιὼν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

## I 1372 / C cap. Λ 1, 6

Ἰωὴλ προφήτου·

Ἔσονται εὐαγγελιζόμενοι, οὓς ὁ κύριος προσκέκληται.

## I 1373 / C cap. Λ 1, 7

Σοφονίου προφήτου·

Ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον, διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν. Τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῶν τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσιν θυσίας μοι.

---

**3 – 7 I 1371** Os., re vera Mich. 4, 6–7 (Wahl, *Prophetenzitate*, p. 202–203) **10 I 1372** Ioel 2, 32 (Wahl, *Prophetenzitate*, p. 218) **13 – 17 I 1373** Soph. 3, 8–10 (Wahl, *Prophetenzitate*, p. 246–247)

---

**2 – 7 I 1371** C (216r[1]1–6); R cap. X 6, 5; *deest in* H$^{II}$ V PML$^{b}$ **9 – 10 I 1372** C (216r[7]7–8); R cap. X 6, 6; *deest in* H$^{II}$ V PML$^{b}$ **12 – 17 I 1373** C (216r[8]8–14); R cap. X 6, 7; *deest in* H$^{II}$ V PML$^{b}$

---

**I 1371** (a) C (b) *s. d.* R **I 1372** προφήτου] *om.* R **I 1373** σοφωνίου R προφήτου] *om.* R

---

**4** ἐξωσμένην] ἀπωσμένην R **5** ἀπερριμμένην R$^{p.\,c.}$ **13** Ὑπόμεινόν με] ὑπόμεινον R **13 – 14** εἰς μαρτύριον] *om.* R **14** τὸ – μου] κρῖμα μου R **15** γλωσσῶν R **16** πάντας] *om.* R **17** ποταμοῦ C

## I 1374 / C cap. Λ 1, 8

Μαλαχίου·

Ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν, λέγει κύριος παντοκράτωρ.

## I 1375 / C cap. Λ 1, 9

Σχόλιον·

Τί τηλαυγέστερον τῆς θεϊκῆς ταύτης μαρτυρίας περὶ τῆς τῶν Χριστιανῶν εὐσεβοῦς εἰς θεὸν λατρείας;

## I 1376 / C cap. Λ 1, 10

Ἡσαΐου προφήτου·

Ἰδοὺ ἐγὼ ποιῶ καινά, ἃ νῦν ἀναγγελῶ, καὶ γνώσεσθε αὐτά· καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδόν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς. Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, τὸν λαόν μου, ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι.

---

**14 – 17** Εὐλογήσει – διηγεῖσθαι] cf. infra, I 1383 / C cap. Λ 1, 17

---

**3 – 6 I 1374** Mal. 1, 11 (Wahl, *Prophetenzitate*, p. 273) **9 – 10 I 1375** *Scholion in Mal. 1, 11* **13 – 17 I 1376 *Versio* C R** Is. 43, 19–21 (Wahl, *Prophetenzitate*, p. 397–398)

---

**2 – 6 I 1374** C (216r[14]15–19); *deest in* H$^{II}$ V PML$^{b}$ R **8 – 10 I 1375** C (216r[19]19–21); R cap. X 6, 8; *deest in* H$^{II}$ V PML$^{b}$ **12 – 852, 2 I 1376** C (216r[21]22–28); V$^{E}$ cap. X 4, 3; V$^{W}$ cap. X 6, 3; V$^{O}$ cap. X 4, 3; V$^{Ph}$ cap. X 4, 3; P cap. X 7, 3; M cap. X 7, 3; R cap. X 6, 9; *deest in* H$^{II}$ L$^{b}$; PG 96, 428, 40–42

---

**I 1376** (a) C R (b) *s. a.* V P (c) *s. d.* M

---

**10** εὐσεβοῦς] *post* θεὸν *transpos.* R **15** σηρῖνες R

Ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ ποταμοὺς ἐν τῇ ἐρήμῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, τὸν λαόν μου, ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι.

## I 1377 / C cap. Λ 1, 11

Τοῦ αὐτοῦ·

Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει καὶ ὑλοχαρήσει.

## I 1378 / C cap. Λ 1, 12

Τοῦ αὐτοῦ·

Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εἶπα· Ἰδού εἰμι, ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσάν μου τὸ ὄνομα.

---

**1 – 2 I 1376 *Versio* V PM** Is. 43, 20–21 (Wahl, *Prophetenzitate*, p. 397–398) **5 – 6 I 1377** Is. 35, 1–2 (Wahl, *Prophetenzitate*, p. 376–377) **9 – 11 I 1378** Is. 65, 1 (Wahl, *Prophetenzitate*, p. 468)

---

**4 – 6 I 1377** C (216r[28]28–30); $V^{E}$ cap. X 4, 2; $V^{W}$ cap. X 6, 2; $V^{O}$ cap. X 4, 2; $V^{Ph}$ cap. X 4, 2; P cap. X 7, 2; M cap. X 7, 2; R cap. X 6, 10; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 428, 37–39 **8 – 11 I 1378** C (216r[30]30–216v3); $V^{E}$ cap. X 4, 4; $V^{W}$ cap. X 6, 4; $V^{O}$ cap. X 4, 4; $V^{Ph}$ cap. X 4, 4; P cap. X 7, 4; R cap. X 6, 11; *deest in* $H^{II}$ $ML^{b}$; PG 96, 428, 43–45

---

**I 1377** (a) C (b) Ἡσαΐου V P ησαϊου $V^{W}$ (c) Ἡσαΐου τοῦ προφήτου M ησαϊου *cod.* (d) *s. d.* R **I 1378** (a) C $V^{W\ \text{man. rec.}}$ P R (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**1** Ἔδωκα ἐν] ἔδωκαν ἐν $V^{O}$, ἔδωκεν *(*ἐ- M*)* $V^{W}$ PM ποτῖσαι $V^{W}V^{Ph}$, ποτισαι M, ποτήσαι *(*-ῆ- P*)* $V^{E}V^{O}$ P **5** εὐφρανθήτω C R διψῶσα] *praem.* ἡ M ἔρημος²] *praem.* ἡ *(*η P*)* $V^{E}V^{W\ \text{s. l.}}V^{O}V^{Ph}$ P ἀνθήτω V PM R **6** κρῖνον C $V^{E}V^{Ph}$ $R^{\text{a. c.}}$ ὑλοχαρίσει *(*-ση M*)* V PM **9** ηὐρέθην $V^{E}V^{O}V^{Ph}$ P, ηὐρέθη $V^{W\ \text{a. c. ut videtur}}$ **9 – 10** μὴ ζητοῦσιν] ζητήσουσιν R **10** Ἰδού – εἰμι²] ἰδοὺ *(*ϊ- P*)* εἰμὶ $V^{E}V^{W}V^{Ph}$ P, ἰδοὺ εἰμῒ ἐγὼ $V^{O}$ *(qui cancellav.* ἐγὼ*)* ἐλάλησάν μου *(*ε- P*)* $V^{W}$ P

## I 1379 / C cap. Λ 1, 13

Τοῦ αὐτοῦ·

Ἄξω τυφλοὺς ἐν ὁδῷ, ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους, ἃς οὐκ ᾔδεισαν, ποιήσω πατῆσαι αὐτούς. Ποιήσω αὐτοῖς τὸ σκότος φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. Ταῦτα τὰ ῥήματα, ἃ ποιήσω αὐτοῖς, καὶ οὐκ ἐγκαταλείψω αὐτούς.

## I 1380 / C cap. Λ 1, 14

Τοῦ αὐτοῦ·

Καὶ καλέσει σε τὸ ὄνομα τὸ καινόν, ὃ ὁ κύριος ὀνομάσει αὐτό.

## I 1381 / C cap. Λ 1, 15

Τοῦ αὐτοῦ·

Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

---

**3 – 6 I 1379** Is. 42, 16 (Wahl, *Prophetenzitate*, p. 392) **9 I 1380** Is. 62, 2 (Wahl, *Prophetenzitate*, p. 460–461) **12 – 14 I 1381** Is. 54, 1 (Wahl, *Prophetenzitate*, p. 432)

---

**2 – 6 I 1379** C (216v[3]3–7); R cap. X 6, 12; *deest in* H$^{II}$ V PML$^{b}$ **8 – 9 I 1380** C (216v[7]8–9); R cap. X 6, 13; *deest in* H$^{II}$ V PML$^{b}$ **11 – 14 I 1381** C (216v[9]9–12); V$^{E}$ cap. X 4, 5; V$^{W}$ cap. X 6, 5; V$^{O}$ cap. X 4, 5; V$^{Ph}$ cap. X 4, 5; P cap. X 7, 5; R cap. X 6, 14; *deest in* H$^{II}$ ML$^{b}$; PG 96, 428, 46–48

---

**I 1379** (a) C (b) *s. d.* R **I 1380** (a) C (b) *s. d.* R **I 1381** (a) C (b) *s. a.* V P (c) *s. d.* R

---

**3** ἐν] *om.* R **9** καλέσει σε] κληθήσεται R αὐτό] αὐτῶι R **12** ἡ$^{1}$] ἢ V$^{O}$

## I 1382 / C cap. Λ 1, 16

Τοῦ αὐτοῦ·

Τοῖς δουλεύουσίν μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσιν γὰρ τὸν θεὸν τὸν ἀληθινόν.

## I 1383 / C cap. Λ 1, 17

Τοῦ αὐτοῦ·

Εὐλογήσει με ὁ λαός μου, ὃν περιεποιησάμην τὰς ἀρετάς μου ἐξηγεῖσθαι.

## I 1384 / C cap. Λ 1, 18

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

Ὑμεῖς ἐστὲ γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγέλλητε τοῦ ἐκ σκό-

---

**7 – 8** Εὐλογήσει – ἐξηγεῖσθαι] cf. supra, I 1376 / C cap. Λ 1, 10

---

**3 – 4 I 1382** Is. 65, 15–16 (Wahl, *Prophetenzitate*, p. 472–473) **7 – 8 I 1383** Is. 43, 20–21 (Wahl, *Prophetenzitate*, p. 397–398) **11 – 855, 2 I 1384** I Petr. 2, 9–10

---

**2 – 4 I 1382** C (216v12–14); $V^{E}$ cap. X 4, 6; $V^{W}$ cap. X 6, 6; $V^{O}$ cap. X 4, 6; $V^{Ph}$ cap. X 4, 6; P cap. X 7, 6; R cap. X 6, 15; *deest in* $H^{II}$ $ML^{b}$; PG 96, 428, 49–51 **6 – 8 I 1383** C (216v[14]14–16); $V^{E}$ cap. X 4, 7; $V^{W}$ cap. X 6, 7; $V^{O}$ cap. X 4, 7; $V^{Ph}$ cap. X 4, 7; P cap. X 7, 7; R cap. X 6, 16; *deest in* $H^{II}$ $ML^{b}$; PG 96, 428, 52–53 **10 – 855, 2 I 1384** C (216v[16]16–21); $V^{E}$ cap. X 4, 8; $V^{W}$ cap. X 6, 8; $V^{O}$ cap. X 4, 8; $V^{Ph}$ cap. X 4, 8; P cap. X 7, 8; M cap. X 7, 4; R cap. X 6, 17; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 428, 54 – 429, 3

---

**I 1382** (a) $V^{W}$ R (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P (c) *s. d.* C **I 1383** (a) C (b) *s. a.* V P (c) *s. d.* R **I 1384** (a) C P R Ἐκ τῆς] *om.* R ἐπιστολῆς] καθολικῆς R (b) Ἐκ τῆς Πέτρου $V^{E}V^{O}V^{Ph}$ (c) Πέτρου $V^{W}$ (d) Τοῦ αὐτοῦ M

---

**3** κληθήσεται] βληθήσεται $V^{O}$ **7** λαός μου] λαὸς R **7 – 8** ἐξειγεῖσθαι P, διηγεῖσθαι C R **12 – 855, 2** ὅπως – θεοῦ] *om.* M **12** ἐξαγγέλλεται $V^{E}$, ἐξαγγέλεται $V^{O}V^{Ph\ a.\ c.}$, ἐξαγγέλετε $V^{Ph\ p.\ c.}$, ἐξαγγείλητε $V^{W}$, ἐξαγγείλετε P **12 – 855, 1** ἐκ σκότους] *om.* $V^{E}V^{O}V^{Ph}$

τους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς θεοῦ, οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.

## I 1385 / C cap. Λ 1, 19

Ἐκ τῆς αὐτῆς·

Κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε.

## I 1386 / C cap. Λ 1, 20

Τοῦ αὐτοῦ, ἐκ τῆς β′ ἐπιστολῆς·

Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε, ἵνα διὰ τῶν καλῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιῆσθε. Ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ πταίσητε ποτέ· οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

## I 1387 / C cap. Λ 1, 21

Ἐκ τῆς Ἰωάννου α′ ἐπιστολῆς·

Ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμέν, καὶ οὔπω ἐφανερώθη τί ἐσό-

**5 – 6 I 1385** I Petr. 1, 15 **9 – 13 I 1386** II Petr. 1, 10–11 **16 – 856, 2 I 1387** I Ioh. 3, 2

**4 – 6 I 1385** C (216v[22]22–23); R cap. X 6, 18; *deest in* $H^{II}$ V $PML^{b}$ **8 – 13 I 1386** C (216v[24]24–30); R cap. X 6, 19; *deest in* $H^{II}$ V $PML^{b}$ **15 – 856, 2 I 1387** C ([216v30]217r1–4); $V^{E}$ cap. X 4, 9; $V^{W}$ cap. X 6, 9; $V^{O}$ cap. X 4, 9; $V^{Ph}$ cap. X 4, 9; P cap. X 7, 9; M cap. X 7, 5; *deest in* $H^{II}$ $L^{b}$ R; PG 96, 429, 4–7

**I 1385** (a) C (b) *s. d.* R **I 1386** (a) C (b) Ἐκ τῆς δευτέρας καθολικῆς ἐπιστολῆς R **I 1387** (a) C PM Ἐκ] *om.* P ιωαννου PM ἐπιστολῆς] *om.* PM (b) Ἰωάννου $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

**1** ἡμᾶς $V^{W}$ οἱ ποτε P, ὁ ποτὲ C **2** λαός – δὲ$^{1}$] *om.* $V^{O}$ **10** ποιῆσθε] *scripsimus (ed. app. crit.)*, ποιεῖσθαι C, ποιεῖσθε R **11** πταίσητέ ποτε R **16** θεοῦ τέκνα ἐσμὲν V P

μεθα. Οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν.

## I 1388 / C cap. Λ 1, 22

Ἐκ τῆς αὐτῆς·

Ὁ ἔχων τὸν υἱόν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.

## I 1389 / C cap. Λ 1, 23

Σχόλιον·

Δίελθε τὸν Περὶ Χριστοῦ τίτλον, ἐν τῷ Χ στοιχείῳ, καὶ εὑρήσεις χρήσεις ἁρμοζούσας καὶ ἐνταῦθα πολλάς.

## I 1390 / C cap. Λ 1, 24

Τοῦ ἁγίου Ἰγνατίου, ἐκ τῆς πρὸς Μαγνησίους ἐπιστολῆς·

Πρέπον ἐστὶν μὴ μόνον ἀκούειν Χριστιανούς, ἀλλὰ καὶ εἶναι.

---

**9** Περὶ – στοιχείῳ] cf. infra, I 1743–1852 / C cap. X 3, 1–111

---

**5 – 6 I 1388** I Ioh. 5, 12 **9 – 10 I 1389** *Scholion* **13 I 1390** IGNATIUS ANTIOCHENUS, *Epistula ad Magnesios*, 4 (ed. Fischer, p. 164, 4–5); Holl, n° 49, 6–7

---

**4 – 6 I 1388** C (217r[4]4–5); *deest in* H$^{\mathrm{II}}$ V PML$^{\mathrm{b}}$ R **8 – 10 I 1389** C (217r[5]6–7); *deest in* H$^{\mathrm{II}}$ V PML$^{\mathrm{b}}$ R **12 – 13 I 1390** C (217r[8]9–10); R cap. X 6, 20; *deest in* H$^{\mathrm{II}}$ V PML$^{\mathrm{b}}$; PG 96, 541, 7–8

---

**1** ἐσόμεθα αὐτῶ ὅμοιοι V$^{\mathrm{W}}$ **1 – 2** ὀψώμεθα V$^{\mathrm{E}}$V$^{\mathrm{O}}$V$^{\mathrm{Ph\ a.\ c.}}$ **13** καὶ] *om.* R

## I 1391 / C cap. Λ 1, 25

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ Χριστιανισμός, ὅτε μισεῖται τῷ κόσμῳ.

## I 1392 / C cap. Λ 1, 26

Τοῦ αὐτοῦ, ἐκ τῆς πρὸς Πολύκαρπον ἐπιστολῆς·

Χριστιανὸς ἑαυτοῦ ἐξουσίαν οὐκ ἔχει, ἀλλὰ τῷ θεῷ σχολάζει.

## I 1393 / C cap. Λ 1, 27

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς μθʹ ἐπιστολῆς·

Ἡ περὶ τοῦ πῶς [δὲ] χρὴ ζῆν τὸν Χριστιανὸν διδασκαλία οὐ τοσοῦτον δεῖται λόγου, ὅσον καθημερινοῦ ὑποδείγματος.

---

**3 – 4 I 1391** Ignatius Antiochenus, *Epistula ad Romanos*, 3. 2 (ed. Fischer, p. 186, 1–2); Holl, n° 60 **7 I 1392** Ignatius Antiochenus, *Epistula ad Polycarpum*, 7. 3 (ed. Fischer, p. 222, 10–11); Holl, n° 76 **10 – 11 I 1393** Basilius Caesariensis, *Epistulae* (μθʹ), CL, 4, 8–10 (ed. Courtonne, II, p. 75)

---

**2 – 4 I 1391** C (217r[10]11–12); *deest in* $H^{II}$ V $PML^{b}$ R **6 – 7 I 1392** C (217r[12–13]13–14); $V^{E}$ cap. X 4, 10; $V^{W}$ cap. X 6, 10; $V^{O}$ cap. X 4, 10; $V^{Ph}$ cap. X 4, 10; P cap. X 7, 10; M cap. X 7, 6; R cap. X 6, 21; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 429, 8–9 **9 – 11 I 1393** C (217r[15]16–18); R cap. X 6, 22; *deest in* $H^{II}$ V $PML^{b}$

---

**I 1392** (a) C R ἐπιστολῆς] *om.* R (b) Τοῦ ἁγίου Ἰγνατίου PM ϊγνατίου P, ϊγνατιου M (c) Ἰγνατίου $V^{W}$ ἰγνατ *cod.* (d) Τοῦ αὐτοῦ $V^{E}$ (e) *s. a.* $V^{O}V^{Ph}$ **I 1393** ἐκ – ἐπιστολῆς] *om.* R

---

**3** ου πλεισμονης $C^{mg.}$ **7** σχολάζειν *(*-α- M*)* PM **10** δὲ] *seclusimus (ed.), sic* $C^{p.\ c.}$ R, δεῖ $C^{a.\ c.\ ut\ videtur}$

## I 1394 / C cap. Λ 1, 28

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τῶν διαλέξεων·

Τὸ ἔργον τοῦ Χριστιανοῦ οὐδὲν ἄλλο ἐστὶν ἢ μελετᾶν ἀποθνήσκειν.

## I 1395 / C cap. Λ 1, 29

Κλήμεντος τοῦ Ἀλεξανδρέως, ἐκ τοῦ α′ παιδαγωγοῦ·

Καθαρευτέον οὐδὲν ἧττον ἐν ταῖς προφοραῖς τῶν λόγων †ἢ σάββατα† εἶναι τὰ ὦτα τῶν Χριστῷ πεπιστευκότων.

---

**3 – 4** cf. Plat., *Phaed.*, 67e6

---

**3 – 4 I 1394** (Ps.-)Irenaeus Lugdunensis, *Sermones*, locus non repertus (Fragmenta varia graeca, XI [ed. Harvey, p. 480]); Holl, n° 176 **7 – 8 I 1395** Clemens Alexandrinus, *Paedagogus*, re vera II. Cap. VI. 51, 2 (ed. Stählin/Treu, p. 188, 13–14); Holl, n° 196

---

**2 – 4 I 1394** C (217r[18–19]19–20); $V^{E}$ cap. X 4, 11; $V^{W}$ cap. X 6, 11; $V^{O}$ cap. X 4, 11; $V^{Ph}$ cap. X 4, 11; P cap. X 7, 11; M cap. X 7, 7; R cap. X 6, 23; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 429, 10–11 **6 – 8 I 1395** C (217r[20–21]22–24); *deest in* $H^{II}$ V PM$L^{b}$ R

---

**I 1394** ειρηναίου C **I 1395** α′] *sic* C, β′ *exspectav.*

---

**3** οὐδὲν ἄλλό ἐστιν R, οὐδέν *(*ου- M*)* ἐστιν ἄλλο *(*ἀ- M*)* $V^{E}V^{W}V^{Ph}$ M, οὐδὲν ἐστὶν ἄλλο $V^{O}$, οὐδὲν ἔστιν ἄλλο P μελετᾶν] *praem.* τὸ $V^{E}V^{O}V^{Ph}$ **7 – 8** †ἢ σάββατα†] *cruces apposuimus*, *sic* C, αἷς ἄβατα *ed.* **8** εἶναι] εἶναι χρὴ *ed.* Χριστῷ] ἐν Χριστῷ *ed.*

## I 1396 / C cap. Λ 1, 30

Τοῦ αὐτοῦ, ἐκ τοῦ β′ παιδαγωγοῦ·

Καθόλου ὁ Χριστιανὸς ἠρεμίας καὶ ἡσυχίας καὶ γαλήνης καὶ εἰρήνης οἰκεῖος ἐστίν.

## I 1397 / C cap. Λ 1, 31

Ἐκ τοῦ αὐτοῦ·

Ἐπιστήμη τίς ἐστιν ἡ Χριστιανικὴ θεοσέβεια· ὄνπερ δὴ τρόπον ἑκάστης ἐπιστήμης ἴδιοι λόγοι εἰσίν, καθ' οὓς ἀναλαμβάνοντι περιγίνεται τὸ κατ' αὐτὰς ἐπάγγελμα, οἷον ῥητορικὴ μέν, ἀπὸ τῶν ῥητορικῶν λόγων, ἰατρικὴ δέ, ἀπὸ τῶν ἰατρικῶν, οὕτως καὶ ἡ Χριστιανικὴ ἐπιστήμη ἀπὸ τῶν κατ' αὐτὴν λόγων περιγίνεται· ἴδιοι γὰρ καὶ οἱ Χριστιανικοὶ λόγοι εἰσίν. Ὥσπερ οὖν οὐκ ἔστιν τοὺς ῥητορικοὺς λόγους ἀναλαμβάνοντα ἰατρὸν γενέσθαι, ἢ τοὺς ἰατρικούς, ῥήτορα, οὕτως οὐδὲ Χριστιανὸν ἀπ' ἄλλων λόγων ἢ ἀπὸ τῶν Χριστιανῶν. Διὸ φημὶ τοὺς βουλομένους Χριστιανοὺς εἶναι δεῖν μόνους τοὺς τοῦ Χριστοῦ λόγους ἀναλαμβάνειν, καὶ μὴ δι' ἑτέρων ζητεῖν τοῦτό γε αὐτοῖς περιγενέσθαι.

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 72.9. (ed. Ihm, p. 944)

---

**3 – 4 I 1396** Clemens Alexandrinus, *Paedagogus*, II. Cap. VII. 60, 5 (ed. Stählin/Treu, p. 193, 29–30); Holl, n° 202 **7 – 17 I 1397** Clemens Alexandrinus, locus non repertus, Fr. 68 (ed. Stählin/Früchtel/Treu, p. 229, 3–13); Holl, n° 317

---

**2 – 4 I 1396** C (217r[24]25–26); $V^{E}$ cap. X 4, 12; $V^{W}$ cap. X 6, 12; $V^{O}$ cap. X 4, 12; $V^{Ph}$ cap. X 4, 12; P cap. X 7, 12; M cap. X 7, 8; R cap. X 6, 24; *deest in* $H^{II}$ $L^{b}$; PG 96, 429, 12–13 **6 – 17 I 1397** C (217r[26]27–217v10); R cap. X 6, 25; *deest in* $H^{II}$ V $PML^{b}$

---

**I 1396** (a) C (b) Τοῦ ἁγίου Κλήμεντος R (c) Εἰρηναίου $V^{W}$ PM εἰρηναιου M, ειρηναι *(sic)* $V^{W}$, ειρινέου P (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1397** (a) C (b) *s. d.* R

---

**4** οἰκεῖός ἐστιν R, οἰκεῖον *(-ν e corr. ut videtur)* ἐστίν $V^{W}$, οἰκειον ἐστιν P **7** ὄνπερ δὴ] ὃν R **8** ἀναλαμβάνοντι] *correximus duce Stählin*, *qui* τῷ ἀναλαμβάνοντι *maluit*, ἀναλαμβάνων C R **9** αὐτοὺς R **12** χριστιανοὶ C **14** ἀπ' ἄλλων] ἀφ' ἑλλήνων R, αφ ελληνων $C^{mg.}$ **16** δεῖν] δεῖ R τοὺς – λόγους] *post* ἀναλαμβάνειν *transpos.* R **16 – 17** μὴ – ἑτέρων] μηδὲν ἕτερον R **17** περιγίνεσθαι R

## I 1398 / C cap. Λ 1, 32

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσης, ἐκ τοῦ περὶ τοῦ ποταπὸν δεῖ εἶναι τὸν Χριστιανόν·

Τοῦ ἀγαθοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ χαρισαμένου ἡμῖν τὴν κοινωνίαν τοῦ προσκυνουμένου ὀνόματος, ὥστε ἡμᾶς ἐκ μηδενὸς ἄλλου τῶν περὶ ἡμᾶς ὀνομάζεσθαι, κἂν πλούσιος ὢν τύχῃ, κἂν εὐπατρίδης, κἂν δυσγενὴς ἢ πένης, πάντων τῶν τοιούτων ὀνομάτων ἀργούντων, μίαν εἶναι κυρίαν κλῆσιν τοῖς εἰς αὐτὸν πεπιστευκόσι, Χριστιανοὺς ὀνομάζεσθαι, ταύτης τοίνυν ἄνωθεν ἡμῖν ἐπικουρηθείσης τῆς χάριτος, ἀναγκαῖον ἂν εἴη πρῶτον μὲν τῆς δωρεᾶς νοῆσαι τὸ μέγεθος, ὥστε κατ᾽ ἀξίαν εὐχαριστῆσαι τῷ τηλικαῦτα ἡμῖν χαρισαμένῳ θεῷ, ἔπειτα δὲ τοιούτους ἑαυτοὺς διὰ τοῦ βίου δεῖξαι, οἵους ἐπιζητεῖ ἡ τοῦ μεγάλου τούτου ὀνόματος δύναμις. Τὸ μὲν οὖν μέγεθος τῆς δωρεᾶς, ἧς διὰ τοῦ συνονομασθῆναι τῷ δεσπότῃ τῆς ζωῆς ἡμῶν ἠξιώθημεν, οὕτως ἂν γένοιτο δῆλον ἡμῖν, εἰ αὐτὸ τὸ σημαινόμενον τοῦ κατὰ Χριστὸν ὀνόματος ἐπιγνοίημεν.

Οὐκοῦν <ἐπειδὴ> τοῦ μεγίστου καὶ θειοτάτου καὶ πρώτου τῶν ὀνομάτων γέγονεν παρὰ τοῦ ἀγαθοῦ δεσπότου ἡμῖν ἡ κοινωνία, ὥστε τοὺς τῇ ἐπωνυμίᾳ τοῦ Χριστοῦ τιμηθέντας, Χριστιανοὺς ὀνομάζεσθαι, ἀναγκαῖον ἂν εἴη πάντα τὰ ἑρμηνευτικὰ τῆς τοιαύτης φωνῆς ὀνόματα καὶ ἐν ἡμῖν καθορᾶσθαι, ὡς μὴ ψευδώνυμον ἐφ᾽ ἡμῖν εἶναι τὴν κλῆσιν, ἀλλ᾽ ἐκ τοῦ βίου τὴν μαρτυρίαν ἔχειν. Οὐ γὰρ ἐκ τοῦ καλεῖσθαί τι τὸ εἶναι γίνεται, ἀλλ᾽ ἡ ὑποκειμένη φύσις, οἵα δ᾽ ἂν οὖσα τύχῃ, διὰ τῆς προσφυοῦς τοῦ ὀνόματος σημασίας γνωρίζεται. Οἷόν τι λέγω· εἰ δένδρῳ τίς ἢ λίθῳ προση-

---

**4 – 17 I 1398** Τοῦ – ἐπιγνοίημεν] GREGORIUS NYSSENUS, *Qualem Christianum esse debeat (De perfectione Christiana ad Olympium monachum)* (ed. Jaeger, p. 173, 15 – 174, 16) **18 – 861, 4** Οὐκοῦν – ἔχουσιν] IBID. (p. 177, 7–21)

---

**2 – 861, 21 I 1398** C (217v[10–12]12–218v5); R cap. X 6, 26; *deest in* H$^{\mathrm{II}}$ V PML$^{\mathrm{b}}$

---

**I 1398** ἐπισκόπου] *om.* R Νύσης] νύσσης C$^{\mathrm{p.\,c.}}$ R τοῦ$^{2}$] *om.* R εἶναι] *post* Χριστιανόν *transpos.* R

---

**6** πλούσιος] πλούσιός τις *ed. (sed cf. app. crit.)* **9** χριστιανοῖς C$^{\mathrm{a.\,c.}}$, τὸ Χριστιανοὺς *ed.* **10** επικυρωθείσης *ed.* **12** τοιούτους ἑαυτοὺς] αὐτοὺς τοιούτους R **15** τῆς – ἡμῶν] ἡμῶν ζωῆς R **18** ἐπειδὴ] *supplevimus (ed.), om.* C R **23** ἡμῶν *ed. (sed cf. app. crit.)* **24** καλεῖσθαι τῒ R **26** οἷον τί R

γορίαν ἀνθρώπου χαρίσεται, ἆρα ἄνθρωπος ἔσται διὰ τὴν κλῆσιν ἢ τὸ φυτὸν ἢ ὁ λίθος; Οὐκ ἔστιν ταῦτα, ἀλλὰ χρὴ πρῶτον εἶναι ἄνθρωπον, εἶθ’ οὕτως ὀνομασθῆναι τῇ προσηγορίᾳ τῆς φύσεως· οὐδὲ γὰρ ἐπὶ τῶν ὁμοιωμάτων αἱ κλήσεις τὸ κύριον ἔχουσιν.

Οὐκοῦν τοὺς ἀπὸ τοῦ Χριστοῦ ἑαυτοὺς ὀνομάζοντας, πρῶτον γενέσθαι χρὴ ὅπερ τὸ ὄνομα βούλεται, εἶθ’ οὕτως ἑαυτοῖς ἐφαρμόσαι τὴν κλῆσιν. Καὶ ὥσπερ εἴ τις διακρίνοι ἀπὸ τοῦ ὄντως ἀνθρώπου τὸν ὁμωνύμως ἐπὶ τῆς εἰκόνος λεγόμενον, ἐκ τῶν †ὁμοιωμάτων† ποιήσει τὴν διάκρισιν – τὸ μὲν γὰρ ζῶον λογικὸν ὀνομάσει, τὸ δὲ ἕτερον ὕλην ἄψυχον, διὰ μιμήσεως ὑπελθοῦσαν τὸ εἶδος –, οὕτως καὶ τὸν Χριστιανόν, τόν τε ὄντως ὄντα καὶ τὸν δοκοῦντα, διὰ τῶν ἐπιφαινομένων τοῖς χαρακτῆρσιν ἰδιωμάτων ἐπιγνωσόμεθα. Χαρακτῆρες δὲ τοῦ ὄντως Χριστιανοῦ πάντα ἐκεῖνα ἐστίν, ὅσα περὶ τὸν Χριστὸν ἐνοήσαμεν, ὧν, ὅσα μὲν χωροῦμεν, μιμούμεθα, ὅσα δὲ οὐ χωρεῖ ἡ φύσις πρὸς μίμησιν, σεβόμεθά τε καὶ προσκυνοῦμεν.

Τὸ γὰρ ἔν τινι μὲν εἶναι τοιοῦτον οἷον τὸ ὄνομα βούλεται, ἐν ἑτέροις δὲ πρὸς τὰ ἐναντία ῥέπειν, οὐδὲν ἕτερόν ἐστιν ἢ εἰς πολεμίου τάξιν αὐτὸν πρὸς ἑαυτὸν διατέμνεσθαι, δι’ ἀρετῆς καὶ κακίας ἐν ἑαυτῷ στασιάζοντα, ἄσπονδον αὐτὸν ἑαυτῷ καὶ ἀσύμβατον τῷ βίῳ γινόμενον.

## <I suppl. 417 / V cap. X 4, 13>

**22 I suppl. 417** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**5 – 16** Οὐκοῦν – προσκυνοῦμεν] Ibid. (p. 178, 2–14) **17 – 21** Τὸ – γινόμενον] Ibid. (p. 180, 2–7)

**1** χαρίσηται C, χαρίσαιτο *ed. (sed cf. app. crit.)* **2** τοῦτο R πρῶτον] πρὸ πάντων μὲν R **4** οὐδὲ] οὐ R **7** ὄντος C **8 – 9** †ὁμοιωμάτων†] *cruces apposuimus*, *sic* C, ὀνομάτων R, ἰδιωμάτων *ed.* **11** ὄντως] οὕτως C **15 – 16** σεβόμεθά τε] σεβόμεθα R **18** ῥέπειν] βλέπειν R *(sed cf. app. crit.)* ἕτερον ἐστὶν R **19** δι’] διὰ R **20** ἐν] *om.* R

# Στοιχεῖον Μ

**Τίτλος α′ Περὶ μισοπονηρίας θεοῦ.**

**β′ Περὶ μισοπονηρίας καὶ τῶν ἀπαρεσκόντων θεῷ.**

**ε′ Περὶ μισοπονηρίας καὶ τῶν ἀπαρεσκόντων θεῷ.**

## I 1399 / C cap. M 1, 1

Ἀπὸ τῆς Γενέσεως·

Ἰδὼν κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τίς διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, καὶ ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη. Καὶ εἶπεν ὁ θεός· Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς.

## I 1400 / C cap. M 1, 2

Τῆς αὐτῆς·

Ἔφθάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. Καὶ εἶδε κύριος ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. Καὶ εἶπεν κύριος ὁ θεὸς τῷ Νῶε· Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐνώπιόν μου, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ᾽ αὐτῶν, καὶ ἰδοὺ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν.

---

**7 – 11 I 1399** Gen. 6, 5–7 **14 – 18 I 1400** Gen. 6, 11–13

---

**1 Stoicheion** C$^{txt}$ (218v6) C$^{pin}$ **2 Titlos (a)** C (218v6–7) **3 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$; PG 96, 104, 20–21 **4 Titlos (c)** PML$^{b\ pin}$ R; *deest in* L$^{b\ txt}$ **6 – 11 I 1399** C (218v[7]8–14); *deest in* V H$^{I}$ PML$^{b}$ R **13 – 18 I 1400** C (218v[14]15–21); *deest in* V H$^{I}$ PML$^{b}$ R

---

**1 Stoicheion** M] *scripsimus*, μυ C **3 Titlos (b)** β′] *praem.* τίτλος V$^{W\ txt}$, *om.* V$^{Ph\ pin}$ *(β′ secund. ser.), propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(β′ secund. ser.)* **4 Titlos (c)** ε′] ια′ R$^{pin}$, τίτλος ια′ R$^{txt}$, *om.* P$^{txt}$ *(ε′ secund. ser.)* μισοπονηρίας] *add.* θεοῦ R καὶ – θεῷ] *om.* M θεῷ] αὐτῷ R

---

**15** εἶδε] *scripsimus*, ἴδε C

## I 1401 / C cap. M 1, 3

Ἐκ τῆς αὐτῆς·

Οἱ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐνώπιον τοῦ θεοῦ σφόδρα.

## I 1402 / C cap. M 1, 4

Καὶ μετ᾽ ὀλίγα·

Καὶ κύριος ὁ θεὸς ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον, καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις πάσας καὶ πᾶσαν τὴν περίχωρον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσιν, καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς. Καὶ ἐπέβλεψεν ἡ γυνὴ Λὼτ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.

## I 1403 / C cap. M 1, 5

Ἐκ τῆς Ἐξόδου·

Ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, ἐπέβλεψεν κύριος εἰς τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης, καὶ συνετάραξεν τὴν παρεμβολὴν τῶν Αἰγυπτίων, καὶ συνέδησεν τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγεν αὐτοὺς μετὰ βίας. Καὶ εἶπον οἱ Αἰγύπτιοι· Φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ· ὁ γὰρ κύριος πολεμεῖ περὶ αὐτῶν τοὺς Αἰγυπτίους. Καὶ ἐξετίναξεν κύριος τοὺς Αἰγυπτίους μέσον τῆς θαλάσσης, καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψεν τὰ ἅρματα καὶ τοὺς ἀναβάτας καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς.

**3 – 4 I 1401** Gen. 13, 13 **7 – 11 I 1402** Gen. 19, 24–26 **14 – 19 I 1403** Ἐγενήθη – Αἰγυπτίους] Ex. 14, 24–25 **19 – 22** Καὶ – εἷς] Ibid. 14, 27–28

**2 – 4 I 1401** C (218v[22]22–23); *deest in* V H$^{I}$ PML$^{b}$ R **6 – 11 I 1402** C (218v[24]24–219r1); *deest in* V H$^{I}$ PML$^{b}$ R **13 – 22 I 1403** C (219r[1]2–12); R cap. M 11, 1; *deest in* V H$^{I}$ PML$^{b}$

**14** δὲ] *om.* R φυλακῇ – ἑωθινῇ] ἑωθινῇ φυλακῇ R **15** καὶ$^{1}$] *om.* R **19** περὶ] ὑπὲρ R **19 – 20** κύριος$^{2}$] *add.* ὁ θεὸς R

## I 1404 / C cap. Μ 1, 6

Ἀπὸ τοῦ Ἰώβ·

Ἄτοπα οὐ βούλεται κύριος ἰδεῖν,
ἐναντίον αὐτοῦ οὐκ εἰσελεύσεται †ὁ κύριος†.

## I 1405 / C cap. Μ 1, 7

Δαυῒδ ἐν ψαλμῷ ε′·

Ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ,
οὐ παροικήσει σοι πονηρευόμενος,
οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.
Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν,
ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος·
ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος.

---

**3 I 1404** Ἄτοπα – ἰδεῖν] Iob 35, $13^{1}$ **4** ἐναντίον – κύριος] Ibid. 13, $16^{2}$ **7 – 12 I 1405** Ps. 5, $5^{1}$–$7^{2}$

---

**2 – 4 I 1404** C (219r[12]13); $V^{E}$ cap. Μ 2, 1–2; $V^{W}$ cap. Μ 2, 1; $V^{O}$ cap. Μ 2, 1; $V^{Ph}$ cap. Μ 2, 1; P cap. Μ 5, 1; M cap. Μ 5, 1; R cap. Μ 11, 2; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 104, 22–23 **6 – 12 I 1405** C (219r[13]14–19); $V^{E}$ cap. Μ 2, 3; $V^{W}$ cap. Μ 2, 2; $V^{O}$ cap. Μ 2, 2; $V^{Ph}$ cap. Μ 2, 2; P cap. Μ 5, 2; M cap. Μ 5, 2; R cap. Μ 11, 3; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 104, 24–25

---

**I 1404** (a) C (b) Ἰώβ $V^{W}V^{O}V^{Ph}$ PM R ϊώβ PM (c) Ἰώβ / *s. a.* $V^{E}$ *(cf. infra, app. crit. txt.)* **I 1405** (a) C PM R ἐν ψαλμῷ] ψαλμοῦ PM, ψαλμὸς R (b) Δαυῒδ $V^{E}V^{W}V^{O}$ (c) *s. a.* $V^{Ph}$

---

**3** κύριος ἰδεῖν] ὁ κύριος ἰδεῖν M, ἰδεῖν *(*ϊ- P*)* ὁ κύριος V P R ἰδεῖν] *hic caesura ut videtur in* $V^{E}$ **4** ἐναντίον – κύριος] *om.* C οὐκ – κύριος] *om.* PM R †ὁ κύριος†] *cruces apposuimus, sic* V, δόλος *legendum videtur (LXX)* **7 – 9** Ὅτι – σου] *om.* $V^{W}$ **7** Ὅτι] *om.* $V^{E}V^{O}V^{Ph}$ PM R **8 – 12** οὐ – κύριος] *om.* R **9 – 12** οὐδὲ – κύριος] *om.* PM **9 – 12** παράνομοι – κύριος] *om.* $V^{E}V^{O}V^{Ph}$ **10** πάντας] *om.* $V^{W}$ **11 – 12** ἀπολεῖς – κύριος] *om.* $V^{W}$

## I 1406 / C cap. M 1, 8

Ἐν ψαλμῷ λʹ·

Ἐμίσησας πάντας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

## <I suppl. 418–426 / V cap. M 2, 4–12>

## I 1407 / C cap. M 1, 9

Ὠσηὲ προφήτου·

Ἀκούσατε ταῦτα, οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα καὶ καταδυναστεύοντες πτωχοὺς ἐπὶ τῆς γῆς, οἱ λέγοντες· Πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ ἀνοίξομεν θησαυροὺς τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ μεγαλύναι στάθμια, καὶ ποιῆσαι ζυγὸν ἄδικον, τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς καὶ πένητας ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ παντὸς γενήματος ἐμπορευσόμεθα; Ὀμνύει κύριος καθʼ ὑπερηφανίας Ἰακώβ· Εἰ ἐπιλησθήσεται εἰς νίκος πάντα τὰ ἔργα ὑμῶν· καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ.

---

**4 I suppl. 418–426** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 I 1406** Ps. 30, $7^{1}$ **7 – 15 I 1407** Os., re vera Am. 8, 4–8 (Wahl, *Prophetenzitate*, p. 191–194)

---

**2 – 3 I 1406** C (219r[20]20–21); $V^{E}$ cap. M 2, 4; $V^{O}$ cap. M 2, 3; $V^{Ph}$ cap. M 2, 3; P cap. M 5, 3; M cap. M 5, 3; *deest in* $V^{W}$ $H^{I}$ $L^{b}$ R; PG 96, 104, 25–27 **6 – 15 I 1407** C (219r[22]22–219v2); *deest in* V $H^{I}$ $PML^{b}$ R

---

**I 1406** (a) C PM Ἐν ψαλμῷ] ψαλμοῦ P, ψαλμός M (b) Δαυῒδ $V^{Ph}$ (c) *s. a.* $V^{E}V^{O}$
**I 1407** Ὠσηὲ] *scripsimus*, ὠσηὲ C

---

**3** διαφυλάττοντας C M ματαιότητα C P **10** μεγαλύναι] *sic acc.* C **13** νίκος] *sic acc.* C

## I 1408 / C cap. M 1, 10

Ἐκ τοῦ αὐτοῦ·

Ἐμίσησα αὐτοὺς διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. Ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς· οὐ μὴ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς.

## I 1409 / C cap. M 1, 11

Ἐκ τοῦ αὐτοῦ·

Ὤμοσεν κύριος καθ' ἑαυτοῦ· Διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ἰακώβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα…

## I 1410 / C cap. M 1, 12

Ἀβδιοῦ προφήτου·

Μετέστησαν τὴν καρδίαν αὐτῶν τοῦ συνιέναι, καὶ εἶδεν κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ ὅτι οὐκ ἦν κρίσις.

## I 1411 / C cap. M 1, 13

Ἀμβακοὺμ προφήτου·

Κύριε, καθαρός σου ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν πονηρά.

---

**3 – 5 I 1408** Os. 9, 15 (Wahl, *Prophetenzitate*, p. 168) **8 – 9 I 1409** Os., re vera Am. 6, 8 (Wahl, *Prophetenzitate*, p. 190) **12 – 13 I 1410** Abd., re vera Is. 59, 15 (Wahl, *Prophetenzitate*, p. 458) **16 I 1411** Hab. 1, 12–13 (pluribus omissis; Wahl, *Prophetenzitate*, p. 233–234)

---

**2 – 5 I 1408** C (219v[3]3–5); *deest in* V H$^{I}$ PML$^{b}$ R **7 – 9 I 1409** C (219v[5]6–8); *deest in* V H$^{I}$ PML$^{b}$ R **11 – 13 I 1410** C (219v[8]9–10); R cap. M 11, 6; *deest in* V H$^{I}$ PML$^{b}$ **15 – 16 I 1411** C (219v[10]11); *deest in* V H$^{I}$ PML$^{b}$ R

---

**I 1410** ἀβδιοὺ C$^{p. c.}$ προφήτου] *om.* R

---

**12** εἶδεν] *scripsimus*, ἴδεν C

## I 1412 / C cap. M 1, 14

Ἡσαΐου προφήτου·

Ἐγώ εἰμι κύριος, ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἅρπαγμα ἐξ ἀδικίας.

## I 1413 / C cap. M 1, 15

Τοῦ αὐτοῦ·

Ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.

## <I suppl. 427 / V cap. M 2, 15>

---

**11 I suppl. 427** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1412** Is. 61, 8 (Wahl, *Prophetenzitate*, p. 460) **7 – 10 I 1413** Is. 1, 14–15 (Wahl, *Prophetenzitate*, p. 284–285)

---

**2 – 4 I 1412** C (219v[12]12–13); $V^{E}$ cap. M 2, 14; $V^{W}$ cap. M 2, 11; $V^{O}$ cap. M 2, 13; $V^{Ph}$ cap. M 2, 13; P cap. M 5, 13; M cap. M 5, 13; E cap. 160, 11; R cap. M 11, 7; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 104, 40–41 **6 – 10 I 1413** C (219v[13]13–17); $V^{E}$ cap. M 2, 15; $V^{W}$ cap. M 2, 12; $V^{O}$ cap. M 2, 14; $V^{Ph}$ cap. M 2, 14; P cap. M 5, 14; M cap. M 5, 14; E cap. 160, 12; R cap. M 11, 8; *deest in* $H^{I}$ $L^{b}$; PG 96, 104, 42–46

---

**7 – 10 Marginalia** Σημείωσαι πάνυ ἀναγκαίαν καὶ ἁρμοδίαν οὖσαν τὴν χρῆσιν τοῖς τὰς λιτὰς ἐπιτελοῦσι μόνον καὶ οὐ διὰ τῶν ἔργων ἐπιστρέφουσιν C *(iuxta locum sequentem scripta, sed ad* I 1413 / C cap. M 1, 15 *spectare videntur)*

---

**I 1412** ησαΐου P, ἡσαϊου M προφήτου] *om.* V PM E R **I 1413** (a) C PM R (b) *s. a.* V E

---

**3** ἐγὼ εἰμὶ $V^{O}$ R ἁρπάγματα *(*ἀ- $V^{E}V^{O}$*)* $V^{E}V^{O}V^{Ph}$ **7** ἐγεννηθητε μοι $P^{a.c.}$ M ἀνοίσω $V^{Ph}$ ἡμῶν $V^{O}$ **8** τὰς – ἐκτείνητε] ἐκτείνητε *(*ἐκτείνετε $R^{a.c.}$*)* τὰς χεῖρας ὑμῶν C R ἐκτείνηται $V^{E}V^{O}V^{Ph}$ **9 – 10** ὑμῶν – εἰσακούσομαι] *om.* C R **9** ἡμῶν $V^{O}$ πληθύνηται $V^{E}V^{O}V^{Ph}$, πληθυνειτε P τὴν] *om.* E **10** πλήρης V, πλῆρις M

## I 1414 / C cap. M 1, 16

Τοῦ Σιράχ·

Οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων,
οἳ ἀπέστησαν ἐν τῇ ἰσχύϊ αὐτῶν·
οὐκ ἐφείσατο περὶ τῆς παροικίας Λώτ,
οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν·
οὐκ ἠλέησεν ἔθνος ἀπωλείας
τοὺς ἐξηρημένους ἐν ἁμαρτίαις αὐτῶν,
καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν,
τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν.
Καὶ εἰ σκληροτράχηλος,
θαυμαστὸν τοῦτο εἰ σωθήσεται.

## <I suppl. 428 / V cap. M 2, 16>

## I 1415 / C cap. M 1, 17

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ οὐκ αἴτιος τῶν κακῶν ὁ θεός·

Τὸ κακὸν οὐκ ἐκ τοῦ θεοῦ, ἐπεὶ καὶ ἰατρὸς ἐξαιρεῖ τὴν νόσον, ἀλλ᾽ οὐχὶ νόσον ἐμβάλλει τῷ σώματι. Πόλεων δὲ ἀφανισμοί, σεισμοί τε καὶ ἐπικλύσεις καὶ ναυάγια καὶ πᾶσαι αἱ πολυάνθρωποι φθοραί, εἴτε ἐκ γῆς, εἴτε ἐκ θαλάσσης, εἴτε ἐξ ἀέρος, εἴτε ἐκ πυρὸς ἢ ἐξ ὁποιασοῦν αἰτίας ἐπιγινόμεναι, εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γίνονται, τὴν πάνδημον πονηρίαν δημοσίαις μάστιξι τοῦ θεοῦ σωφρονίζοντος.

---

**13 I suppl. 428** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 12 I 1414** Sir. 16, $7^1$–$11^2$ (Wahl, *Sirach-Text*, p. 89) **16 – 22 I 1415** Basilius Caesariensis, *Quod deus non est auctor malorum*, 5 (PG 31, 337, 44–53)

---

**2 – 12 I 1414** C (219v[18]18–25); *deest in* V $H^{I}$ $PML^{b}$ R **15 – 22 I 1415** C (219v [26]27–220r4); *deest in* V $H^{I}$ $PML^{b}$ R

---

**8** ἐξηρμένους *LXX (sed cf. app. crit.)* **11** Καὶ εἰ] Κἂν ᾖ εἷς *LXX (sed cf. app. crit.)* **12** σωθήσεται] ἀθῳωθήσεται *LXX* **16** ἐξαιρεῖ] *correximus (ed.)*, ἐξαίρει C

## I 1416 / C cap. M 1, 18

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν·

Οὐδέτερον, θυμοῦ καὶ ὀργῆς, κυρίως λέγεσθαι ἐπὶ θεοῦ εὐσεβές ἐστι παραδέξασθαι, ὅτι τροπικαὶ φωναί. Οὐ γὰρ πάθος θεοῦ, οὐδὲ αὐτῇ τῇ οὐσίᾳ αὐτοῦ συμβεβηκὸς τοῦτο, ἀλλὰ τῇ περὶ ἡμᾶς τοιᾷδε ἐνεργείᾳ θυμὸς προσαγορεύεται.

## I 1417 / C cap. M 1, 19

Φίλωνος, ἐκ τοῦ περὶ κοσμοποιΐας γʹ κεφαλαίου·

Ἡ πρότασις ἐμφαίνει μεταμέλειαν, ἀνοίκειον πάθος θείας δυνάμεως. Ἀνθρώποις μὲν γὰρ ἀσθενεῖς αἱ γνῶμαι καὶ ἀβέβαιοι, ὡς τὰ πράγματα πολλῆς γέμοντα ἀδηλότητος. Θεῷ δὲ οὐδὲν ἄδηλον, οὐδὲ ἀκατάληπτον· ἰσχυρογνωμονέστατος γὰρ καὶ βεβαιότατος. Πῶς οὖν, τῆς αὐτῆς ὑπούσης αἰτίας, ἐπιστάμενος ἐξ ἀρχῆς ὅτι *ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος*, πρῶτον μὲν ἔφθειρεν τὸ γένος κατακλυσμῷ, μετὰ δὲ ταῦτα φησὶν μηκέτι διαφθείρειν, καίτοι διαμενούσης ἐν τῇ ψυχῇ τῆς αὐτῆς κακίας; Λεκτέον οὖν ὅτι πᾶσα ἡ τοιάδε τῶν λόγων ἰδέα περιέχεται ἐν τοῖς νόμοις πρὸς μάθησιν καὶ ὠφέλειαν διδασκαλίας μᾶλλον ἢ πρὸς τὴν φύσιν τῆς ἀληθείας. Διττῶν γὰρ ὄντων κεφαλαίων, ἃ κεῖται διὰ πάσης τῆς νομοθεσίας, ἑνὸς μὲν καθ' ὃ λέγεται

---

**3** θυμοῦ – ὀργῆς] cf. Is. 5, 25 **14 – 15** Gen. 8, 21 **15** πρῶτον – κατακλυσμῷ] cf. ibid. 6, 17 et 7, 6 **15 – 16** μετὰ – διαφθείρειν] cf. ibid. 8, 21–22

---

**3 – 6 I 1416** (Ps.-)Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, V, 181 (PG 30, 424, 11–14) **9 – 870, 11 I 1417** Philo Iudaeus, *De opificio mundi*, III, re vera *Quaestiones in Genesim*, II. 54a (ed. Petit, p. 111–113)

---

**2 – 6 I 1416** C (220r[5]5–10); *deest in* V H$^{I}$ PML$^{b}$ R **8 – 870, 11 I 1417** C (220r [10–11]11–220v10); R cap. M 11, 9; *deest in* V H$^{I}$ PML$^{b}$

---

**I 1417** ἐκ – κεφαλαίου] *om.* R

---

**4** τροπικαὶ] *correximus*, τροπηκαὶ C$^{a. c.}$, τροπὴ καὶ C$^{p. c.}$, τροπικαὶ αἱ *ed.* **5 – 6** ἀλλὰ – ἐνεργείᾳ] ἀλλ' ἡ περὶ ἡμᾶς τοιάδε ἐνέργεια *ed.* **5 – 6** τοιᾷδε] *correximus*, τοιάδε C **10 – 11** ὡς – πράγματα] ὡς τὰ πολλὰ R, ωσταπολλα C$^{mg.}$ **16 – 17** αὐτῆς] τοιαύτης R **18** διδασκαλίαν C **20** ἃ] πρῶτον R καθ' ὃ] καθὼς R

*οὐχ' ὡς ἄνθρωπος ὁ θεός*, ἑτέρου δὲ καθ' <ὃ> *ὡς ἄνθρωπος παιδεύειν* λέγεται *υἱόν*, τὸ μὲν πρότερον τῆς ἀληθείας ἐστίν· ὄντως γὰρ ὁ θεὸς *οὐχ' ὡς ἄνθρωπος*, ἀλλ' οὐδὲ ὡς ἥλιος, οὐδὲ ὡς οὐρανός, οὐδὲ ὡς κόσμος αἰσθητὸς ἢ νοητός, ἀλλ' ὡς θεός, εἰ καὶ τοῦτο θέμις εἰπεῖν. Ὁμοιότητα γὰρ ἢ σύγκρισιν ἢ παραβολὴν οὐκ ἐπιδέχεται τὸ μακάριον ἐκεῖνο, μᾶλλον δὲ μακαριότητος αὐτῆς ὑπεράνω. Τὸ δὲ ὕστερον τῆς διδασκαλίας <καὶ> ὑφηγήσεως τὸ *ὡς ἄνθρωπος*, ἕνεκα τοῦ *παιδεύεσθαι* τοὺς γηγενεῖς ἡμᾶς, ἵνα μὴ τὰς ὀργὰς καὶ τὰς τιμωρίας μέχρι παντὸς ἀποτείνωμεν, ἀσπόνδως καὶ ἀσυμβάτως ἔχοντες. Τὸ οὖν *διανοηθεὶς* ἐπὶ θεοῦ οὐ κυριολογεῖται, τοῦ τὴν γνώμην καὶ τὴν διάνοιαν βεβαιοτάτου.

## I 1418 / C cap. M 1, 20

Τοῦ αὐτοῦ, ἐκ τοῦ β′ τῶν ἐν Γενέσει ζητημάτων·

Ἔνιοι νομίζουσιν μεταμέλειαν ἐμφαίνεσθαι περὶ τὸ θεῖον διὰ τῶν ὀνομάτων, οὐκ εὖ δὲ ὑπονοοῦσιν. Χωρὶς γὰρ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον, οὔτε τὸ *ἐνεθυμήθη*, οὔτε τὸ *ἐνενόησεν* δηλωτικὰ μεταμελείας ἐστίν †τὸ δὲ θεῖον ἄτρεπτον†, ἀλλ' ἀκραιφνοῦς λογισμοῦ περιεσκεμμένου τὴν αἰτίαν, ἧς ἕνεκα ἐποίησεν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.

---

**1** Num. 23, 19[1] **1–2** Deut. 8, 5 **3** Num. 23, 19[1] **7–8** Deut. 8, 5 **10** Gen. 8, 21 **16** Ibid. 6, 6 (ἐνενόησεν] διενοήθη *LXX*)

---

**14–19 I 1418** PHILO IUDAEUS, *Quaestiones in Genesim*, re vera I. 93 (ed. Petit, p. 75–76)

---

**13–19 I 1418** C (220v[10–11]12–18); *deest in* V H$^{I}$ PML$^{b}$ R

---

**I 1418** β′] *sic* C, α′ *exspectav.*

---

**1–3** ἑτέρου – ἄνθρωπος] *om.* R **1** καθ' ὃ ὡς] *coniec. Pitra*, καθὼς C **5** ἀναβολὴν R **7** ὑπεράνω] ὑπεραξίω R καὶ] *tacite supplev. Harris* ὑφηγήσεως] ὑφηγενεσεως C$^{mg.}$, ὑφηγούσης R **8** παιδεῦσαι C **9** ἀποτίνωμεν *coniec. Petit secund. vers. arm. (cf. etiam* *II$^{2}$1272 / T cap. E 6, 4 [SJD VIII/6]*)* **10** οὐ] *om.* C *(et vers. arm.)* **11** καὶ – διάνοιαν] *om.* R **17** †τὸ – ἄτρεπτον†] *cruces apposuimus*, *sic* C R, *seclus. Petit secund. vers. arm.*

## I 1419 / C cap. M 1, 21

Ἐκ τῶν αὐτῶν·

Οὔτε ἐνδυασμὸς οὔτε φθόνος περὶ θεόν, χρῆται δὲ πολλάκις ὀνόμασιν ἐνδυαστικοῖς ἢ διανοητικοῖς, κατὰ ἀναφορὰν τὴν ἐπὶ τὸ *ὡς ἄνθρωπος* κεφάλαιον. Διττὰ γάρ, ὡς πολλάκις ἔφην, ἐστὶν τὰ ἀνωτάτω κεφάλαια, τὸ μὲν *οὐχ᾽ ὡς ἄνθρωπος ὁ θεός*, τὸ δὲ *ὡς ἄνθρωπος παιδεύσει τὸν υἱόν*· τὸ μὲν πρότερον, ἐξουσίας, τὸ δὲ δεύτερον, παιδείας καὶ εἰσαγωγῆς ἐστιν.

## I 1420 / C cap. M 1, 22

Τοῦ αὐτοῦ, ἐκ τῶν ἐν Γενέσει ζητημάτων·

Εἰδώς, φησίν, *ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τίς διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη. Καὶ εἶπεν· Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς.*

Ἴσως τινὲς τῶν ἀνεξετάστων ὑποτοπήσουσι τὸν Νομοθέτην αἰνίττεσθαι ὅτι ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων ὁ δημιουργὸς μετέγνω, κατιδὼν τὴν ἀσέβειαν αὐτῶν, ἧς χάριν αἰτίας ἠβουλήθη διαφθεῖραι σύμπαν τὸ γένος. Ἀλλ᾽ ἴστωσαν ὅτι ταῦτα δοξάζοντες ἐπελαφρίζουσι καὶ ἐπικουφίζουσι τὰ τῶν παλαιῶν ἐκείνων ἁμαρτήματα δι᾽ ὑπερβολὴν τῆς περὶ αὐτοὺς ἀθεότητος. Τί γὰρ ἂν ἀσέβημα μεῖζον γένοιτο τοῦ ὑπολαμβάνειν τὸν ἄτρεπτον τρέπεσθαι;

---

**4 – 5** Deut. 8, 5 et Num. 23, 19[1] **6** Num. 23, 19[1] **6 – 7** ὡς[2] – υἱόν] Deut. 8, 5
**11 – 15** Gen. 6, 5–7

---

**3 – 8 I 1419** PHILO IUDAEUS, *Quaestiones in Genesim*, I. 55a (ed. Petit, p. 54–55)
**11 – 22 I 1420** Εἰδώς – τρέπεσθαι] PHILO IUDAEUS, *Quaestiones in Genesim*, re vera *Quod deus sit immutabilis*, 20–22 (ed. Wendland, p. 60, 12 – 61, 1)

---

**2 – 8 I 1419** C (220v[19]19–26); *deest in* V H[I] PML[b] R **10 – 872, 18 I 1420** C (220v[27]28–221v5); R cap. M 11, 10; *deest in* V H[I] PML[b]

---

**I 1420** ἐκ – ζητημάτων] *om.* R

---

**11** ἐπλήσθησαν R **16** ὑποτοπήσωσι C **20** ἐπελαφρίζουσι] ἐπελαφρύνουσι R

Ὁ γὰρ ἄφθαρτος καὶ μακάριος καὶ τῶν ἀρετῶν καὶ αὐτῆς εὐδαιμονίας ἀνημμένος τὸ κράτος, οὐ χρῆται γνώμης μεταβολῇ· μένει δὲ ἐφ’ οἷς ἐξ ἀρχῆς ἐβουλεύσατο, οὐδὲν αὐτῶν μεταθείς. Ἀνθρώποις μὲν οὖν τὸ εὐμετάβλητον <***> διὰ τὴν ἐν τοῖς ἐκτὸς ἀβεβαιότητα συμβαίνειν ἀνάγκη, ὁ δὲ θεὸς οὐκ ἀψίκορος· ὡς ἐν αὐγῇ γὰρ αὐτῷ καθαρᾷ πάντα ἀρίδηλα.

Τί οὖν ἐστὶν τὸ *Ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησεν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ διενοήθη*; Ἔννοιαν καὶ διανόησιν, τὴν μὲν ἐναποκειμένην οὖσαν νόησιν, τὴν δὲ νοήσεως διέξοδον, βεβαιοτάτας δυνάμεις [γὰρ] ὁ ποιητὴς τῶν ὅλων κληρωσάμενος, ἀεὶ ταύταις τὰ ἔργα αὐτοῦ καταθεᾶται, καὶ τὰ μὲν δὴ μὴ λείποντα τάξιν τῆς †θεαρχίας†, ἐπαινεῖ, τὰ δὲ μεθιστάμενα, τῇ κατὰ λειποτακτῶν ὡρισμένῃ μετέρχεται δίκῃ.

Τί οὖν *ἐνεθυμήθη*; Ὅτι διὰ τὸ εὐαρεστεῖν πεποίηται ὁ ἄνθρωπος, οὐ κατὰ ἀντιστροφὴν διότι ἐποίησεν, ἀλλ’ ὡς μὴ ἐμμεῖναν τὸ ποίημα τῇ εἰς εὐαρέστησιν ποιήσει. Πρὸς οὖν τὸ ποίημα ὁ λόγος ὥσπερ σοφιστὴς διαλογιεῖται, οὐ διότι πεφοίτηκεν ὁ νέος, ἀλλ’ ὅτι προσελθὼν διὰ ῥαθυμίαν διαμαρτάνει τῆς ἐγχειρήσεως.

---

**7–8** Gen. 6, 6 **14** Ibid.

---

**1–5** Ὁ – ἀνάγκη] PHILO IUDAEUS, *Quaestiones in Genesim*, re vera *Quod deus sit immutabilis*, 26–27 (ed. Wendland, p. 61, 21 – 62, 5) **5** ὁ – ἀψίκορος] IBID., 28 (p. 62, 9) **5–6** ὡς – ἀρίδηλα] IBID., 29 (p. 62, 13–14) **7–13** Τί – δίκῃ] IBID., 33–34 (p. 63, 15 – 64, 1) **14–18** Τὸ – ἐγχειρήσεως] ID., *Quaestiones in Genesim*, locus non repertus (ed. Petit, p. 217–218.3); Royse 178.98

---

**1** αὐτῆς] *add.* τῆς R **2** ἀνημμένος] *correximus (ed.)*, ἀνειμένος C, ἀνειληφὼς R **4** *post* εὐμετάβλητον *forsan quaedam exciderunt (*ἢ διὰ τὴν ἐν αὐτοῖς ἢ *ed.)* **5** ἀψίκορος] *sic spir.* C R **6** καθαρᾷ] *correximus (ed.*; *cf. etiam supra*, I 171 / C cap. A 3, 57 [SJD VIII/1]*)*, καθαρὰ C R ἀρίδηλα] *praem.* καὶ R **7–18** Τί – ἐγχειρήσεως] *om.* R **9** βεβαιοτάτας] *correximus (ed.)*, βεβαιότητα· τὰς C **10** γὰρ] *seclusimus (cf. ed.)* **11** τάξιν] τὴν τάξιν *ed.* **12** †θεαρχίας†] *cruces apposuimus*, *sic* C, πειθαρχίας ἕνεκα *ed.* λειποτακτῶν] *sic* C **14** Τί] *coniec. Pitra*, τὸ C **17** διαλογιεῖται] *sic* C πεφοίτηκεν] *correximus cum* C$^{\text{man. rec.}}$, πεφύτηκεν C, πεφύτευκεν *coniec. Pitra*

# (Στοιχεῖον Ν)

# (Στοιχεῖον Ξ)

# Στοιχεῖον Ο

**Τίτλος α′ Περὶ ὀνόματος θεοῦ.**

## I 1421 / C cap. O 1, 1

Ἀπὸ τῆς Γενέσεως·

Ὑπελείφθη Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ᾽ αὐτοῦ ἕως πρωΐ. Εἶδε δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησεν τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ. Ἠρώτησεν δὲ Ἰακὼβ καὶ εἶπεν· Ἀνάγγειλόν μοι τί τὸ ὄνομά σου. Καὶ εἶπεν· Ἱνατί τοῦτο ἐρωτᾷς σὺ τὸ ὄνομά μου;

## I 1422 / C cap. O 1, 2

Τῆς Ἐξόδου·

Εἶπεν Μωϋσῆς πρὸς κύριον τὸν θεόν· Ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐρῶ πρὸς αὐτούς· Ὁ θεὸς τῶν πατέρων

---

**7 – 10 I 1421** Ὑπελείφθη – αὐτοῦ] Gen. 32, 24–25 **10 – 12** Ἠρώτησεν – μου] Ibid. 32, 29 **15 – 874, 4 I 1422** Ex. 3, 13–14

---

**3 Stoicheion** C$^{txt}$ (221v6) C$^{pin}$ **4 Titlos** C (221v6–7) A$^{II\ pin}$ R; *deest in* H$^{II}$A$^{II\ txt}$; PG 96, 532, 37 **6 – 12 I 1421** C (221v[7]8–14); R cap. O 19, 1; *deest in* H$^{II}$ **14 – 874, 4 I 1422** C (221v[14]15–21); R cap. O 19, 2; *deest in* H$^{II}$

---

**1** (Στοιχεῖον Ν)] *deest in eis quae libri I supersunt* **2** (Στοιχεῖον Ξ)] *deesse videtur in eis quae libri I supersunt* **3 Stoicheion** O] *scripsimus*, ΟΥ *(nomen antiquum* οὖ*)* C **4 Titlos** Τίτλος] *om.* R$^{pin}$ A$^{II\ pin}$ α′] ιθ′ R, *propt. mg. resect. non liquet in* A$^{II\ pin}$ *(*α′ *secund. ser.)*

---

**I 1421** Ἀπὸ τῆς] *om.* R

---

**8** ἴδεν C

ὑμῶν ἀπέσταλκέν με πρὸς ὑμᾶς, καὶ ἐρωτήσουσίν με τί ὄνομα αὐτῷ· τί ἐρῶ πρὸς αὐτούς; Εἶπεν δὲ ὁ θεὸς πρὸς Μωϋσῆν· Ἐγώ εἰμι ὁ ὤν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· Ὁ ὢν ἀπέσταλκέν με πρὸς ὑμᾶς.

## I 1423 / C cap. O 1, 3

Τῆς αὐτῆς·

Ἐλάλησεν ὁ θεὸς πρὸς Μωϋσῆν, λέγων· Ἐγὼ κύριος· καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριον οὐκ ἐδήλωσα αὐτοῖς.

## I 1424 / C cap. O 1, 4

Ἀπὸ τοῦ Λευϊτικοῦ·

Ἐξῆλθεν υἱὸς γυναικὸς Ἰσραηλίτιδος, καὶ οὗτος ἦν υἱὸς Αἰγυπτίου ἐν τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἐμαχήσαντο ἐν τῇ παρεμβολῇ ὁ ἐκ τῆς Ἰσραηλίτιδος καὶ ὁ ἄνθρωπος ὁ Ἰσραηλίτης· καὶ ἐπονομάσας ὁ υἱὸς τῆς Ἰσραηλίτιδος τὸ ὄνομα, κατηράσατο, καὶ ἤγαγον αὐτὸν πρὸς Μωϋσῆν, καὶ ἀπέθεντο αὐτὸν ἐν τῇ φυλακῇ, διακρῖναι αὐτὸν διὰ προστάγματος κυρίου. Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν, λέγων· Ἐξάγαγε τὸν καταρασάμενον ἔξω τῆς παρεμβολῆς, καὶ ἐπιθήσουσιν ἅπαντες οἱ ἀκούσαντες τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ λιθοβολήσουσιν αὐτὸν πᾶσα ἡ συναγωγή. Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, λέγων· Ἄνθρωπος ὃς ἐὰν καταράσηται τὸν θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται, ὀνομάζων δὲ τὸ ὄνομα κυρίου, θανάτῳ θανατούσθω· λίθοις λιθοβολησάτωσαν αὐτὸν πᾶσα ἡ συναγωγή.

---

**7 – 9 I 1423** Ex. 6, 2–3 **12 – 24 I 1424** Lev. 24, 10–16

---

**6 – 9 I 1423** C (221v[21]21–24); *deest in* H$^{II}$ R **11 – 24 I 1424** C (221v[25]25–222r11); *deest in* H$^{II}$ R

---

**1** ὑμῶν] ἡμῶν R ἐρωτήσουσίν με] *praem.* εἰ R ὄνομα] *praem.* τὸ R **2 – 3** ἐγὼ εἰμῒ R **3** ἐρεῖς] *add.* πρὸς αὐτοὺς C **9** κύριος *LXX (sed cf. app. crit.)* **13** ἐμαχήσαντο] *sic* C **16** διακρῖναι] *scripsimus*, διακρίναι C

## I 1425 / C cap. O 1, 5

Ἐκ τῆς ᾠδῆς Μανασσῆ·

Ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου.

## I 1426 / C cap. O 1, 6

Ἱερεμίου προφήτου·

Ὁ λυτρωσάμενος αὐτοὺς ἰσχυρὸς κύριος· παντοκράτωρ ὄνομα αὐτῷ.

## I 1427 / C cap. O 1, 7

Τοῦ ἁγίου Διονυσίου <τοῦ> Ἀρεοπαγίτου, ἐκ τοῦ περὶ θείων ὀνομάτων·

Τὴν μὲν οὖν ὑπερουσιότητα τὴν θεαρχικήν, ὅτι ποτέ ἐστιν ἡ τῆς ἀγαθότητος ὑπερύπαρξις, οὔτε ὡς λόγον ἢ δύναμιν, οὔτε ὡς νοῦν ἢ ζωὴν ἢ οὐσίαν ὑμνῆσαι θεμιτὸν οὐδενὶ τῶν ὅσοι τῆς ὑπὲρ πᾶσαν ἀλήθειαν ἀληθείας εἰσὶν ἐρασταί, ἀλλ’ ὡς πάσης κινήσεως, ζωῆς, φαντασίας, δόξης, ὀνόματος, λόγου, διανοίας, νοήσεως, οὐσίας, στάσεως, ἱδρύσεως, ἑνώσεως, πέρατος, ἀπειρίας, ἁπάντων ὅσα ὄντα ἐστίν, ὑπεροχικῶς ἀφηρημένη<ν>. Ἐπειδὴ δὲ ὡς ἀγαθότητος ὕπαρξις αὐτῷ τῷ εἶναι πάντων τῶν ὄντων ἐστὶν αἰτία, τὴν ἀγαθαρχικὴν τῆς θεαρχίας πρόνοιαν ἐκ πάντων τῶν αἰτιατῶν ὑμνη-

---

**3 – 4 I 1425** Od. 12, 3[2] **7 – 8 I 1426** Ier. 27, 34 (Wahl, *Prophetenzitate*, p. 555–556) **12 – 877, 2 I 1427** Τὴν – ὑπερέχοντα] Ps.-Dionysius Areopagita, *De divinis nominibus*, I. 5–6 (ed. Suchla, p. 117, 5 – 119, 4)

---

**2 – 4 I 1425** C (222r[11]11–13); *deest in* $H^{II}$ R **6 – 8 I 1426** C (222r[13]13–15); *deest in* $H^{II}$ R **10 – 877, 8 I 1427** C (222r[15–16]16–223r7); *deest in* $H^{II}$ R

---

**I 1427** τοῦ] *supplevimus*, *om.* C

---

7 κύριος· παντοκράτωρ] *sic interpunx.* C **18** ἀφηρημένην] *correximus (ed.)*, ἀφηρημένη C **19** αὐτῷ τῷ] *correximus (ed.)*, αὐτὸ τὸ C

τέον, ἐπεὶ καὶ περὶ αὐτὴν πάντα καὶ αὐτῆς ἕνεκα, *καὶ αὐτή ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῇ συνέστηκεν*, καὶ τῷ εἶναι ταύτην ἡ τῶν ὅλων παραγωγὴ καὶ ὑπόστασις, καὶ αὐτῆς πάντα ἐφίεται, τὰ μὲν νοερὰ καὶ λογικά, γνωστικῶς, τὰ δὲ ὑφειμένα τούτων, αἰσθητῶς, καὶ τὰ ἄλλα κατὰ ζωτικὴν κίνησιν ἢ οὐσιώδη καὶ ἐκτικὴν ἐπιτηδειότητα.

Τοῦτο γοῦν εἰδότες οἱ θεολόγοι, καὶ ὡς ἀνώνυμον αὐτὴν ὑμνοῦσιν, καὶ ἐκ παντὸς ὀνόματος, ἀνώνυμον μέν, ὡς ὅταν φασὶν τὴν θεαρχίαν αὐτὴν ἐν μιᾷ τῶν μυστικῶν τῆς συμβολικῆς θεοφανείας <ὁράσεων> ἐπιπλῆξαι τῷ φήσαντι· *Τί τὸ ὄνομά σου;* καὶ ὥσπερ ἀπὸ πάσης θεωνυμίας καὶ γνώσεως ἀπάγουσαν, φάναι· Καὶ *ἱνατί ἐρωτᾷς τὸ ὄνομά μου; Καὶ αὐτό ἐστιν τὸ θαυμαστόν* –Ἢ οὐχὶ τοῦτο [τὸ] ὄντως ἐστὶν *τὸ θαυμαστὸν ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα*, τὸ ἀνώνυμον, τὸ παντὸς ὑπεριδρυμένον *ὀνόματος ὀνομαζομένου*, εἴτε *ἐν τῷ αἰῶνι τούτῳ*, εἴτε *ἐν τῷ μέλλοντι*; –, πολυώνυμον δέ, ὡς ὅταν αὖθις αὐτὴν εἰσάγουσι φάσκουσαν· *Ἐγώ εἰμι ὁ ὤν*, *ἡ ζωή*, *τὸ φῶς*, *ὁ θεός*, *ἡ ἀλήθεια*, καὶ ὅταν αὐτοὶ τὸ πάντων αἴτιον οἱ θεόσοφοι πολυωνύμως ἐκ πάντων τῶν αἰτιατῶν ὑμνοῦσιν ὡς *ἀγαθόν*, ὡς *καλόν*, ὡς *σοφόν*, ὡς *ἀγαπητόν*, ὡς *θεὸν θεῶν* καὶ *κύριον κυρίων*, ὡς *ἅγιον ἁγίων*, ὡς *ὄντα* καὶ ὡς *αἰώνων* αἴτιον, ὡς *ζωῆς* χορηγόν, ὡς *σοφίαν*, ὡς *νοῦν*, ὡς *λόγον*, ὡς *γνώστην*, ὡς προέχοντα *τοὺς θησαυροὺς* πάσης *γνώσεως*, ὡς *δύναμιν*, ὡς *δυνάστην*, ὡς *βασιλέα τῶν βασιλευόντων*, ὡς *παλαιὸν ἡμερῶν*, ὡς ἀγήρω καὶ ἀναλ-

**1 – 2** Col. 1, 17 **10** Iud. 13, 18; cf. Gen. 32, 29 **12** Iud. 13, 18 **13** τὸ[2] – ὄνομα[1]] Ps. 8, 2[1] τὸ[3] – ὄνομα[2]] Phil. 2, 9 **14 – 15** ὀνόματος – μέλλοντι] Eph. 1, 21 **16** Ἐγώ – ὤν] Ex. 3, 14 ἡ ζωή] Ioh. 11, 25; 14, 6 **16 – 17** τὸ φῶς] Ioh. 1, 9; I Ioh. 1, 5 **17** ὁ θεός] Gen. 28, 13; Ioh. 1, 1 ἡ ἀλήθεια] Ioh. 14, 6 **18** ἀγαθόν] Matth. 19, 17; Luc. 18, 19 **19** καλόν] Cant. 1, 16[1] σοφόν] Iob 9, 4[1]; Rom. 16, 27 ἀγαπητόν] Is. 5, 1 θεὸν θεῶν] Deut. 10, 17; Ps. 49, 1[2]; 135, 2[1] **19 – 20** κύριον κυρίων] Deut. 10, 17; Ps. 135, 3[1] **20** ἅγιον ἁγίων] Dan. 9, 24 ὄντα] Ex. 3, 14 αἰώνων αἴτιον] cf. Eccle. 3, 11[2]; Hebr. 1, 2 **20 – 21** ζωῆς χορηγόν] cf. Gen. 2, 7; Ioh. 10, 10; Act. 17, 25 **21** σοφίαν] I Cor. 1, 30 νοῦν] Is. 40, 13 λόγον] Ioh. 1, 1 γνώστην] cf. ibid. 10, 14–15 **21 – 22** προέχοντα – γνώσεως] Col. 2, 3 **22** δύναμιν] I Cor. 1, 24; II Cor. 12, 9 δυνάστην] I Tim. 6, 15 **22 – 23** βασιλέα – βασιλευόντων] Ibid. **23** παλαιὸν ἡμερῶν] Dan. 7, 9 ἀγήρω] cf. Ps. 101, 28 **23 – 877, 1** ἀναλλοίωτον] cf. Iac. 1, 17

**2** τῷ] *correximus (ed.)*, τὸ C **10** ὁράσεων] *supplevimus (ed.)*, *om.* C ἐπιπλῆσαι C[mg.] **11** θεωνυμίας – γνώσεως] αὐτὸν θεωνυμικῆς γνώσεως *ed.* φάναι] *scripsimus*, φᾶναι C **13** τὸ[1]] *seclusimus (ed., sed. cf. app. crit.)* **14** ὑπεριδρυμένον] *correximus (ed.)*, ὑπεριδρυμένου C **17** τὸ] τὸν *ed.*

λοίωτον, ὡς σωτηρίαν, ὡς *δικαιοσύνην*, ὡς *ἁγιασμόν*, ὡς *ἀπολύτρωσιν*, ὡς ἐν μεγέθει πάντων ὑπερέχοντα <***> πάντα τὰ ὄντα καὶ οὐδὲν τῶν ὄντων.

Οὕτως οὖν τῇ πάντων αἰτίᾳ καὶ ὑπὲρ πάντα οὔσῃ, καὶ τὸ ἀνώνυμον ἐφαρμόσει καὶ πάντα τὰ τῶν ὄντων ὀνόματα, ἵνα ἀκριβῶς ᾖ τῶν ὅλων βασιλεία, καὶ περὶ αὐτὴν ᾖ τὰ πάντα, καὶ αὐτῆς ὡς αἰτίας, ὡς ἀρχῆς, ὡς πέρατος ἐξηρτημένα καὶ αὐτὴ κατὰ τὸ λόγιον ᾖ *τὰ πάντα ἐν πᾶσιν*.

## I 1428 / C cap. O 1, 8

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ πρὸς Ἀμφιλόχιον ιη′ κεφαλαίου·

Ἡ παλαιὰ τῶν Ἑβραίων εὐλάβεια ἰδίοις σημείοις τὸ ἀνεκφώνητον ὄνομα τοῦ θεοῦ διεχάρασσεν, ἐκ τούτου τὴν κατὰ πάντων ὑπεροχὴν παριστῶσα.

---

**1** σωτηρίαν] cf. Is. 52, 10 δικαιοσύνην] Ps. 111, $3^2$; Mal. 4, 2; I Cor. 1, 30 ἁγιασμόν] I Cor. 1, 30 **1 – 2** ἀπολύτρωσιν] Ibid. **8** Ibid. 15, 28

---

**2 – 8** πάντα – πᾶσιν] Ps.-Dionysius Areopagita, *De divinis nominibus*, I. 6–7 (ed. Suchla, p. 119, 9 – 120, 1) **11 – 13 I 1428** Basilius Caesariensis, *Ad Amphilochium (De Spiritu sancto)*, XVIII, 44, 14–16 (ed. Pruche, p. 404)

---

**10 – 13 I 1428** C (223r[7–8]8–11); *deest in* $H^{II}$ R

---

**2** *post* ὑπερέχοντα *quaedam excidisse videntur (cf. ed.)*

## I 1429 / C cap. O 1, 9

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ πνεύματος ἁγίου·

Θεὸς λέγεται διὰ τὸ θέειν ἢ αἴθειν, καθὰ ἠτυμολόγηται τοῖς περὶ ταῦτα κομψοῖς, διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων· καὶ γὰρ *πῦρ καταναλίσκον* ἐντεῦθεν λέγεται.

## I 1430 / C cap. O 1, 10

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ υἱοῦ α′ λόγου·

Τὸ θεῖον ἀκατονόμαστον· καὶ τοῦτο δηλοῦσιν οὐχ᾽ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων οἱ σοφώτατοι καὶ παλαιότατοι καὶ χαρακτῆρσιν ἰδίοις τὸ θεῖον τιμήσαντες, οὐκ ἀνασχόμενοι γράμμασι τοῖς αὐτοῖς ἄλλό τι γράφεσθαι τῶν μετὰ θεόν, καὶ θεόν, ὡς δέον ἀκοινώνητον εἶναι καὶ μὴ λυομένῃ φωνῇ δηλοῦσθαι τὴν ἄλυτον φύσιν καὶ ἰδιάζουσαν. Οὔτε γὰρ ἀέρα τίς ἔπνευσεν ὅλον πώποτε, οὔτε οὐσίαν θεοῦ παντελῶς ἢ νοῦς κεχώρηκεν ἢ φωνὴ περιέλαβεν.

---

**4** θέειν] cf. Plat., *Crat.*, 397d3–4; cf. etiam infra, I 1440 / C cap. O 1, 20  αἴθειν] cf. Ps.-Athan. Alex., *Liber de definitionibus*, 6 (PG 28, 536, 28); Ioh. Dam., *Expositio fidei*, 9, 15 (ed. Kotter, p. 31); *Etym. Gud.* (ed. Sturzius, p. 259, 7)  **6** Deut. 4, 24

---

**4 – 6 I 1429** Gregorius Nazianzenus, *De Spiritu sancto*, re vera *De filio II (Orat. 30)*, 18, 7–10 (ed. Gallay/Jourjon, p. 262–264)  **9 – 16 I 1430** Gregorius Nazianzenus, *De filio II (Orat. 30)*, 17, 1–10 (ed. Gallay/Jourjon, p. 260–262)

---

**2 – 6 I 1429** C (223r[11–12]12–16); R cap. O 19, 3; *deest in* $\mathrm{H}^{\mathrm{II}}$  **8 – 16 I 1430** C (223r[16]17–26); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R

---

**I 1429** Τοῦ – Γρηγορίου] *om.* R

---

**4** ἠτυμολόγηται] *correximus (ed.)*, ἠτοιμολόγηται C, ἑτοιμολογεῖται R  **6** ἕξεων] ὀρέξεων R  **10** Ἑβραίων] *scripsimus*, ἐβραίων C

## I 1431 / C cap. O 1, 11

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ πρὸς Εὐστάθιον·

Οὐκ οἴδαμεν τινὰ τῶν περὶ τὴν θείαν φύσιν ἐπινοουμένων ὀνομάτων τὴν κατὰ τὸ κρεῖττον καὶ χεῖρον διαφοράν.

## I 1432 / C cap. O 1, 12

Ἐκ τοῦ αὐτοῦ·

Πάντα τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν.

## I 1433 / C cap. O 1, 13

Τοῦ αὐτοῦ·

Ἕν ἐστιν σημαντικὸν τῆς θείας φύσεως ὄνομα, τὸ ἀρρήτως ἡμῖν περὶ αὐτὴν θαῦμα κατὰ ψυχὴν ἐγγινόμενον.

## I 1434 / C cap. O 1, 14

Τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ πρὸς Ἕλληνας παραινετικοῦ·

Οὐδὲν ὄνομα ἐπὶ θεοῦ κυρίως λέγεσθαι δύναται. Τὰ γὰρ ὀνόματα

---

**3 – 4 I 1431** Gregorius Nyssenus, *Ad Eustathium de S. trinitate* (ed. Müller, p. 8, 3–5) **7 – 8 I 1432** Gregorius Nyssenus, *Ad Eustathium de S. trinitate* (ed. Müller, p. 8, 8–10) **11 – 12 I 1433** Gregorius Nyssenus, *Contra Eunomium*, III, tom. VI, 4 (ed. Jaeger, p. 187, 9–11) **16 – 880, 4 I 1434** Οὐδὲν – ὑπάρχων] Ps.-Iustinus Martyr, *Cohortatio ad Graecos*, 21, 1 (ed. Marcovich, p. 51, 1–4; Riedweg, p. 556, 19–23); Holl, n° 105, 1–5

---

**2 – 4 I 1431** C (223r[26–27]27–30); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R **6 – 8 I 1432** C (223r[30]30–223v2); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R **10 – 12 I 1433** C (223v[3]3–5); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R **14 – 880, 9 I 1434** C (223v[5–7]7–19); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R

---

**3** τινὰ] *sic* C *(cf. Bas. Caes., Epistulae, CLXXXIX, 5, 15* [ed. Courtonne, II, p. 136]*)*, ἔν τινι *ed.* **8** τῷ] *correximus (ed.)*, τὸ C **12** αὐτῆς *ed.*

εἰς γνῶσιν καὶ διάγνωσιν τῶν ὑποκειμένων κεῖται πραγμάτων, πολλῶν καὶ διαφόρων ὄντων. Θεῷ δὲ οὔτε ὁ τιθεὶς ὄνομα προϋπῆρχεν, οὔτε αὐτὸς ἑαυτὸν ὀνομάζειν ᾠήθη δεῖν, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων. Διατοῦτο τοίνυν οὐδὲ ὀνόματος τινός, ἀποστέλλων τὸν Μωσέα πρὸς τοὺς Ἑβραίους, μέμνηται, ἀλλὰ διά τινος μετοχῆς ἕνα καὶ μόνον θεὸν ἑαυτὸν εἶναι μυστικῶς διδάσκει· *Ἐγὼ* γάρ φησιν *εἰμὶ ὁ ὤν*, ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι *ὁ ὢν* τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον ἀπατηθέντες ὅτι οὐ τῷ ὄντι, ἀλλὰ τοῖς μὴ οὖσιν προσεῖχον θεοῖς.

## I 1435 / C cap. O 1, 15

Φίλωνος·

Λέγε, φησίν, αὐτοῖς πυθομένοις τίς ὁ ἀποστείλας· *Ὁ ὢν ἀπέσταλκέν με*, ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ μὴ ὄντος, πρὸς ἀλήθειαν διδαχθῶσιν ὡς οὐδὲν ὄνομα ἐπ᾽ ἐμοῦ τοπαράπαν κυριολογεῖται, ᾧ μόνῳ τὸ εἶναι πρόσεστιν.

## I 1436 / C cap. O 1, 16

Τοῦ αὐτοῦ·

*Οὐ λήψῃ*, φησίν, *τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ*. Τὰ μὲν οὖν τῆς τάξεως γνώριμα τοῖς διανοίᾳ ὀξυδορκοῦσιν· ὄνομα γὰρ ἀεὶ δεύτερον ὑποκειμένου πράγματος, σκιᾷ παραπλήσιον, ᾗ παρέ-

---

**6 – 7** Ex. 3, 14 **12 – 13** Ibid. **18** Ibid. 20, 7

---

**4 – 9** Διατοῦτο – θεοῖς] Ps.-Iustinus Martyr, *Cohortatio ad Graecos*, 21, 1–2 (ed. Marcovich, p. 51, 6–12; Riedweg, p. 556, 25 – 557, 4); Holl, n° 105, 5–11 **12 – 13 I 1435** Λέγε – με] cf. Philo Iudaeus, *De vita Mosis*, I, 74–75 (ed. Cohn, p. 137, 8–9) **13 – 15** ἵνα – πρόσεστιν] Ibid., I, 75 (p. 137, 10–12) **18 – 881, 3 I 1436** Philo Iudaeus, *De Decalogo*, 82–83 (ed. Cohn, p. 287, 16–21)

---

**11 – 15 I 1435** C (223v[20]20–25); *deest in* H^II^ R **17 – 881, 3 I 1436** C (223v[25]25–224r2); *deest in* H^II^ R

---

**1** γνῶσιν] δήλωσιν *ed.* **5** εβραίους C **13 – 14** πρὸς – διδαχθῶσιν] προσαναδιδαχθῶσιν *ed.* **14** ἐπ᾽] *correximus (ed.)*, ὑπ᾽ C **20** ᾗ] *correximus (ed.)*, ἣ C

πεται σώματι. Προειπὼν οὖν περὶ τῆς ὑπάρξεως καὶ τιμῆς τοῦ ὑπάρχοντος, ἑπομένως τῷ τῆς ἀκολουθίας εἱρμῷ τὰ πρέποντα καὶ περὶ τῆς κλήσεως εὐθὺς παρήγγειλεν.

## I 1437 / C cap. O 1, 17

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν ἐν Γενέσει ζητημάτων·

Φιλοπευστοῦντι τῷ Προφήτῃ <τί> τοῖς περὶ τοῦ ὀνόματος αὐτοῦ ζητοῦσιν ἀποκριτέον, φησίν· *Ἐγώ εἰμι ὁ ὤν*· ἴσον τῷ εἶναι πέφυκα, οὐ λέγεσθαι. Τοῦ δὲ μὴ παντάπασιν ἀμοιρῆσαι τὸ τῶν ἀνθρώπων γένος προσρήσεως τοῦ ἀρίστου, δίδωσι καταχρήσασθαι ὡς ἂν *ὁ ὢν* ὀνόματι τοιούτῳ, *κύριος ὁ θεὸς* τῶν τριῶν φύσεων, διδασκαλίας, τελειότητος, ἀσκήσεως, ὧν σύμβολα *Ἀβραάμ*, *Ἰσαάκ*, *Ἰακὼβ* ἀναγράφεται. *Τοῦτο γάρ μου*, φησίν, *ὄνομα αἰώνιον*, ὡς ἂν ἐν τῷ καθ᾽ ἡμᾶς αἰῶνι ἐξεταζόμενον, οὐκ ἐν τῷ πρὸ αἰῶνος, *καὶ μνημόσυνον*, οὐ τὸ πέρα μνήμης καὶ νοήσεως ἱστάμενον· καταχρήσεως γὰρ ὀνόματος θείου δεῖ τοῖς εἰς τὴν θνητὴν γένεσιν ἐλθοῦσιν, <ἵν᾽> εἰ μὴ καὶ πράγματι, ὀνόματι γοῦν προσερχόμενοι ἀρίστῳ κατ᾽ αὐτὸ κοσμοῦνται.

---

**6 – 8** Φιλοπευστοῦντι – λέγεσθαι] exstat etiam infra, I 1439 / C cap. O 1, 19 (p. 882, 10 – 12) **7** Ex. 3, 14 **9 – 10** Ibid. **10** Ibid. 3, 15 **11** Ἀβραάμ – Ἰακὼβ] Ibid. **12** Τοῦτο – αἰώνιον] Ibid. **13 – 14** Ibid.

---

**6 – 17 I 1437** PHILO IUDAEUS, *Quaestiones in Genesim*, re vera *De mutatione nominum*, 11–13 (ed. Wendland, p. 158, 7–18)

---

**5 – 17 I 1437** C (224r[3]4–18); *deest in* H$^{II}$ R

---

**1** περὶ] *correximus (ed.)*, πρὸ C **2** *ante* ὑπάρχοντος *hab.* ἀεὶ *ed.* **6** τί] *supplevimus (ed.*; *cf. etiam infra*, I 1439 / C cap. O 1, 19*)*, *om.* C **14** καταχρήσεως] *correximus (ed.)*, κατὰ χρῆσιν C **16** ἵν᾽] *supplevimus (ed.)*, *om.* C εἰ μὴ] *correximus (ed.)*, εἰμὶ C προσερχόμενοι] *correximus (ed.)*, προσερυομένοι *(sic)* C **17** κοσμοῦνται] *sic* C, κοσμῶνται *ed.*

## I 1438 / C cap. O 1, 18

Τοῦ αὐτοῦ, ἐκ τοῦ γ′ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Τὸ κύριος ὄνομα, καθὸ ἄρχει καὶ ἡγεμονεύει, δυναστείᾳ κράτους αὐτεξουσίου χρώμενος, τὸ δὲ θεός, καθὸ ἀγαθότητι καὶ χρηστότητι· ὁ θεὸς γὰρ ἀγαθό<τη>τός ἐστιν τοῦ αἰτίου ὄνομα.

## I 1439 / C cap. O 1, 19

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν μετονομαζομένων·

Τί θαυμαστόν, εἰ τὸ ὂν ἀνθρώποις ἀκατονόμαστον, ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν; Τίς γὰρ ψυχῆς οὐσίαν εἶδεν; Οὐχ᾽ ὁρᾷς ὅτι φιλοπευστοῦντι τῷ Προφήτῃ τί τοῖς περὶ τοῦ ὀνόματος αὐτοῦ ζητοῦσιν ἀποκριτέον, φησίν· *Ἐγώ εἰμι ὁ ὤν*· ἴσον τῷ εἶναι πέφυκα, οὐ λέγεσθαι; Περὶ δὲ τοῦ μηδενὶ δεδηλῶσθαι ὄνομα αὐτοῦ κύριον, *Ὤφθην*, φησίν, *πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριον οὐκ ἐδήλωσα αὐτοῖς*. Οὕτω καὶ Ἰακώβ, μετὰ τὴν πάλην μαθεῖν ἐθέλων, ἤκουεν· *Ἱνατί ἐρωτᾷς*

**10 – 12** φιλοπευστοῦντι – λέγεσθαι] exstat etiam supra, I 1437 / C cap. O 1, 17 (p. 881, 6 – 8) **11** Ex. 3, 14 **13 – 14** Ibid. 6, 3 **15 – 883, 1** Gen. 32, 29

**3 – 5 I 1438** PHILO IUDAEUS, *Legum allegoriae*, III, 73 (ed. Cohn, p. 128, 18–21) **8 – 9 I 1439** Τί – εἶδεν] PHILO IUDAEUS, *De mutatione nominum*, 10 (ed. Wendland, p. 158, 2–4) **9 – 12** Οὐχ᾽ – λέγεσθαι] IBID., 11 (p. 158, 7–9) **12 – 14** Περὶ – αὐτοῖς] IBID., 13 (p. 158, 20 – 159, 2) **14 – 883, 2** Οὕτω – εὐφημίας] IBID., 14 (nonnullis mutatis et omissis [p. 159, 4–10])

**2 – 5 I 1438** C (224r[19]20–23); R cap. O 19, 4; *deest in* H$^{II}$; PG 96, 532, 39–42 **7 – 883, 2 I 1439** C (224r[23–24]24–224v7); R cap. O 19, 5; *deest in* H$^{II}$; PG 96, 532, 42–54

**I 1438** (a) C (b) Φίλωνος R **I 1439** (a) C (b) *s. d.* R

**4** αὐτεξουσίῳ *ed.* **5** ὁ] *om.* C ἀγαθότητός ἐστιν] *correximus (ed.)*, ἀγαθός ἐστι(ν) C R **9** ἴδεν C **10** τί] *om.* R **11** ἐγὼ εἰμὶ R ἴσον τῷ] εἰς ὢν τὸ R **12** δεδηλῶσθαι] *add.* ἀνθρώπων C ὄνομα] *praem.* τὸ ὂν R, τὸ *Cohn* **13** ἀβραὰμ R **15** ἤκουσεν R

*τὸ ὄνομά μου;* Ἀπόχρη γάρ σοι, φησίν, ὠφελεῖσθαι τὰς ἐμὰς εὐφημίας.

## I 1440 / C cap. O 1, 20

Τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου·

Θεὸς λέγεται διὰ τὸ τεθηκέναι τὰ πάντα τῇ ἑαυτοῦ ἀσφαλείᾳ, καὶ διὰ τὸ θέειν, ὅπερ ἐστὶ τρέχειν καὶ κινεῖν καὶ κυβερνᾶν καὶ ζωοποιεῖν τὰ πάντα.

## I 1441 / C cap. O 1, 21

Θεοτίμου ἐπισκόπου Σκυθίας, ἐκ τοῦ εἰς τὴν διδαχὴν τοῦ σωτῆρος·

Οὕτως ὀνομάτων ἁγιασμὸς ἐπὶ θεοῦ γίνεται, ὅταν σώματός τινος ἢ σωματικοῦ προσηγορίαν ἀποδοὺς τῷ θεῷ, μηδὲν συνεπισύρῃ σωματικὸν πάθος ἐν ταῖς ἐννοίαις.

---

**1 – 2** τὰς – εὐφημίας] cf. ibid. **6** θέειν] cf. Plat., *Crat.*, 397d3–4; cf. etiam supra, I 1429 / C cap. O 1, 9

---

**5 – 7 I 1440** Ps.-Amphilochius Iconiensis, locus non repertus *(Sententiae et excerpta*, XXI [PG 39, 117, 32–35]*)*, re vera Theophilus Antiochenus, *Ad Autolycum*, I, 4 (ed. Grant, p. 6, 2–5); Holl, n° 132 **11 – 13 I 1441** Theotimus Scythiae, *In doctrinam Salvatoris*, locus non repertus

---

**4 – 7 I 1440** C (224v[7]8–10); R cap. O 19, 6; *deest in* H$^{II}$; PG 96, 532, 56–58 **9 – 13 I 1441** C (224v[10–11]12–15); *deest in* H$^{II}$ R

---

**I 1440** Ἰκονίου] τοῦ ἰκονίου C

---

**1** σοι] *s. l.* R φησίν] *om.* R ὠφελεῖσθαι] ὠφελεῖσθαι φησὶ R τὰς] κατὰ τὰς *ed.* **1 – 2** εὐφημίας] *sic* R *et maluit Cohn*, εὐφημήσεις C$^{txt}$, ὑφηγησεις C$^{mg.}$ *(= Philonis codices)* **5** τεθεικέναι R$^{p.c.}$ ἀσφαλείᾳ] *sic* C *et Theophil. Antioch. (cf. supra, app. locorum parallelorum)*, *praem.* ἐξουσίᾳ ἢ R **6 – 7** ζωογονεῖν R

## I 1442 / C cap. Ο 1, 22

Τοῦ ἁγίου Βαβύλα ἐπισκόπου Ἀντιοχείας, ἐκ τοῦ μαρτυρολογίου αὐτοῦ·

Νουμεριανὸς εἶπεν· Τί ἐστιν θεός; Αὐτὴν τὴν προσηγορίαν εἰπέ μοι, τί ἑρμηνεύεται;

Βαβύλας εἶπεν· Θεοῦ ὄνομα μὴ ζήτει· οὐ γὰρ εὑρήσεις. Πᾶν γὰρ τὸ ὀνομαζόμενον ὑπὸ τοῦ κρείττονος ὀνομάζεται, ἵνα τὸ μὲν καλῇ, τὸ δὲ ὑπακούῃ. Τίς οὖν ὁ ὀνομάσας θεόν; Θεὸς οὐκ ὄνομα θεοῦ, ἀλλὰ δόξα περὶ θεόν.

---

**4 – 9 I 1442** *Babylae Antiochiae episcopi martyrologium*, 4 (ed. Papadopoulos-Kerameus, I, p. 77, 27–32)

---

**2 – 9 I 1442** C (224v[16–17]17–24); R cap. Ο 19, 7; *deest in* H$^{II}$; PG 96, 533, 2–7

---

**I 1442** (a) C βαβυλᾶ C$^{a. c. man. rec.}$ (b) Ἐκ τοῦ μαρτυρολογίου τοῦ ἁγίου Βαβυλᾶ R

---

**6** βαβυλᾶς C$^{a. c. man. rec.}$ **7 – 8** καλεῖ C **8** ὑπακούει C R$^{a. c.}$ **8 – 9** θεοῦ] *om.* R

**Τίτλος β′ Ὅτι οὐκ αἴτιος τῶν κακῶν ὁ θεός, καὶ ὅτι οὔτε ὄν, οὔτε ἐνυπόστατον φύσει τὸ κακόν.**

## I 1443 / C cap. O 2, 1

Δαυῒδ ἐν ψαλμῷ π′·

Οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου,
καὶ Ἰσραὴλ οὐ προσέσχεν μοι·
καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν
[αὐτῶν,
πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

## I 1444 / C cap. O 2, 2

Ἐν ψαλμῷ ϙα′·

Εὐθὴς κύριος ὁ θεὸς ἡμῶν,
καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

---

**1** Ὅτι – θεός] cf. supra, I 779 / C cap. Δ 2, 28 (SJD VIII/1) et $II^{1}$764 / K cap. Δ 12, 28 (SJD VIII/4)

---

**5 – 9 I 1443** Ps. 80, $12^{1}$–$13^{2}$ **12 – 13 I 1444** Ps. 91, $16^{1-2}$

---

**1 – 2 Titlos** C (224v24–26) $A^{II\ pin}$ R; *deest in* $H^{II}A^{II\ txt}$ **4 – 9 I 1443** C (224v[27]27–225r1); *deest in* $H^{II}$ R **11 – 13 I 1444** C (225r[1]1–2); *deest in* $H^{II}$ R

---

**1 – 2 Titlos 1** Τίτλος] *om.* $A^{II\ pin}$ $R^{pin}$ β′] ιη′ R Ὅτι] *praem.* περὶ τοῦ $A^{II\ pin}$ R οὐκ] οὐκ ἔστιν R

## I 1445 / C cap. O 2, 3

Τῶν Παροιμιῶν·

Ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ,
τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

## I 1446 / C cap. O 2, 4

Τοῦ Ἐκκλησιαστοῦ·

Ὅτι οὐκ ἔστιν γινομένη ἀντίρρησις
ἀπὸ τῶν ποιούντων τὸ πονηρόν,
διατοῦτο ἐπληροφορήθησαν αἱ καρδίαι υἱῶν ἀνθρώπων
ἐν αὐτοῖς, τοῦ ποιῆσαι τὸ πονηρόν.

## I 1447 / C cap. O 2, 5

Σχόλιον·

Σημειωτέον τίνα αἰτιᾶται τὸ λόγιον, καὶ πόθεν τὴν αἰτίαν τοῦ κακοῦ λέγει εἶναι.

## I 1448 / C cap. O 2, 6

Τοῦ αὐτοῦ·

Πλὴν ἴδε τοῦτο εἶδον, ὃ ἐποίησεν ὁ θεὸς

---

**3 – 4 I 1445** Prov. 19, $3^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 93) **7 – 10 I 1446** Eccle. 8, $11^{1-4}$ (Wahl, *Kohelet-Text*, p. 164) **13 – 14 I 1447** *Scholion in Eccle. 8,* $11^{1-4}$ **17 – 887, 2 I 1448** Eccle. 7, $29^{1-3}$ (Wahl, *Kohelet-Text*, p. 162–163)

---

**2 – 4 I 1445** C (225r[3]3–5); R cap. O 18, 1; *deest in* $H^{II}$ **6 – 10 I 1446** C (225r[5]5–9); R cap. O 18, 2; *deest in* $H^{II}$ **12 – 14 I 1447** C (225r[9]9–11); *deest in* $H^{II}$ R **16 – 887, 2 I 1448** C (225r[11]11–13); *deest in* $H^{II}$ R

---

**I 1445** Τῶν] *om.* R

---

**3** λοιμαίνεται C **4** ἡ καρδία C **9 – 10** διατοῦτο – πονηρόν] *om.* R **17** ἴδε] *sic* C εἶδον] *scripsimus*, ἴδον $C^{a.\,c.\,mg.}$, ἴδιον $C^{p.\,c.\,mg.}$, εὗρον *LXX (sed cf. app. crit.)*

τὸν ἄνθρωπον εὐθῆ,
αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς.

## I 1449 / C cap. O 2, 7

Σοφίας Σολομῶντος·

Ὁ θεὸς θάνατον οὐκ ἐποίησεν,
οὔτε τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.
Ἔκτισεν γὰρ εἰς τὸ εἶναι τὰ πάντα,
καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου.

## I 1450 / C cap. O 2, 8

Ἡσαΐου προφήτου·

Ἰδοὺ ὑμεῖς πῦρ καίετε καὶ κατισχύσατε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε.

## I 1451 / C cap. O 2, 9

Ἱερεμίου προφήτου·

Ἐγὼ ἐφύτευσά σε ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία;

---

**5 – 8 I 1449** Sap. 1, 13$^1$–14$^2$ **11 – 12 I 1450** Is. 50, 11 (Wahl, *Prophetenzitate*, p. 425) **15 – 16 I 1451** Ier. 2, 21 (Wahl, *Prophetenzitate*, p. 481)

---

**4 – 8 I 1449** C (225r[13–14]14–17); *deest in* H$^{II}$ R **10 – 12 I 1450** C (225r[17]17–20); R cap. O 18, 3; *deest in* H$^{II}$ **14 – 16 I 1451** C (225r[20]20–23); R cap. O 18, 4; *deest in* H$^{II}$

---

**I 1450** προφήτου] *om.* R **I 1451** προφήτου] *om.* R

---

**15** πᾶσαν] *om.* R **16** ἀλλοτρία] *praem.* οὐκ R$^{\text{man. rec.}}$

## I 1452 / C cap. O 2, 10

Καὶ μεθ᾽ ἕτερα·

Φησὶν κύριος· Μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν, οὐχὶ ἑαυτούς, ὅπως καταισχυνθῇ τὰ πρόσωπα αὐτῶν ἐπὶ τοῖς ἔργοις τοῖς ματαίοις αὐτῶν;

## I 1453 / C cap. O 2, 11

Ἰεζεκιὴλ προφήτου·

Εἶπεν κύριος πρός με· Υἱὲ ἀνθρώπου, ἑώρακας ἃ οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ποιοῦσιν ὧδε ἕκαστος αὐτῶν ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν, διότι εἶπαν· Οὐκ ἐφορᾷ κύριος τὴν γῆν. Ἰδοὺ αὐτῶν ἐκτείνουσιν τὸ κλῆμα ὡς μυκτηρίζοντες.

## I 1454 / C cap. O 2, 12

Τοῦ αὐτοῦ·

Ἐξ αὐτῆς ἐξελεύσεται τὸ πῦρ εἰς αὐτήν.

---

**3 – 4 I 1452** Φησὶν – αὐτῶν] Ier. 7, 19 (Wahl, *Prophetenzitate*, p. 510–511) **4 – 5** ἐπὶ – αὐτῶν] locus non repertus **8 – 10 I 1453** Εἶπεν – γῆν] Ez. 8, 12 (Wahl, *Prophetenzitate*, p. 619) **10 – 11** Ἰδοὺ – μυκτηρίζοντες] Ibid. 8, 17 (cum app. crit.; Wahl, p. 619–620) **14 I 1454** Ez. 5, 4 (Wahl, *Prophetenzitate*, p. 616)

---

**2 – 5 I 1452** C (225r[23]23–27); *deest in* $H^{II}$ R **7 – 11 I 1453** C (225r[27]27–225v2); *deest in* $H^{II}$ R **13 – 14 I 1454** C (225v[2]2–3); *deest in* $H^{II}$ R

---

**I 1453** Ἰεζεκιὴλ] *scripsimus*, ἰεζεκιὴλ *cod.*

---

**3** αὐτοὶ] αὐτόν $C^{mg.}$ *(deest signum indicans ad quam vocem in textu pertineat)* **10** εἶπον $C^{p. c. man. rec.}$

## I 1455 / C cap. O 2, 13

Σχόλιον·

Ἐπίσκεψαι ὅτι οὐκ ἔξωθεν τὸ κακόν, ἀλλ’ ἐξ ἡμῶν καθ’ ἡμῶν.

## I 1456 / C cap. O 2, 14

Τοῦ αὐτοῦ·

Μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, λέγει κύριος, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν;

## I 1457 / C cap. O 2, 15

Τοῦ Σιράχ·

Οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν,
οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

## I 1458 / C cap. O 2, 16

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ ρλς′·

Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ ἐχθρός, καὶ ἔσπειρεν ζιζάνια ἀναμέσον τοῦ σίτου καὶ ἀπῆλθεν. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησεν, τότε ἐφάνη καὶ τὰ ζιζάνια. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκο-

**3 I 1455** *Scholion in Ez. 5, 4* **6 – 7 I 1456** Ez. 18, 23 (Wahl, *Prophetenzitate*, p. 637) **10 – 11 I 1457** Sir. 15, 20$^{1-2}$ (Wahl, *Sirach-Text*, p. 88) **14 – 890, 6 I 1458** Matth. 13, 24–30 sqq.

**2 – 3 I 1455** C (225v[3]3–4); *deest in* H$^{II}$ R **5 – 7 I 1456** C (225v[5]5–6); *deest in* H$^{II}$ R **9 – 11 I 1457** C (225v[7]7–8); *deest in* H$^{II}$ R **13 – 890, 6 I 1458** C (225v[8–9]9–23); R cap. O 18, 5; *deest in* H$^{II}$

**I 1458** εὐαγγελιστοῦ – ρλς′] *om.* R

**18 – 890, 2** ζιζάνια – ἔχει] *om.* R

δεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρες ἐν τῷ ἀγρῷ; Πόθεν οὖν ἔχει ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος ἐποίησεν τοῦτο. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις οὖν ἀπελθόντες συλλέξομεν αὐτά; Ὁ δὲ ἔφη· Οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε οὖν συναυξάνεσθαι ἀμφότερα ἕως τοῦ θερισμοῦ, καὶ τὰ ἑξῆς.

## I 1459 / C cap. Ο 2, 17

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Μηδεὶς πειραζόμενος λεγέτω ὅτι Ἀπὸ θεοῦ πειράζομαι. Ὁ γὰρ θεὸς ἀπείραστος ἐστὶν κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. Ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

## I 1460 / C cap. Ο 2, 18

Σχόλιον·

Πρόδηλον καὶ σαφέστατον καὶ ἐκ τούτων ὡς οὐδὲ τοῦ θανάτου, οὐδὲ τοῦ οἱουδήποτ᾽ οὖν συμβαίνοντος κακοῦ αἴτιος ὁ θεός, ἀλλὰ τῶν σπειρόντων τὰ ἄτοπα οἱ κατάλληλοι καρποί.

---

**9 – 13 I 1459** Iac. 1, 13–15 **16 – 18 I 1460** *Scholion in Iac. 1, 13–15*

---

**8 – 13 I 1459** C (225v[23–24]24–30); R cap. Ο 18, 6; *deest in* H$^{II}$ **15 – 18 I 1460** C ([225v30]226r1–4); R cap. Ο 18, 7; *deest in* H$^{II}$

---

**4** συλλέξομεν] *sic* C R ἔφη] *add.* αὐτοῖς R **5** αὐξάνεσθαι R **6** τοῦ θερισμοῦ] ἂν ὁ θερισμὸς ἔλθη R καὶ – ἑξῆς] *om.* R **9** θεοῦ] *praem.* τοῦ R **10** ἀπείραστός ἐστι R **16** καὶ$^{2}$] *om.* R **17** οἱουδήποτ᾽ οὖν] οἱουδήποτε C

## I 1461 / C cap. O 2, 19

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίου, ὅτι οὐκ αἴτιος τῶν κακῶν ὁ θεός·

<α′> Πῶς ἡ δαιμονία πληθὺς οὐκ ἐφίεται τοῦ καλοῦ καὶ ἀγαθοῦ, πρόσυλος δὲ οὖσα καὶ τῆς ἀγγελικῆς περὶ τὴν ἔφεσιν τἀγαθοῦ ταὐτότητος ἀποπεπτωκυῖα, κακῶν ἁπάντων αἰτία καὶ ἑαυτῇ καὶ τοῖς ἄλλοις, ὅσα κακύνεσθαι λέγεται; Πῶς δὲ ὅλως ἐκ τἀγαθοῦ παραχθὲν τὸ δαιμόνιον φῦλον οὐκ ἔστιν ἀγαθοειδές, ἢ πῶς ἀγαθὸν ἐκ τἀγαθοῦ γεγονὸς ἠλλοιώθη, καὶ τί τὸ κακύναν αὐτό, καὶ ὅλως τί τὸ κακόν ἐστιν, καὶ ἐκ τίνος ἀρχῆς ὑπέστη, καὶ ἐν τίνι τῶν ὄντων ἐστίν, καὶ πῶς ὁ ἀγαθὸς αὐτὸ παραγαγεῖν ἠβουλήθη, πῶς δὲ βουληθεὶς ἠδυνήθη; Καὶ εἰ ἐξ ἄλλης αἰτίας τὸ κακόν, τίς ἑτέρα τοῖς οὖσιν παρὰ τἀγαθὸν αἰτία; Πῶς δὲ καί, προνοίας οὔσης, ἔστι <τὸ> κακὸν ἢ γινόμενον ὅλως ἢ μὴ ἀναιρούμενον, καὶ πῶς ἐφίεταί τι τῶν ὄντων αὐτοῦ παρὰ τἀγαθόν;

Ταῦτα μὲν οὖν ἴσως ἐρεῖ τοιόσδε ἀπορῶν λόγος, ἡμεῖς δὲ ἀξιώσομεν αὐτὸν εἰς τὴν τῶν πραγμάτων ἀλήθειαν ἀποβλέπειν, καὶ πρῶτον γε τοῦτο εἰπεῖν παρρησιασόμεθα· τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ, καὶ εἰ ἐκ τἀγαθοῦ ἐστιν, οὐ κακόν· οὐδὲ γὰρ πυρὸς τὸ ψύχειν, οὔτε ἀγαθοῦ τὸ μὴ ἀγαθὰ πράττειν. Καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ – φύσις γὰρ τῷ ἀγαθῷ τὸ παράγειν καὶ σώζειν, τῷ δὲ κακῷ τὸ φθείρειν καὶ ἀπολλύειν –, οὐδέν ἐστι τῶν ὄντων ἐκ τοῦ κακοῦ, καὶ οὐδὲ αὐτὸ ἔσται τὸ κακόν, εἴπερ καὶ ἑαυτῷ κακὸν εἴη. Καὶ εἰ μὴ τοῦτο, οὐ πάντη κακὸν τὸ κακόν, ἀλλ᾽ ἔχει τινὰ τἀγαθοῦ, καθ᾽ ἣν ὅλως ἐστί, μοῖραν.

Καὶ εἰ τὰ ὄντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίεται, καὶ πάντα ὅσα ποιεῖ διὰ τὸ δοκοῦν ἀγαθὸν ποιεῖ, καὶ πᾶς ὁ τῶν ὄντων σκοπὸς

---

**2 – 3** ὅτι – θεός] sic C (est titulus operis Basilii Caesariensis, sed aptus ad locum citatum)

---

**4 – 903, 5 I 1461** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, IV. 18–35 (ed. Suchla, p. 162, 9 – 180, 7)

---

**2 – 903, 5 I 1461** C (226r[4–5]6–234r27); *deest in* $H^{II}$ R

---

**4** α′] *supplevimus (vide infra), om.* C **5** καὶ – ἀγγελικῆς] *scripsimus (ed.)*, και της ἀγγελικης $C^{mg.}$, ἰσαγγελικῆς $C^{txt}$ **6** ἀποπεπτωκυῖα] *correximus (ed.)*, ὑποπεπτωκυῖα C **9** κακύναν] *sic acc.* C **14** τὸ] *supplevimus (ed.), om.* C **14 – 15** ἐφίεταί τι] *correximus (ed.)*, ἀφίεταί τι C **20** πράττειν] παράγειν *ed.*

ἀρχὴν ἔχει καὶ τέλος τἀγαθόν – οὐδὲν γὰρ εἰς τὴν τοῦ κακοῦ φύσιν ἀποβλέπον ποιεῖ ἃ ποιεῖ –, πῶς ἔσται τὸ κακὸν ἐν τοῖς οὖσιν ἢ ὅλως ὂν τῆς τοιαύτης ἀγαθῆς ὀρέξεως παρῃρημένον;

Καὶ εἰ τὰ ὄντα πάντα ἐκ τἀγαθοῦ, καὶ τἀγαθὸν ἐπέκεινα τῶν ὄντων, ἔστι μὲν ἐν τἀγαθῷ καὶ τὸ μὴ ὂν ὄν, τὸ δὲ κακὸν οὔτε ὄν ἐστιν – εἰ δὲ μή, οὐ πάντῃ κακόν –, οὔτε μὴ ὄν· οὐδὲν γὰρ ἔσται τὸ καθόλου μὴ ὄν, εἰ μὴ ἐν τἀγαθῷ κατὰ τὸ ὑπερούσιον λέγοιτο. Τὸ μὲν οὖν ἀγαθὸν ἔσται καὶ τοῦ ἁπλῶς ὄντος καὶ τοῦ μὴ ὄντος πολλῷ πρότερον ὑπεριδρυμένον, τὸ δὲ κακὸν οὔτε ἐν τοῖς οὖσιν, οὔτε ἐν τοῖς μὴ οὖσιν, ἀλλὰ καὶ αὐτοῦ τοῦ μὴ ὄντος μᾶλλον, ἀπέχον τἀγαθοῦ καὶ ἀνουσιώτερον.

β′ Πόθεν οὖν ἐστὶ τὸ κακόν; εἴποι τίς. Εἰ γὰρ μὴ ἔστι τὸ κακόν, ἀρετὴ καὶ κακία ταὐτόν, καὶ ἡ πᾶσα τῇ ὅλῃ, καὶ ἡ ἐν μέρει τῇ ἀνὰ λόγον, ἢ οὐδὲ τὸ τῇ ἀρετῇ μαχόμενον ἔσται κακόν. Καίτοι ἐναντίαι σωφροσύνη καὶ ἀκολασία, καὶ δικαιοσύνη καὶ ἀδικία. Καὶ οὐ δήπου κατὰ τὸν δίκαιον καὶ τὸν ἄδικόν φημι, καὶ τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, ἀλλὰ καὶ πρὸ τῆς ἔξω φαινομένης τοῦ ἐναρέτου πρὸς τὸν ἀντικείμενον διαστάσεως ἐν αὐτῇ πολλῷ πρότερον τῇ ψυχῇ καθόλου διεστήκασι τῶν ἀρετῶν αἱ κακίαι καὶ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει, καὶ ἐκ τούτων ἀνάγκη δοῦναί τι τῷ ἀγαθῷ κακὸν ἐναντίον. Οὐ γὰρ ἑαυτῷ τἀγαθὸν ἐναντίον, ἀλλ᾽ ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ ἑνὸς ἔγγονον αἰτίου κοινωνίᾳ καὶ ἑνότητι καὶ φιλίᾳ χαίρει.

Καὶ οὐδὲ τὸ ἔλαττον ἀγαθὸν τῷ μείζονι ἐναντίον· οὔτε γὰρ τὸ ἧττον θερμὸν ἢ ψυχρὸν τῷ πλείονι ἐναντίον. Ἔστιν οὖν ἐν τοῖς οὖσι κακόν, ἔστι καὶ ἠναντίωται τἀγαθῷ τὸ κακόν. Καὶ εἰ φθορά ἐστι τῶν ὄντων, οὐκ ἐκβάλλει τοῦτο τοῦ εἶναι τὸ κακόν, ἀλλ᾽ ἔσται καὶ αὐτὸ ὂν καὶ τῶν ὄντων γενεσιουργόν. Ἢ οὐχὶ πολλάκις ἡ τοῦδε φθορὰ τοῦδε γίνεται γένεσις; Καὶ ἔσται τὸ κακὸν εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν συντελοῦν, καὶ τῷ ὅλῳ τὸ μὴ ἀτελὲς εἶναι δι᾽ ἑαυτὸ παρεχόμενον.

Ἐρεῖ δὲ πρὸς ταῦτα ὁ ἀληθὴς λόγος ὅτι τὸ κακὸν ᾗ κακὸν οὐδεμίαν οὐσίαν ἢ γένεσιν ποιεῖ, μόνον δὲ κακύνει καὶ φθείρει τὸ ἐπ᾽ αὐτῷ καὶ τὴν τῶν ὄντων ὑπόστασιν. Εἰ δὲ γενεσιουργὸν τίς αὐτὸ εἶναι λέγοι, καὶ τῇ τούτου φθορᾷ τῷ ἑτέρῳ διδόναι γένεσιν, ἀπο-

**10** μᾶλλον] μᾶλλον ἀλλότριον *ed. (sed cf. app. crit.)* **12** μὴ ἔστι] *scripsimus (ed.)*, μὴ ἐστὶ C **14–15** ἐναντία *ed. (sed cf. app. crit.)* **26** κακόν, ἔστι] καὶ ὄν ἐστι *ed.* εἰ] *correximus (ed.)*, ἡ C **28** τῶν] *deest in ed.* **34** καὶ] *deest in ed.*

κριτέον ἀληθῶς· Οὐχ’ ᾗ φθείρει, δίδωσιν γένεσιν, ἀλλ’ ᾗ μὲν φθορὰ καὶ κακόν, φθείρει καὶ κακύνει μόνον· γένεσις δὲ καὶ οὐσία διὰ τὸ ἀγαθὸν γίνεται, καὶ ἔσται τὸ κακὸν φθορὰ μὲν δι’ ἑαυτό, γενεσιουργὸν δὲ διὰ τὸ ἀγαθόν, καὶ ᾗ μὲν κακόν, οὔτε <***> ὄντων ποιητικόν, διὰ δὲ τὸ ἀγαθόν, καὶ ὂν καὶ ἀγαθὸν ὄν, καὶ ἀγαθῶν ποιητικόν. Μᾶλλον δέ, οὐδὲ γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ κακόν, οὐδὲ τοῦ αὐτοῦ φθορὰ καὶ γένεσις ἡ αὐτὴ κατὰ τὸ αὐτὸ δύναμις, οὔτε αὐτοδύναμις ἢ αὐτοφθορά.

Τὸ μὲν αὐτοκακόν, οὔτε ὂν οὔτε ἀγαθόν, οὔτε γενεσιουργόν, οὔτε ὄντων καὶ ἀγαθῶν ποιητικόν· τὸ δὲ ἀγαθὸν ἐν οἷς μὲν ἂν τελέως ἐγγένηται, τέλεια ποιεῖ καὶ ἀμιγῆ καὶ ὁλόκληρα ἀγαθά· τὰ δὲ ἧττον αὐτοῦ μετέχοντα, καὶ ἀτελῆ ἐστὶν ἀγαθὰ καὶ μεμιγμένα διὰ τὴν ἔλλειψιν τοῦ ἀγαθοῦ. Καὶ οὐκ ἔστι καθόλου τὸ κακὸν οὔτε ἀγαθὸν οὔτε ἀγαθοποιόν, ἀλλὰ τὸ μᾶλλον ἢ ἧττον τῷ ἀγαθῷ πλησιάζον, ἀναλόγως ἔσται ἀγαθόν, ἐπείπερ ἡ διὰ πάντων φοιτῶσα παντελὴς ἀγαθότης οὐ μέχρι μόνον χωρεῖ τῶν περὶ αὐτὴν παναγάθων οὐσιῶν, ἐκτείνεται δὲ ἄχρι τῶν ἐσχάτων, ταῖς μὲν ὁλικῶς παροῦσα, ταῖς δὲ ὑφειμένως, ἄλλαις δὲ ἐσχάτως, ὡς ἕκαστον αὐτῆς μετέχειν δύναται τῶν ὄντων. Καὶ τὰ μὲν πάντη τοῦ ἀγαθοῦ μετέχει, τὰ δὲ μᾶλλον καὶ ἧττον ἐστέρηται, τὰ δὲ ἀμυδροτέραν ἔχει τοῦ ἀγαθοῦ μετουσίαν, καὶ ἄλλοις κατὰ ἔσχατον ἀπήχημα πάρεστι τἀγαθόν. Εἰ γὰρ μὴ ἀναλόγως ἑκάστῳ τἀγαθὸν παρῆν, ἦν ἂν τὰ θειότατα καὶ πρεσβύτατα τὴν τῶν ἐσχάτων ἔχοντα τάξιν. Πῶς δὲ καὶ ἦν δυνατὸν μονοειδῶς πάντα μετέχειν τοῦ ἀγαθοῦ, μὴ πάντα ὄντα ταὐτῶς εἰς τὴν ὁλικὴν αὐτοῦ μέθεξιν ἐπιτήδεια;

Νῦν δὲ τοῦτο ἐστὶ τῆς τοῦ ἀγαθοῦ δυνάμεως *τὸ ὑπερβάλλον μέγεθος*, ὅτι καὶ τὰ ἐστερημένα καὶ τὴν ἑαυτοῦ στέρησιν δυναμοῖ κατὰ τὸ ὅλως αὐτοῦ μετέχειν. Καὶ εἰ χρὴ παρρησιασάμενον εἰπεῖν τἀληθῆ· καὶ τὰ μαχόμενα αὐτῷ τῇ αὐτοῦ δυνάμει καὶ ἔστι καὶ μάχεσθαι δύναται. Μᾶλλον δέ, ἵνα συλλαβὼν εἴπω, πάντα τὰ ὄντα καθόσον ἐστί, καὶ ἀγαθά ἐστι καὶ ἐκ τἀγαθοῦ, καθόσον δὲ ἐστέρηται τοῦ ἀγαθοῦ, οὔτε ἀγαθὰ οὔτε ὄντα ἐστίν. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἕξεων, οἷον θερμότητος ἢ ψυχρότητος, ἐστὶ τὰ θερμανθέντα, καὶ ἀπολειπούσης αὐτὰ τῆς θερμότητος, καὶ ζωῆς καὶ

**27 – 28** Eph. 1, 19

**4** ᾗ] *correximus (ed.)*, εἰ C *post* οὔτε *quaedam excidisse videntur*, ὂν οὔτε *ed.*
**34 – 35** *post* θερμανθέντα *hab.* ἢ καὶ ψυχθέντα *ed.*

νοῦ πολλὰ τῶν ὄντων ἄμοιρα· καὶ οὐσίας ὁ θεὸς ἐξῄρηται καὶ ἔστιν ὑπερουσίως. Καὶ ἁπλῶς τῶν μὲν ἄλλων ἁπάντων, καὶ ἀπελθούσης ἢ μὴ δὲ ἐγγενομένης πάντη τῆς ἕξεως, ἐστὶ τὰ ὄντα καὶ ὑφίστασθαι δύνανται, τὸ δὲ κατὰ πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον οὐδαμῇ οὐδαμῶς οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται, οὔτε εἶναι δύναται. Οἷον, ὁ ἀκόλαστος εἰ καὶ ἐστέρηται τοῦ ἀγαθοῦ κατὰ τὴν ἄλογον ἐπιθυμίαν, ἐν τούτῳ μὲν οὔτε ἐστὶν οὔτε ὄντων ἐπιθυμεῖ, μετέχει δὲ ὅμως τἀγαθοῦ κατ᾽ αὐτὸ τῆς ἑνώσεως καὶ φιλίας ἀμυδρὸν ἀπήχημα.

Καὶ ὁ θυμὸς μετέχει τἀγαθοῦ κατ᾽ αὐτὸ τὸ κινεῖσθαι καὶ ἐφίεσθαι τὰ δοκοῦντα κακὰ πρὸς τὸ δοκοῦν καλὸν ἀνορθοῦν καὶ ἐπιστρέφειν. Καὶ αὐτὸς ὁ τῆς χειρίστης ζωῆς ἐφιέμενος, ὡς ὅλως ζωῆς ἐφιέμενος καὶ τῆς ἀρίστης αὐτῷ δοκούσης, κατ᾽ αὐτὸ τὸ ἐφίεσθαι καὶ ζωῆς ἐφίεσθαι καὶ πρὸς ἀρίστην ζωὴν ἀποσκοπεῖν μετέχει τἀγαθοῦ.

Καὶ εἰ πάντη τὸ ἀγαθὸν ἀνέλῃς, οὔτε οὐσία ἔσται, οὔτε ζωή, οὔτε ἔφεσις, οὔτε κίνησις, οὔτε ἄλλο οὐδέν· ὥστε καὶ τὸ γίνεσθαι ἐκ φθορᾶς γένεσιν οὐκ ἔστιν κακοῦ δύναμις, ἀλλ᾽ ἥττονος ἀγαθοῦ παρουσία, καθόσον καὶ νόσος ἔλλειψίς ἐστι τάξεως, οὐ πάσης. Εἰ γὰρ τοῦτο γένηται, οὔτε ἡ νόσος αὐτὴ ὑποστήσεται· μένει δὲ καὶ ἔστιν ἡ νόσος, οὐσίαν ἔχουσα τὴν ἐλαχίστην τάξιν καὶ ἐν αὐτῇ παρυφισταμένη[ν]. Τὸ γὰρ πάντη ἄμοιρον τοῦ ἀγαθοῦ, οὔτε ὄν, οὔτε ἐν τοῖς οὖσιν· τὸ δὲ μικτὸν διὰ τὸ ἀγαθὸν ἐν τοῖς οὖσιν, καὶ κατὰ τοῦτο ἐν τοῖς οὖσιν καὶ ὄν, καθόσον τοῦ ἀγαθοῦ <***>. Μᾶλλον δὲ τὰ ὄντα πάντα κατὰ τοσοῦτον ἔσται μᾶλλον καὶ ἧττον, καθόσον τοῦ ἀγαθοῦ μετέχει· καὶ γὰρ καὶ ἐπὶ τοῦ αὐτὸ εἶναι τὸ μηδαμῇ μηδαμῶς ὂν οὔτε ἔσται. Τὸ δὲ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν, καθόσον μὲν ἀποπέπτωκεν τοῦ ἀεὶ ὄντος, οὐκ ἔστιν, καθόσον δὲ τοῦ εἶναι μετείληφεν, κατὰ τοσοῦτον ἐστίν, καὶ τὸ ὅλως εἶναι καὶ τὸ μὴ ὂν αὐτοῦ διακρατεῖται καὶ διασώζεται.

Καὶ τὸ κακὸν τὸ μὲν πάντη τοῦ ἀγαθοῦ ἀποπεπτωκὸς οὔτε ἐν τοῖς μᾶλλον, οὔτε ἐν τοῖς ἧττον ἀγαθοῖς ἔσται. Τὸ δὲ πῇ μὲν ἀγαθόν, πῇ δὲ οὐκ ἀγαθὸν μάχεται μὲν ἀγαθῷ τινί, οὐχ᾽ ὅλῳ δὲ τἀγαθῷ· κρατεῖται δὲ καὶ αὐτὸ τῇ τοῦ ἀγαθοῦ μετουσίᾳ, καὶ οὐσιοῖ καὶ τὴν ἑαυτοῦ στέρησιν τὸ ἀγαθὸν τῇ ὅλως αὐτοῦ μεθέξει. Πάν-

**2** τῶν μὲν] ἐπὶ μὲν τῶν *ed. (sed cf. app. crit.)* **22** παρυφισταμένη] *correximus (ed., sed cf. app. crit.),* παρυφισταμένην C **24** *post* ἀγαθοῦ *quiddam excidisse videtur,* μετέχει *ed.* **26** τοῦ[2]] *correximus (ed., sed cf. app. crit.),* τὸ C

τη γὰρ ἀπελθόντος τοῦ ἀγαθοῦ, οὔτε καθόλου τί ἔσται ἀγαθόν, οὔτε μικτόν, οὔτε αὐτοκακόν.

Εἰ γὰρ τὸ κακὸν ἀτελές ἐστιν ἀγαθὸν ἀπουσίᾳ παντελεῖ τοῦ ἀγαθοῦ, καὶ τὸ ἀτελὲς καὶ τὸ τέλειον ἀγαθὸν ἀπέσται. Καὶ τότε μόνον ἔσται καὶ ὀφθήσεται τὸ κακόν, ἡνίκα τοῖς μέν ἐστι κακὸν οἷς ἠναντίωται, τῶν δὲ ὡς ἀγαθῶν ἐξήρηται· μάχεσθαι γὰρ ἀλλήλοις τὰ αὐτὰ κατὰ τὰ αὐτὰ ἐν πᾶσιν, ἀδύνατον. Οὐκ ἄρα ὂν τὸ κακόν.

γʹ Ἀλλʼ οὐδὲ ἐν τοῖς οὖσιν ἐστὶ τὸ κακόν. Εἰ γὰρ πάντα τὰ ὄντα ἐκ τἀγαθοῦ, καὶ ἐν πᾶσι τοῖς οὖσιν καὶ πάντα περιέχει τἀγαθόν, ἢ οὐκ ἔσται τὸ κακὸν ἐν τοῖς οὖσιν ἢ ἐν τἀγαθῷ ἔσται. Καὶ [ἢ] μὴν ἐν τἀγαθῷ οὐκ ἔσται· καὶ γὰρ οὐδὲ ἐν πυρὶ τὸ ψυχρόν, οὐδὲ τὸ κακύνεσθαι τῷ καὶ τὸ κακὸν ἀγαθύνοντι. Εἰ δὲ ἔσται, πῶς ἔσται ἐν τἀγαθῷ τὸ κακόν; Εἰ μὲν ἐξ αὐτοῦ, ἄτοπον καὶ ἀδύνατον· *Οὐ δύναται* γάρ, ὡς ἡ τῶν λογίων ἀλήθεια φησίν, *δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν*, οὐδὲ μὴν τὸ ἀνάπαλιν. Εἰ δὲ οὐκ ἐξ αὐτοῦ, ἐξ ἄλλης δηλονότι ἀρχῆς καὶ αἰτίας. Καὶ γὰρ ἢ τὸ κακὸν ἐκ τοῦ ἀγαθοῦ ἔσται, ἢ τὸ ἀγαθὸν ἐκ τοῦ κακοῦ, ἤ, εἰ μὴ τοῦτο δυνατόν, ἐξ ἄλλης ἀρχῆς καὶ αἰτίας ἔσται καὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν. Πᾶσα γὰρ δυὰς οὐκ ἀρχή, μονὰς δὲ ἔσται πάσης δυάδος ἀρχή.

Καίτοι ἄτοπον ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ δύο παντελῶς ἐναντία προϊέναι καὶ εἶναι καὶ αὐτὴν τὴν ἀρχὴν οὐχʼ ἁπλῆν καὶ ἑνιαίαν, ἀλλὰ μεριστὴν καὶ δυοειδῆ καὶ ἐναντίαν ἑαυτῇ καὶ ἠλλοιωμένην. Καὶ μὴν οὔτε δύο τῶν ὄντων ἐναντίας ἀρχὰς δυνατὸν εἶναι καὶ ταύτας ἐν ἀλλήλαις καὶ ἐν τῷ παντὶ καὶ μαχομένας. Εἰ γὰρ τοῦτο δοθείη, ἔσται καὶ ὁ θεὸς οὐκ ἀπήμων, οὐδὲ ἐκτὸς δυσχερείας, εἴπερ εἴη τί καὶ αὐτῷ τὸ ἐνοχλοῦν, ἔπειτα ἔσται πάντα ἄτακτα καὶ ἀεὶ μαχόμενα. Καίτοι φιλίας πᾶσι τοῖς οὖσι τὸ ἀγαθὸν μεταδίδωσι, καὶ αὐτοειρήνη καὶ εἰρηνόδωρος ὑμνεῖται πρὸς τῶν ἱερῶν θεολόγων. Διὸ καὶ φίλα τὰ ἀγαθὰ καὶ ἐναρμόνια πάντα, καὶ μιᾶς ζωῆς ἔγγονα, καὶ πρὸς ἓν ἀγαθὸν συντεταγμένα καὶ προσηνῆ καὶ ὅμοια καὶ προσήγορα ἀλλήλοις· ὥστε οὐκ ἐν θεῷ τὸ κακόν, καὶ τὸ κακὸν οὐκ ἔνθεον.

---

**15 – 16** Matth. 7, 18 **29** εἰρηνόδωρος] cf. e. g. Rom. 15, 33

---

**7** ἄρα] *correximus (ed.)*, ἆρα C **12** ἢ] *delevimus (ed.)* μὴν] *correximus (ed.)*, μὲν C **17** ἄλλης] ἄλης C[a. c. man. rec. s. l.] **19** ἄλλης] ἄλης C[a. c. man. rec. s. l.] **22** οὐχʼ ἁπλῆν] *correximus*, οὐκ ἁπλῆν C **32** ἐν θεῷ] *correximus (ed.)*, ἔνθεον C **32 – 33** κακὸν] *correximus (ed.)*, καλὸν C

Ἀλλ’ οὐδὲ ἐκ θεοῦ τὸ κακόν. Ἢ γὰρ οὐκ ἀγαθός, ἢ ἀγαθοποιεῖ καὶ ἀγαθὰ παράγει, καὶ οὐ ποτὲ μὲν καὶ τινά, ποτὲ δὲ οὐ καὶ οὐ πάντα· μεταβολὴν γὰρ ἐν τούτῳ πείσεται καὶ ἀλλοίωσιν καὶ περὶ αὐτὸ τὸ πάντων θειότατον, τὴν αἰτίαν. Εἰ δὲ ἐν θεῷ τὸ ἀγαθὸν ὕπαρξις ἐστίν, ἔσται ὁ μεταβάλλων ἐκ τἀγαθοῦ θεὸς ποτὲ μὲν ὤν, ποτὲ δὲ οὐκ ὤν. Εἰ δὲ μεθέξει τὸ ἀγαθὸν ἔχει, καὶ ἐξ ἑτέρου ἕξει, καὶ ποτὲ μὲν ἕξει, ποτὲ δὲ οὐχ’ ἕξει. Οὐκ ἄρα ἐκ θεοῦ τὸ κακόν, οὔτε ἐν θεῷ, οὔτε ἁπλῶς, οὔτε κατὰ χρόνον.

<δʹ> Ἀλλ’ οὔτε ἐν ἀγγέλοις ἐστὶ τὸ κακόν. Εἰ γὰρ ἐξαγγέλλει τὴν ἀγαθότητα τὴν θείαν ὁ ἀγαθοειδὴς ἄγγελος, ἐκεῖνο ὢν κατὰ μέθεξιν δευτέρως, ὅπερ κατ’ αἰτίαν τὸ ἀγγελλόμενον πρώτως, *εἰκών* ἐστιν τοῦ θεοῦ ὁ ἄγγελος, φανέρωσις τοῦ ἀφανοῦς φωτός, *ἔσοπτρον* ἀκραιφνές, διειδέστατον, ἀλώβητον, ἄχραντον, *ἀκηλίδωτον*, εἰσδεχόμενον ὅλην, εἰ θέμις εἰπεῖν, τὴν ὡραιότητα τῆς ἀγαθοτύπου θεοειδ<ε>ίας, καὶ ἀμιγῶς ἀναλάμπον ἐν αὐτῷ καθάπερ οἷόν τε ἐστὶν τὴν ἀγαθότητα τῆς ἐν ἀδύτοις σιγῆς. Οὐκ ἄρα οὐδὲ ἐν ἀγγέλοις ἐστὶ τὸ κακόν.

Ἀλλὰ τῷ κολάζειν τοὺς ἁμαρτάνοντας εἰσὶ κακοί. Τούτῳ γοῦν τῷ λόγῳ καὶ οἱ σωφρονισταὶ τῶν πλημμελούντων κακοί, καὶ τῶν ἱερέων οἱ τὸν βέβηλον τῶν θείων μυστηρίων ἀπείργοντες. Καίτοι οὐδὲ τὸ κολάζεσθαι κακόν, ἀλλὰ τὸ ἄξιον γενέσθαι κολάσεως, οὐδὲ τὸ κατ’ ἀξίαν ἀπείργεσθαι τῶν ἱερῶν, ἀλλὰ τὸ ἐναγῆ καὶ ἀνίερον γενέσθαι καὶ τῶν ἀχράντων ἀνεπιτήδειον.

εʹ Ἀλλ’ οὔτε οἱ δαίμονες φύσει κακοί. Καὶ γὰρ εἰ φύσει κακοί, οὔτε ἐκ τἀγαθοῦ, οὔτε ἐν τοῖς οὖσιν, οὔτε μὴν ἐξ ἀγαθῶν μετέβαλον, φύσει καὶ ἀεὶ κακοὶ ὄντες.

Ἔπειτα ἑαυτοῖς εἰσὶν κακοὶ ἢ ἑτέροις; Εἰ μὲν ἑαυτοῖς, καὶ φθείρουσιν ἑαυτούς· εἰ δὲ ἄλλοις, πῶς φθείροντες, ἢ τί φθείροντες, οὐσίαν ἢ δύναμιν, ἢ ἐνέργειαν; Εἰ μὲν οὐσίαν, πρῶτον μὲν οὐ παρὰ φύσιν· τὰ γὰρ φύσει ἄφθαρτα οὐ φθείρουσιν, ἀλλὰ τὰ δεκτικὰ φθορᾶς. Ἔπειτα οὐδὲ τοῦτο παντὶ καὶ πάντη κακόν. Ἀλλ’ οὐδὲ φθείρεταί τι τῶν ὄντων καθὸ οὐσία καὶ φύσις, ἀλλὰ τῇ ἐλλείψει

**12** εἰκών] Sap. 7, $26^{3}$ **13 – 14** Ibid. 7, $26^{2}$

**2** οὐ ποτὲ] *scripsimus (ed.)*, οὔποτε C **3** πείσεται] πήσεται C$^{\text{a. c. man. rec.}}$ **7** οὐχ’ ἕξει] *correximus*, οὐκ ἕξει C ἄρα C$^{\text{a. c.}}$ **9** δʹ] *supplevimus*, *om.* C **11 – 12** ἀγγελλόμενον – ἐστιν] *correximus (ed.)*, ἀγγελλόμενον. πρῶτος εἰκών ἐστιν C **15** θεοειδείας] *correximus (ed.)*, θεοειδίας C ἀναλάμπον] *correximus (ed.)*, ἀναλάμπων C **18** τῷ] *correximus (ed.)*, τὸ C **25** μὴν] *correximus (ed.)*, μὲν C

τῆς κατὰ φύσιν ἕξεως ὁ τῆς ἁρμονίας καὶ συμμετρίας λόγος ἀσθενεῖ μένειν ὡσαύτως ἔχων. Ἡ δὲ ἀσθένεια οὐ παντελής· εἰ γὰρ παντελής, καὶ τὴν φθορὰν καὶ τὸ ὑποκείμενον ἀνεῖλεν, καὶ ἔσται ἡ τοιαύτη φθορὰ καὶ ἑαυτῆς φθορά· ὥστε τὸ τοιοῦτον οὐ κακόν, ἀλλ᾽ ἐλλειπὲς ἀγαθόν. Τὸ γὰρ πάντη ἄμοιρον τοῦ ἀγαθοῦ, οὔτε ἐν τοῖς οὖσιν ἔσται. Καὶ περὶ τῆς εἰς δύναμιν καὶ ἐνέργειαν φθορᾶς ὁ αὐτὸς λόγος.

Εἶτα, πῶς οἱ ἐκ θεοῦ γενόμενοι δαίμονές εἰσιν κακοί; Τὸ γὰρ ἀγαθὸν ἀγαθὰ παράγει καὶ ὑφίστησιν. Καίτοι λέγονται κακοί, φαίη τίς, ἀλλ᾽ οὐ καθὸ εἰσίν – ἐκ τἀγαθοῦ γάρ εἰσιν καὶ ἀγαθὴν ἔλαχον οὐσίαν –, ἀλλὰ καθὸ οὐκ εἰσίν, ἀσθενήσαντες, ὡς τὰ λόγιά φησιν, *τηρῆσαι τὴν ἑαυτῶν ἀρχήν*. Ἐν τίνι γάρ, εἰπέ μοι, κακύνεσθαί φαμεν τοὺς δαίμονας, εἰ μὴ ἐν τῇ παύσει τῆς τῶν θείων ἀγαθῶν ἕξεως καὶ ἐνεργείας;

Ἄλλωστε, εἰ φύσει κακοὶ οἱ δαίμονες, ἀεὶ κακοί. Καίτοι τὸ κακὸν ἄστατόν ἐστιν. Οὐκοῦν, εἰ ἀεὶ ὡσαύτως ἔχουσιν, οὐ κακοί· τὸ γὰρ ἀεὶ ταὐτὸν τοῦ ἀγαθοῦ ἴδιον. Εἰ δὲ οὐκ ἀεὶ κακοί, οὐ φύσει κακοί, ἀλλ᾽ ἐνδείᾳ τῶν ἀγγελικῶν ἀγαθῶν. Καὶ οὐ πάντη ἄμοιροι τοῦ ἀγαθοῦ καθὸ εἰσὶν καὶ ζῶσιν καὶ νοοῦσιν, καὶ ὅλως ἔστιν τίς ἐν αὐτοῖς ἐφέσεως κίνησις. Κακοὶ δὲ λέγονται εἶναι διὰ τὸ ἀσθενεῖν περὶ τὴν κατὰ φύσιν ἐνέργειαν. Παρατροπὴ οὖν ἔστιν αὐτοῖς τὸ κακόν, καὶ τῶν προσηκόντων αὐτοῖς ἔκβασις καὶ ἀτευξία καὶ ἀτέλεια καὶ ἀδυναμία καὶ τῆς σωζούσης τὴν ἐν αὐτοῖς τελειότητα δυνάμεως ἀσθένεια καὶ ἀποφυγὴ καὶ ἀπόπτωσις.

Ἄλλωστε τὸ ἐν δαίμοσι κακὸν θυμὸς ἄλογος, ἄνους ἐπιθυμία, φαντασία προπετής. Ἀλλὰ ταῦτα, εἰ καὶ ἔστιν ἐν δαίμοσιν, οὐ πάντη οὐδὲ ἐπὶ πάντων οὐδὲ αὐτὰ καθ᾽ αὐτὰ κακά. Καὶ γὰρ ἐφ᾽ ἑτέρων ζώων οὐχ᾽ ἡ σχέσις τούτων, ἀλλ᾽ ἡ ἀναίρεσις ἐστὶν καὶ φθορὰ τῷ ζῴῳ καὶ κακόν. Ἡ δὲ σχέσις σώζει καὶ εἶναι ποιεῖ τὴν ταῦτα ἔχουσαν τοῦ ζώου φύσιν. Οὐκ ἄρα κακὸν τὸ δαιμόνιον φῦλον ᾗ ἐστιν κατὰ φύσιν, ἀλλ᾽ ᾗ οὐκ ἔστιν. Καὶ οὐκ ἠλλοιώθη τὸ δοθὲν αὐτοῖς ὅλον ἀγαθόν, ἀλλ᾽ αὐτοὶ τοῦ δοθέντος ἀποπεπτώκασιν ὅλου ἀγαθοῦ. Καὶ τὰς δοθείσας αὐτοῖς ἀγγελικὰς δωρεάς, οὐ μήποτε αὐτὰς ἠλλοιῶσθαι φαμέν, ἀλλ᾽ εἰσὶν καὶ ὁλόκληροι καὶ παμφαεῖς εἰσί, κἂν αὐτοὶ μὴ ὁρῶσιν, ἀπομύσαντες ἑαυτῶν τὰς

**12** Iudae 6

**1** ἕξεως] τάξεως *ed.* **2** εἰ] *correximus (ed.)*, ἡ C **5** ἐλλῖπὲς C[p. c.] **11** ἀλλὰ] *correximus (ed.)*, ἀλλ᾽ οὐ C **25** *post* Ἄλλωστε *hab.* τί *ed.*

ἀγαθοπτικὰς δυνάμεις· ὥστε <ὃ> εἰσί, καὶ ἐκ τοῦ ἀγαθοῦ εἰσὶ καὶ ἀγαθοὶ καὶ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίενται, τοῦ εἶναι καὶ ζῆν καὶ νοεῖν τῶν ὄντων ἐφιέμενοι· καὶ τῇ στερήσει καὶ ἀποφυγῇ καὶ ἀποπτώσει τῶν προσηκόντων αὐτοῖς ἀγαθῶν λέγονται κακοί. Καὶ εἰσὶν κακοί, καθὸ οὐκ εἰσί, καὶ τοῦ μὴ ὄντος ἐφιέμενοι, τοῦ κακοῦ ἐφίενται.

ς′ Ἀλλὰ ψυχάς τις εἶναι λέγει κακάς; Εἰ μὲν ὅτι συγγίνονται κακοῖς προνοητικῶς καὶ σωστικῶς, τοῦτο οὐ κακόν, ἀλλ’ ἀγαθόν, καὶ ἐκ τἀγαθοῦ τοῦ καὶ τὸ κακὸν ἀγαθύνοντος. Εἰ δὲ τὸ κακύνεσθαι ψυχὰς φαμέν, ἐν τίνι κακύνονται, εἰ μὴ ἐν τῇ τῶν ἀγαθῶν ἕξεων καὶ ἐνεργειῶν ἐλλείψει καὶ δι’ οἰκείαν ἀσθένειαν ἀτευξίᾳ καὶ ἀπολισθήσει; Καὶ γὰρ καὶ τὸν ἀέρα τὸν περὶ ἡμᾶς ἐσκοτῶσθαι φαμὲν ἐλλείψει καὶ ἀπουσίᾳ φωτός· αὐτὸ δὲ τὸ φῶς ἀεὶ φῶς ἐστιν τὸ καὶ τὸ σκότος φωτίζον. Οὐκ ἄρα οὔτε ἐν δαίμοσιν, οὔτε ἐν ἡμῖν τὸ κακὸν ὡς ὂν κακόν, ἀλλ’ ὡς ἔλλειψις καὶ ἐρημία τῆς τῶν οἰκείων ἀγαθῶν τελειότητος.

ζ′ Ἀλλ’ οὐδὲ ἐν ζώοις ἀλόγοις ἐστὶ τὸ κακόν. Εἰ γὰρ ἀνέλῃς θυμὸν καὶ ἐπιθυμίαν καὶ τὰ ἄλλα, ὅσα λέγεται καὶ οὐκ ἔστιν ἁπλῶς τῇ ἑαυτῶν φύσει κακά, τὸ μὲν ἀνδρεῖον καὶ γαῦρον ὁ λέων ἀπολέσας, οὐδὲ λέων ἔσται, προσηνὴς δὲ πᾶσιν γενόμενος ὁ κύων, οὐκ ἔσται κύων, εἴπερ κυνὸς τὸ φυλακτικόν, καὶ τὸ προσίεσθαι μὲν τὸ οἰκεῖον, ἀπελαύνειν δὲ τὸ ἀλλότριον· ὥστε τὸ μὴ φθείρεσθαι τὴν φύσιν, οὐ κακόν. Φθορὰ δέ, φύσεως ἀσθένεια καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεων καὶ ἐνεργειῶν καὶ δυνάμεων. Καὶ εἰ πάντα τὰ διὰ γενέσεως ἐν χρόνῳ ἔχει τὸ τέλειον, οὐδὲ τὸ ἀτελὲς πάντη παρὰ πᾶσαν φύσιν.

η′ Ἀλλ’ οὐδὲ ἐν τῇ ὅλῃ φύσει τὸ κακόν. Εἰ γὰρ οἱ πάντες φυσικοὶ λόγοι παρὰ τῆς καθόλου φύσεως, οὐδέν ἐστιν αὐτῇ τὸ ἐναντίον. Τῇ καθ’ ἕκαστον δέ, τὸ μὲν κατὰ φύσιν ἔσται, τὸ δὲ οὐ κατὰ φύσιν. Ἄλλῃ γὰρ ἄλλο παρὰ φύσιν, καὶ τὸ τῇδε κατὰ φύσιν, τῇδε παρὰ φύσιν. <Φύσε>ως δὲ κακία τὸ παρὰ φύσιν, ἡ στέρησις τῶν τῆς φύσεως. Ὥστε οὐκ ἔστιν κακὴ φύσις, ἀλλὰ τοῦτο τῇ φύσει κακόν, τὸ ἀδυνατεῖν τὰ τῆς οἰκείας φύσεως ἐκτελεῖν.

θ′ Ἀλλ’ οὐδὲ ἐν σώμασι τὸ κακόν. Αἶσχος γὰρ καὶ νόσος ἔκλειψις εἴδους καὶ στέρησις τάξεως. Τοῦτο δὲ οὐ πάντη κακόν, ἀλλ’ ἧττον καλόν. Εἰ γὰρ παντελὴς γένοιτο λύσις κάλλους καὶ εἴδους

**1** ὃ] *supplevimus (ed.), om.* C **14** φωτίζον] *correximus (ed.),* φωτίζειν C **19** ἀνδρεῖον] ἁδρὸν *ed. (sed cf. app. crit.)* **31** Φύσεως] *correximus (ed.),* ὡς C

καὶ τάξεως, οἰχήσεται καὶ αὐτὸ τὸ σῶμα. Ὅτι δὲ οὐδὲ κακίας αἴτιον ψυχῇ τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσιν. Τοῦτο γάρ ἐστιν καὶ νόοις καὶ ψυχαῖς καὶ σώμασι κακόν, ἡ τῆς ἕξεως τῶν οἰκείων ἀγαθῶν ἀσθένεια καὶ ἀπόπτωσις.

ι′ Ἀλλ᾽ οὐδὲ τὸ πολυθρύλλητον· Ἐν ὕλῃ τὸ κακόν, ὡς φασί, καθὸ ὕλη. Καὶ γὰρ καὶ αὐτὴ κόσμου καὶ κάλλους καὶ εἴδους ἔχει μετουσίαν. Εἰ δὲ τούτων ἐκτὸς οὖσα ἡ ὕλη καθ᾽ ἑαυτὴν ἄποιός ἐστιν καὶ ἀνείδεος, πῶς ποιεῖ τί ἡ ὕλη, ἡ μὴ δὲ τὸ πάσχειν δύνασθαι καθ᾽ ἑαυτὴν ἔχουσα;

Ἄλλωστε, πῶς ἡ ὕλη κακόν; Εἰ μὲν γὰρ οὐδαμῇ οὐδαμῶς ἐστιν, οὔτε ἀγαθὸν οὔτε κακόν. Εἰ δὲ πῶς ὄν, τὰ δὲ ὄντα πάντα ἐκ τἀγαθοῦ, καὶ αὐτὴ ἐκ τοῦ ἀγαθοῦ ἂν εἴη, καὶ ἢ τὸ ἀγαθὸν τοῦ κακοῦ ποιητικόν, ἢ τὸ κακὸν ὡς ἐκ τοῦ ἀγαθοῦ ὂν ἀγαθόν, ἢ τὸ κακὸν τοῦ ἀγαθοῦ ποιητικόν, ἢ καὶ τὸ ἀγαθὸν ὡς ἐκ τοῦ κακοῦ κακόν, ἢ δύο αὖθις ἀρχαί, καὶ αὗται ἄλλης μιᾶς ἐξημμένα κορυφῆς.

Εἰ δὲ ἀναγκαῖον φασὶ τὴν ὕλην πρὸς συμπλήρωσιν τοῦ παντὸς κόσμου, πῶς ἡ ὕλη κακόν; Ἄλλο γὰρ τὸ κακὸν καὶ τὸ ἀναγκαῖον. Πῶς δὲ ὁ ἀγαθὸς ἐκ τοῦ κακοῦ παράγει τινὰ πρὸς γένεσιν; Ἢ πῶς κακὸν τὸ τοῦ ἀγαθοῦ δεόμενον; Φεύγει γὰρ τὴν τοῦ ἀγαθοῦ φύσιν τὸ κακόν. Πῶς δὲ γεννᾷ καὶ τρέφει τὴν φύσιν ἡ ὕλη, κακὴ οὖσα; Τὸ γὰρ κακόν, καθὸ κακόν, οὐδενός ἐστι γεννητικὸν ἢ θρεπτικὸν ἢ ὅλως ποιητικὸν ἢ σωστικόν.

Εἰ δὲ φαῖεν αὐτὴν μὲν οὐ ποιεῖν κακίαν ἐν ψυχαῖς, ἐφέλκεσθαι δὲ αὐτάς, πῶς ἔσται τοῦτο ἀληθές; Πολλαὶ γὰρ αὐτῶν εἰς τὸ ἀγαθὸν βλέπουσιν. Καίτοι πῶς ἐγίνετο τοῦτο, τῆς ὕλης πάντως αὐτὰς εἰς τὸ κακὸν ἐφελκομένης; Ὥστε οὐκ ἐξ ὕλης ἐν ψυχαῖς τὸ κακόν, ἀλλ᾽ ἐξ ἀτάκτου καὶ πλημμελοῦς κινήσεως. Εἰ δὲ καὶ τοῦτο φασὶν τῇ ὕλῃ πάντως ἕπεσθαι καὶ ἀναγκαία ἡ ἄστατος ὕλη τοῖς ἐφ᾽ ἑαυτῶν ἱδρῦσθαι μὴ δυναμένοις, πῶς τὸ κακὸν ἀναγκαῖον, ἢ τὸ ἀναγκαῖον κακόν;

ια′ Ἀλλ᾽ οὐδὲ τοῦτο, ὅ φαμέν· Ἡ στέρησις κατὰ δύναμιν οἰκείαν μάχεται τῷ ἀγαθῷ. Εἰ γὰρ παντελὴς στέρησις, καθόλου ἀδύναμος· εἰ δὲ μερική, οὐ καθὸ στέρησις ἔχει τὴν δύναμιν, ἀλλὰ καθὸ οὐ παντελής ἐστιν στέρησις. Στερήσεως γὰρ τοῦ ἀγαθοῦ με-

---

**7** αὑτη *ed. (sed cf. app. crit.)* **9** ἡ[2]] *correximus (ed.)*, ἢ C **12** δὲ ὄντα] *correximus (ed.)*, δέοντα C **30** ἱδρῦσθαι] *scripsimus*, ἱδρύσθαι C **33** Εἰ] Ἡ *ed.* **34** εἰ] ἡ *ed.*

ρικῆς οὔσης, οὔπω κακόν, καὶ γενομένης, καὶ ἡ τοῦ κακοῦ φύσις ἀπελήλυθεν.

ιβʹ Συνελόντι δὲ εἰπεῖν, τὸ ἀγαθὸν ἐκ μιᾶς καὶ τῆς ὅλης αἰτίας, τὸ κακὸν ἐκ πολλῶν καὶ μερικῶν ἐλλείψεων.

ιγʹ Οἶδεν ὁ θεὸς τὸ κακὸν ᾗ ἀγαθόν, καὶ παρ᾽ αὐτῷ αἱ αἴτιαι τῶν κακῶν δυνάμεις εἰσὶν ἀγαθοποιοί.

ιδʹ Εἰ τὸ κακὸν ἀΐδιον καὶ δημιουργεῖ καὶ δύναται καὶ ἔστιν καὶ δρᾷ, πόθεν αὐτῷ ταῦτα; Ἢ ἐκ τἀγαθοῦ, ἢ τῷ ἀγαθῷ ἐκ τοῦ κακοῦ, ἢ ἀμφοῖν ἐξ ἄλλης αἰτίας;

ιεʹ Πᾶν τὸ κατὰ φύσιν ἐξ αἰτίας ὡρισμένης γίνεται. Εἰ τὸ κακὸν ἀναίτιον καὶ ἀόριστον, οὐ κατὰ φύσιν· οὐδὲ γὰρ ἐν τῇ φύσει τὸ παρὰ φύσιν, οὐδὲ ἀτεχνίας ἐν τῇ τέχνῃ λόγος.

ιςʹ Ἆρα ἡ ψυχὴ τῶν κακῶν αἰτία, καθάπερ τὸ πῦρ τοῦ θερμαίνειν, καὶ πάντα οἷς ἂν γειτνιάσῃ κακίας ἀναπί<μ>πλησι; Ἢ ἀγαθὴ μὲν ἡ ψυχῆς φύσις, ταῖς δὲ ἐνεργείαις τότε μὲν οὕτως ἔχει, τότε δὲ οὕτως; Εἰ μὲν φύσει καὶ τὸ εἶναι αὐτῆς κακόν, καὶ πόθεν αὐτῇ τὸ εἶναι; Ἦ ἐκ τῆς δημιουργικῆς τῶν ὅλων ἀγαθῆς αἰτίας; Ἀλλ᾽ εἰ ἐκ ταύτης, πῶς κατ᾽ οὐσίαν κακόν; Ἀγαθὰ γὰρ πάντα τὰ ταύτης ἔγγονα. Εἰ δὲ ταῖς ἐνεργείαις, οὐδὲ τοῦτο ἀμετάβλητον. Εἰ δὲ μή, πόθεν αἱ ἀρεταί, μὴ καὶ ἀγαθοειδοῦς αὐτῆς γινομένης; Λείπεται ἄρα τὸ κακὸν ἀσθένεια καὶ ἔλλειψις τοῦ ἀγαθοῦ εἶναι.

ιζʹ Τῶν ἀγαθῶν τὸ αἴτιον ἕν. Εἰ τῷ ἀγαθῷ τὸ κακὸν ἐναντίον, τοῦ κακοῦ τὰ αἴτια πολλά. Οὐ μὴν τὰ ποιητικὰ τῶν κακῶν, λόγοι καὶ δυνάμεις, ἀλλ᾽ ἀδυναμία καὶ ἀσθένεια καὶ μίξις τῶν ἀνομοίων ἀσύμμετρος. Οὔτε ἀκίνητα καὶ ἀεὶ ὡσαύτως ἔχοντα τὰ κακά, ἀλλ᾽ ἄπειρα καὶ ἀόριστα καὶ ἐν ἄλλοις φερόμενα, καὶ τούτοις ἀπείροις.

ιηʹ Πάντων καὶ τῶν κακῶν ἀρχὴ καὶ τέλος ἔσται τὸ ἀγαθόν. Τοῦ γὰρ ἀγαθοῦ ἕνεκα πάντα, καὶ ὅσα ἀγαθὰ καὶ ὅσα ἐναντία· καὶ γὰρ καὶ ταῦτα πράττομεν, τὸ ἀγαθὸν ποθοῦντες· οὐδεὶς γὰρ εἰς τὸ κακὸν ἀποβλέπων ποιεῖ ἃ ποιεῖ. Διὸ οὔτε ὑπόστασιν ἔχει τὸ κακόν, ἀλλὰ παρυπόστασιν, τοῦ ἀγαθοῦ ἕνεκα καὶ οὐχ᾽ ἑαυτοῦ γινόμενον.

ιθʹ Τῷ κακῷ <τὸ> εἶναι θετέον κατὰ συμβεβηκὸς καὶ δι᾽ ἄλλο καὶ οὐκ ἐξ ἀρχῆς οἰκείας, ὥστε τὸ γινόμενον, ὀρθὸν μὲν εἶναι δο-

---

**5** ᾗ] *correximus (ed.)*, ἢ C  αἴτιαι] *sic* C, αἰτίαι *ed.* **14** ἀναπίμπλησι] *correximus (ed.)*, ἀναπίπλησι C **19 – 20** μή, πόθεν] *correximus (ed.)*, μὴ ποθὲν C **21** ἄρα] *correximus (ed.)*, ἆρα C **27** κακῶν] *correximus (ed.)*, καλῶν C **29** ποθοῦντες] *correximus (ed.)*, ποιοῦντες C **33** τὸ] *supplevimus (ed.)*, *om.* C

κεῖν ὅτι τοῦ ἀγαθοῦ ἕνεκα γίνεται, τῷ ὄντι δὲ οὐκ ὀρθὸν εἶναι, διότι τὸ μὴ ἀγαθόν, ἀγαθὸν οἰόμεθα.

Δέδεικται ἄλλο τὸ ἐφετόν, καὶ ἄλλο τὸ γινόμενον. Οὐκοῦν τὸ κακὸν παρὰ τὴν ὁδὸν καὶ παρὰ τὸν σκοπὸν καὶ παρὰ τὴν φύσιν καὶ παρὰ τὴν αἰτίαν καὶ παρὰ τὴν ἀρχὴν καὶ παρὰ τὸ τέλος καὶ παρὰ τὸν ὅρον καὶ παρὰ τὴν βούλησιν καὶ παρὰ τὴν ὑπόστασιν. Στέρησις ἄρα ἐστὶ τὸ κακὸν καὶ ἔλλειψις καὶ ἀσθένεια καὶ ἀσυμμετρία καὶ ἄσκοπον καὶ ἀκαλλὲς καὶ ἄζω<ο>ν καὶ ἄν[ν]ουν καὶ ἄλογον καὶ ἀτελὲς καὶ ἀνίδρυτον καὶ ἀναίτιον καὶ ἀόριστον καὶ ἄγονον καὶ ἀργὸν καὶ ἀδρανὲς καὶ ἄτακτον καὶ ἀνόμοιον καὶ ἄπειρον καὶ σκοτεινὸν καὶ ἀνούσιον καὶ αὐτὸ μηδαμῶς μηδαμῇ μηδὲν ὄν.

κʹ Πῶς ὅλως δύναται τὸ κακὸν τῇ πρὸς τὸ ἀγαθὸν μίξει; Τὸ γὰρ πάντῃ τοῦ ἀγαθοῦ ἄμοιρον οὔτε ἐστὶν τί, οὔτε δύναται. Καὶ γὰρ εἰ τὸ ἀγαθὸν καὶ ὄν ἐστιν καὶ βουλητὸν καὶ εὐδύναμον καὶ δραστήριον, πῶς δυνήσεταί τι τὸ ἐναντίον τἀγαθῷ, τὸ οὐσίας καὶ βουλήσεως καὶ δυνάμεως καὶ ἐνεργείας ἐστερημένον;

καʹ Οὐ παντάπασι καὶ πάντῃ τὰ αὐτὰ κατὰ τὸ αὐτὸ κακά. Δαίμονι κακόν, τὸ παρὰ τὸν ἀγαθοειδῆ νοῦν εἶναι, ψυχῇ τὸ παρὰ λόγον, σώματι τὸ παρὰ φύσιν.

κβʹ Πῶς ὅλως τὰ κακά, προνοίας οὔσης; Οὐκ ἔστι τὸ κακόν, ᾗ κακόν, οὔτε ὂν οὔτε ἐν τοῖς οὖσι. Καὶ οὐδὲν τῶν ὄντων ἀπρονόητον· οὐδὲ γάρ ἐστι τὸ κακὸν ὄν, ἀμιγὲς ὑπάρχον τοῦ ἀγαθοῦ. Καὶ εἰ μηδὲν τῶν ὄντων ἀμέτοχον τοῦ ἀγαθοῦ, κακὸν δὲ ἡ ἔλλειψις τοῦ ἀγαθοῦ, οὐδὲν δὲ τῶν ὄντων ἐστέρηται καθόλου τἀγαθοῦ, ἐν πᾶσιν τοῖς οὖσιν ἡ θεία πρόνοια, καὶ οὐδὲν τῶν ὄντων ἀπρονόητον. Ἀλλὰ καὶ τοῖς γινομένοις κακοῖς ἀγαθοπρεπῶς ἡ πρόνοια κέχρηται, πρὸς τὴν αὐτῶν ἢ ἄλλων, ἢ ἰδικὴν ἢ <κοινὴν> ὠφέλειαν, καὶ οἰκείως ἑκάστου τῶν ὄντων προνοεῖ.

Διὸ καὶ τὸν εἰκαῖον τῶν πολλῶν οὐκ ἀποδεξόμεθα λόγον, οἵ χρῆναί φασι τὴν πρόνοιαν καὶ ἄκοντας ἡμᾶς ἐπὶ τὴν ἀρετὴν ἄγειν· τὸ γὰρ φθεῖραι φύσιν οὐκ ἔστι προνοίας. Ὅθεν ὡς πρόνοια τῆς ἑκάστου φύσεως σωστική, τῶν αὐτοκινήτων ὡς αὐτοκινήτων προνοεῖ, καὶ τῶν ὅλων καὶ τῶν καθ᾽ ἕκαστον οἰκείως ὅλῳ καὶ ἑκά-

**7** ἄρα] *correximus (ed.),* ἆρα C **8** ἄζωον] *correximus (ed.),* ἄζων C ἄνουν] *correximus (ed.),* ἄννουν C **13** δύναται] δύναταί τι *ed. (sed cf. app. crit.)* **15** ἐνδύναμον *ed. (sed cf. app. crit.)* **18** παντάπασι] πάντα πᾶσι *ed. (sed cf. app. crit.)* **19 – 20** παρὰ λόγον] *scripsimus (ed.),* παράλογον C **21** ᾗ] *correximus (ed.),* ἢ C **28** κοινὴν] *supplevimus (ed.), om.* C **30** τὸν] *correximus (ed.),* τῶν C

στῳ, καθόσον ἡ τῶν προνοουμένων φύσις ἐπιδέχεται τὰς τῆς ὅλης καὶ παντοδαπῆς προνοίας ἐκδιδομένας ἀναλόγως ἑκάστῳ προνοητικὰς ἀγαθότητας.

κγʹ Οὐκ ἄρα ὂν τὸ κακόν, οὐδὲ ἐν τοῖς οὖσι τὸ κακόν. Οὐδαμοῦ γὰρ τὸ κακόν, ᾗ κακόν, καὶ τὸ γίνεσθαι τὸ κακὸν οὐ κατὰ δύναμιν, ἀλλὰ δι' ἀσθένειαν. Καὶ τοῖς δαίμοσιν, ὃ μέν εἰσι, καὶ ἐκ τἀγαθοῦ καὶ ἀγαθόν· τὸ δὲ κακὸν αὐτοῖς ἐκ τῆς τῶν οἰκείων ἀγαθῶν ἀποπτώσεως, καὶ ἀλλοίωσις ἡ περὶ τὴν ταυτότητα καὶ τὴν ἕξιν ἀσθένεια τῆς προσηκούσης αὐτοῖς ἀγγελοπρεποῦς τελειότητος. Καὶ ἐφίενται τοῦ ἀγαθοῦ, καθὸ τοῦ εἶναι καὶ ζῆν καὶ νοεῖν ἐφίενται· καὶ <εἰ> οὐκ ἐφίενται τοῦ ἀγαθοῦ, τοῦ μὴ ὄντος ἐφίενται· καὶ οὐκ ἔστιν τοῦτο ἔφεσις, ἀλλὰ τῆς ὄντως ἐφέσεως ἁμαρτία.

Ἐν γνώσει δὲ ἁμαρτάνοντας καλεῖ τὰ λόγια τοὺς περὶ τὴν ἄληστον τοῦ ἀγαθοῦ γνῶσιν ἢ τὴν ποίησιν ἐξασθενοῦντας, καὶ τοὺς εἰδότας τὸ θέλημα καὶ μὴ ποιοῦντας, τοὺς ἀκηκοότας μέν, ἀσθενοῦντας δὲ περὶ τὴν πίστιν ἢ τὴν ἐνέργειαν τοῦ ἀγαθοῦ. Καὶ ἀβούλητόν τισι τὸ *συνιέναι τοῦ ἀγαθῦναι* κατὰ τὴν παρατροπὴν ἢ τὴν ἀσθένειαν τῆς βουλήσεως. Καὶ ὅλως τὸ κακόν, ὡς πολλάκις εἰρήκαμεν, ἀσθένεια καὶ ἀδυναμία καὶ ἔλλειψίς ἐστιν, ἢ τῆς γνώσεως, ἢ τῆς ἀλήστου γνώσεως, ἢ τῆς πίστεως, ἢ τῆς φύσεως, ἢ τῆς ἐνεργείας τοῦ ἀγαθοῦ.

Καίτοι φαίη τίς· Ἀτιμώρητον ἡ ἀσθένεια, τοὐναντίον δὲ συγγνωστόν. Εἰ μὲν οὖν οὐκ ἐξῆν τὸ δύνασθαι, καλῶς ἂν εἶχεν ὁ λόγος· εἰ δὲ ἐκ τἀγαθοῦ τὸ δύνασθαι, *τοῦ διδόντος* κατὰ τὰ λόγια τὰ προσήκοντα *πᾶσιν ἁπλῶς*, οὐκ ἐπαινετὸν ἡ τῆς ἐκ τἀγαθοῦ τῶν οἰκείων ἀγαθῶν ἕξεως ἁμαρτία καὶ παρατροπὴ καὶ ἀποφυγὴ καὶ ἀπόπτωσις. Ἀλλὰ ταῦτα μὲν ἡμῖν ἐν τοῖς Περὶ δικαίου καὶ θείου δικαιωτηρίου κατὰ δύναμιν ἱκανῶς εἰρήσθω, καθ' ἣν ἱερὰν πραγματείαν ἡ τῶν λογίων ἀλήθεια τοὺς σοφιστικοὺς καὶ ἀδικίαν καὶ ψεῦδος κατὰ τοῦ θεοῦ λαλοῦντας ἐπερράπισεν ὡς παράφρονας λόγους.

Νῦν δὲ ὡς καθ' ἡμᾶς ἀρκούντως ὕμνηται τἀγαθὸν ὡς ὄντως ἀγαστόν, ὡς ἀρχὴ καὶ πέρας πάντων, ὡς περιοχὴ τῶν ὄντων, ὡς

---

**15 – 16** τοὺς – ποιοῦντας] cf. Luc. 12, 47 **18** Ps. 35, 4² **26** πᾶσιν ἁπλῶς] Iac. 1, 5 **28 – 29** Περὶ – δικαιωτηρίου] titulus ignoti vel ficti tractatus

---

**4** ἄρα] *correximus (ed.),* ἆρα C **5** ᾗ] *correximus (ed.),* ἢ C **11** εἰ] *supplevimus (ed.), om.* C **18** ἀγαθῦναι] *sic acc.* C **21** φύσεως] ἐφέσεως *ed.*

εἰδοποιὸν τῶν οὐκ ὄντων, ὡς πάντων ἀγαθῶν αἴτιον, ὡς τῶν κακῶν ἀναίτιον, ὡς πρόνοια καὶ ἀγαθότης παντελὴς καὶ ὑπερβάλλουσα τὰ ὄντα καὶ οὐκ ὄντα καὶ τὰ κακά, καὶ τὴν ἑαυτῆς στέρησιν ἀγαθύνουσα, πᾶσιν ἐφετὸν καὶ ἐραστὸν καὶ ἀγαπητόν, καὶ ὅσα ἄλλα ἐν τοῖς ἔμπροσθεν ὁ ἀληθὴς ἀπέδειξεν, ὡς οἶμαι, λόγος.

## I 1462 / C cap. O 2, 20

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν περὶ <ἁγνείας> συμποσίων·

Οὐδὲν καθ᾽ ἑαυτὸ τῶν πραττομένων ἡγητέον εἶναι κακόν, ἀλλὰ παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιοῦτο γίνεσθαι· κοσμίως μὲν πραττόμενον καὶ σωφρόνως, κόσμιον ἀπέβη, αἰσχρῶς δὲ καὶ ἀσχημόνως, αἰσχρόν. Τί γὰρ ἠδίκησεν σίδηρος, γεωργικῆς χάριν καὶ τεχνῶν εὑρεθείς, τοὺς εἰς ἀλληλοφόνους θήξαντας αὐτὸν μάχας; Τί δὲ χρυσὸς ἢ ἄργυρος ἢ χαλκός, καὶ συλλήβδην ἡ εὐέργαστος πᾶσα γῆ τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργόν;

## I 1463 / C cap. O 2, 21

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου·

Οὐκ ἐποίησεν κακὸν ὁ θεός, οὐδὲ ἔστιν τοσύνολον ὅλως ἐκ παντὸς τοπαράπαν αἴτιος κακοῦ, ἀλλὰ πᾶν, ὅπερ ἂν αὐτεξούσιον οὕτως ὑπ᾽ αὐτοῦ γεγονὸς ᾖ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νό-

**8 – 15 I 1462** Methodius Olympius, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος β′, 5 (ed. Sieber, p. 118, 10–17); Holl, n° 442 **18 – 904, 3 I 1463** Methodius Olympius, *De resurrectione*, I, 38, 4 (ed. Bonwetsch, p. 281, 1–7); Holl, n° 418, 8–14

**7 – 15 I 1462** C (234r[27–28]28–234v7); R cap. O 18, 8; *deest in* H$^{II}$ **17 – 904, 3 I 1463** C (234v[8]8–16); R cap. O 18, 9; *deest in* H$^{II}$

**I 1462** ἁγίου] *add.* ἱερομάρτυρος R Μεθοδίου] *add.* πατάρων R τῶν] τοῦ C ἁγνείας] *supplevimus*, *om.* C R **I 1463** ἐκ – λόγου] *om.* R

**1** εἰδοποιὸν] *correximus (ed.)*, ἰδιοποιὸν C **4** ἀγαθύνουσα] *correximus (ed.)*, ἀγαθὴν οὖσαν C **9** τοιοῦτον R μὲν] οὖν R **14** σφετέρων R **20** γεγονὸς ᾖ] *correximus (ed.)*, γεγονός, ἡ C, γεγονὸς· εἰ R

μον, ὃν αὐτὸς δικαίως διεστείλατο, μὴ τηρῆσαν λέγεται κακόν. Βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης.

## I 1464 / C cap. O 2, 22

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ αὐτεξουσίου·

<Μεθόδιος·> Ἐπειδὴ δὲ †πεποιθός† ἐστίν σοι περὶ τῆς τῶν κακῶν γενέσεως ζητεῖν, ἐπὶ τὸν τούτων ἐλεύσομαι λόγον, καί σου βραχέα πυθέσθαι βούλομαι, τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι ἢ ποιότητες οὐσιῶν.

Ἀγλαοφῶν· Ποιότητες οὐσιῶν εὖ ἔχειν λέγειν μοι δοκεῖ.

Μεθόδιος· Ἡ δὲ ὕλη ποιότης ἦν ἀσχημάτιστος, καὶ οὕτως πέπλεκται ταῦτα τὰ ὀνόματα τῇ οὐσίᾳ ἐκ τῶν συμβεβηκότων αὐτῇ, ἅτινα οὐκ ἔστιν αὐτή. Οὔτε γάρ ἐστιν φόνος ἡ οὐσία, οὔτ᾽ αὖ πάλιν [ἡ] μοιχεία, οὔτέ τι τῶν ὁμοίων κακῶν, ἀλλ᾽ ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς λέγεται, καὶ ἀπὸ τῆς ῥητορικῆς ὁ ῥήτωρ, καὶ ἀπὸ τῆς ἰατρικῆς ὁ ἰατρός, τῆς οὐσίας οὔτε ἰατρικῆς οὔσης, οὔτε μὴν ῥητορικῆς, οὔτε γραμματικῆς, ἀλλ᾽ ἀπὸ τῶν συμβεβηκότων αὐτῇ τὴν προσηγορίαν λαμβανούσης, ἀφ᾽ ὧν οὕτως ὀνομάζεσθαι δοκεῖ, οὐδ᾽ ὁπότερον αὐτῶν οὖσα, ὁμοίως μοι φαίνεται καὶ ἀπὸ τῶν δοκούντων εἶναι κακῶν τὴν οὐσίαν ὄνομα λαμβάνειν, οὐδ᾽ ὁπότερον οὖσαν αὐτῶν.

Καὶ ὁμοίως ἐπινόησον, εἴ τινα ἕτερον ἀναπλάττεις ἐν τῷ νῷ

---

**6 – 11 I 1464** Ἐπειδὴ – ἀσχημάτιστος] Methodius Olympius, *De libero arbitrio*, VIII, 1 (ed. Bonwetsch, p. 164, 14 – 165, 2; Vaillant, p. 757, 10–14); Holl, n° 432, 1–6 **11 – 905, 18** καὶ – φάναι] Ibid., VIII, 11–15 (ed. Bonwetsch, p. 167, 2 – 168, 15; Vaillant, p. 761, 15 – 765, 3); Holl, n° 432, 6–37

---

**5 – 905, 18 I 1464** C (234v[16]17–235r30); *deest in* H$^{II}$ R

---

**6** Μεθόδιος] *supplevimus e sequentibus (in Methodii tractatu persona qui hic loquitur anonymus orthodoxus est)* †πεποιθός†] *cruces apposuimus, sic* C, πεπευσμένος C$^{mg.}$, πόθος *ed.* **10** ἀγλαοφῶν C$^{a. c.}$ *(in Methodii tractatu persona qui hic loquitur anonymus Valentinianus est)* **11** ποιότης ἦν] ἄποιος ἦν καὶ *ed.* *post* ἀσχημάτιστος *forsan quaedam omissa sunt (nisi Methodii textus in Sacris perperam amputatus sit)* **13** αὐτή] *correximus (ed.)*, αὐτῇ C ἡ] *correximus (ed.)*, ἢ C **14** ἡ] *seclusimus (ed.)*

τῶν κακῶν τοῖς ἀνθρώποις αἴτιον, ὡς κἀκεῖνος καθὸ ἐν τούτοις ἐνεργεῖ καὶ ὑποβάλλει ποιεῖν τὰ κακά, ἔστιν καὶ αὐτὸς κακὸς ἐξ ὧν ποιεῖ. Διατοῦτο γὰρ κακὸς εἶναι λέγεται, ὅτι τῶν κακῶν ἔστιν ποιητής. Ἃ δέ τις ποιεῖ, οὐκ ἔστιν αὐτός, ἀλλ' ἐνέργεια αὐτοῦ, ἀφ' ὧν τὴν προσηγορίαν τοῦ κακὸς λέγεσθαι λαμβάνει. Εἰ γὰρ αὐτὸν ὑπάρχειν εἴποιμεν ἃ ποιεῖ, ποιεῖ δὲ φόνους καὶ μοιχείας καὶ κλοπάς, καὶ ὅσα τούτοις ὅμοια, αὐτὸς ἔσται ταῦτα. Εἰ δὲ ταῦτά ἐστιν αὐτός, ταῦτα δὲ ὅτε γίνεται ἔχει τὴν σύστασιν, οὐ γινόμενα δὲ καὶ τοῦ εἶναι παύεται, γίνονται δὲ ταῦτα πρὸς ἀνθρώπων, ἔσονται τούτων οἱ ἄνθρωποι ποιηταί, καὶ τοῦ εἶναι καὶ τοῦ μηκέτι εἶναι αἴτιοι. Εἰ δὲ ταῦτα αὐτοῦ ἐνεργείας εἶναι φῄς, †ἔξω ποτὲ τοῦ κακοῦ† εἶναι ἔχει, οὐκ ἐξ ὧν ἐστιν οὐσία. Κακὸν δὲ εἴπομεν λέγεσθαι ἀπὸ τῶν συμβεβηκότων τῇ οὐσίᾳ, ἅτινα οὐκ ἔστιν ἡ οὐσία, ὡς ἀπὸ τῆς ἰατρικῆς ὁ ἰατρός. Εἰ δὲ ἐξ ὧν ἐνεργεῖ ὑπάρχει κακός, ἡ δὲ ἐνέργεια ἀρχὴν τοῦ εἶναι λαμβάνει, ἤρξατο κἀκεῖνος εἶναι κακός, ἤρξατο δὲ καὶ ταῦτα τὰ κακά. Εἰ δὲ οὕτως ἔχει, οὐκ ἔσται ἀνάρχως κακός, οὐδ' ἀγένητα <τὰ> κακά, τῷ γενητὰ πρὸς αὐτοῦ εἶναι φάναι.

## I 1465 / C cap. O 2, 23

Ἐκ τοῦ αὐτοῦ·

Ἐπὶ δὲ τὴν τῶν κακῶν ἐξέτασιν ἔρχεσθαι δεῖ[ν] <καὶ> ἀναγκαίως ἀναζητεῖν τὰ παρὰ ἀνθρώποις κακά, πότερον εἴδη τυγχάνει κακοῦ ἢ μέρη. Εἰ γὰρ εἴδη ταῦτα ἐκείνου φάναι θέλοις, οὐκ ἔστιν ἕτερον παρὰ ταῦτα καθ' ἑαυτὸ τὸ κακόν, τῷ τὰ γένη ἐν τοῖς εἴδεσιν ἐξετάζεσθαι, οἷον, τὸ ζῶον γένος ἐστὶν κατ' εἶδος κατηγορούμενον, τουτέστιν, κατά τε ἀνθρώπου καὶ τῶν ὁμοίων, ὅσά τε ἐμ-

**21 – 906, 28 I 1465** Methodius Olympius, *De libero arbitrio*, XIII, 1–5 (ed. Bonwetsch, p. 178, 13 – 180, 9; Vaillant, p. 779, 12 – 783, 9); Holl, n° 436

**20 – 906, 28 I 1465** C ([235r30]235v1–236r11); *deest in* H$^{II}$ R

**1** ὡς] *correximus (ed.)*, ὅς C **4** ἐνέργειαι *ed. (sed cf. app. crit.)* **5** κακὸς] *correximus (ed.)*, κακῶς C **11 – 12** †ἔξω – κακοῦ†] *cruces apposuimus*, *sic* C, ἐξ ὧν ποιεῖ τὸ κακὸς *ed.* **11 – 12** τοῦ κακοῦ] του κακος C$^{mg.}$ **14 – 15** ἡ – ἐνέργεια] ἃ δὲ ἐνεργεῖ *ed.* **17** τὰ] *supplevimus (ed.)*, *om.* C αὐτοῦ] *correximus (ed.)*, αὐτοὺς C **21** Ἐπὶ δὲ] *correximus (ed.)*, ἐπειδὴ C δεῖ] *correximus (ed.)*, δεῖν C καὶ] *supplevimus (ed.)*, *om.* C **25** εἶδος] εἰδῶν *secund. vers. palaeo-slav. correx. Vaillant*

ψυχα ὄντα τὴν προαιρετικὴν κίνησιν ἔχει, ἀλλ᾽ οὐχ᾽ †οἷόν τε δείκνυται. Τοῦτο δέ, εἰ† γένος εἶναι φαμὲν ἕτερόν τι καθ᾽ ἑαυτὸ ὑπάρχον παρὰ τὰ εἴδη, οὕτω δὴ καὶ περὶ τοῦ κακοῦ λέγειν ἀνάγκη, ὃ δὴ γένος εἴπαμεν τὴν σύστασιν ἐν τοῖς εἴδεσιν ἔχειν, μὴ εἶναι δέ τι ἕτερον καθ᾽ αὑτό. Εἰ δὲ οὕτως ἔχει, γενητὸν ἔσται τὸ κακόν· τὰ γὰρ εἴδη γενητὰ ὄντα δείκνυται, οἷον φόνος, μοιχεία καὶ τὰ τούτων παραπλήσια.

Εἰ δ᾽ αὖ πάλιν μέρη τινὸς κακοῦ ταῦτα εἶναι θέλοις, ἔστιν δὲ ταῦτα γενητά, ἀνάγκη κἀκεῖνο γενητὸν ὑπάρχειν· ὧν γὰρ τὰ μέρη γενητά, ταῦτα ὁμοίως ἐξ ἀνάγκης εἶναι γενητά. Τὸ γὰρ ὅλον ἐκ μερῶν συνέστηκεν, καὶ τὸ μὲν ὅλον οὐκ ἔσται, μὴ τῶν μερῶν ὄντων, ἔσται δὲ τὰ μέρη, κἂν μὴ τὸ ὅλον παρῇ. Οὐδενὸς τῶν ὄντων μέρος μέν ἐστι γενητόν, μέρος δὲ ἀγένητον. Εἰ δὲ καὶ τοῦτο συγχωρήσαιμι τῷ λόγῳ, ἦν ποτὲ τὸ κακὸν ὅτε ὁλόκληρον οὐκ ἦν, τουτέστιν πρὶν δημιουργῆσαι τὴν ὕλην τὸν θεόν. Τότε δὲ ὁλόκληρον γίνεται, ὅτε πρὸς τοῦ θεοῦ γέγονεν ἄνθρωπος· τῶν γὰρ μερῶν τοῦ κακοῦ ἄνθρωπος ὑπάρχει ποιητής. Καὶ τὸ ἐντεῦθεν τοῦ ὁλόκληρον εἶναι τὸ κακὸν αἴτιος ἔσται δημιουργήσας ὁ θεός, ὅπερ οὐκ εὖ ἔχειν μοι τοῦτο περὶ θεοῦ <λέγειν> δοκεῖ.

Εἰ δὲ οὐδ᾽ ὁπότερον τούτων εἰπεῖν ἐθέλοις, πρᾶξιν δέ τινος κακοῦ εἶναι λέγοις, γενητὸν ὑπάρχειν αὐτὸ μηνύεις· ἡ γὰρ τινὸς πρᾶξις ἀρχὴν τοῦ εἶναι λαμβάνει. Πρὸς δὲ τούτοις οὐδὲν ἕτερον παρ᾽ αὐτὰ τὸ κακὸν εἰπεῖν ἔχοις· ποίαν γὰρ πρᾶξιν κακὴν ἑτέραν παρὰ τὰς ἐν ἀνθρώποις δεικνύειν ἔχεις; Ὅτι γὰρ ὁ ἐνεργῶν <οὐ> κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κακία, κατὰ δὲ τὸν τῆς προαιρέσεως τρόπον, τοιαῦτα πράττειν ἐπαναιρούμενος, ἐξ ὧν τοῦ κακὸς λέγεσθαι τὴν προσηγορίαν λαμβάνει, προλαβὼν ἔδειξα τῷ λόγῳ.

**1–2** †οἷόν – εἰ†] *cruces apposuimus, sic* C, οἷόν τε δείκνυται τοῦτο. οὐ γὰρ *ed. Bonwetsch*, οἷόν τι δείκνυται. Τοῦτο δὲ εἰ *ed. Vaillant, qui ante* ἕτερόν τι *(l.* 2*) add.* μὴ **9** μέρη] γένη C$^{a. c. mg.}$ **12** *post* Οὐδενὸς *hab.* δὲ *ed.* **17** τὸ] *correximus (ed. Vaillant)*, τοῦ C **19** λέγειν] *secund. vers. palaeo-slav. supplev. Bonwetsch*, *om.* C **21** κακοῦ] *correximus (ed.)*, κακῶν C αὐτὸ] *correximus (ed.)*, αὐτὸν C τινὸς] τοῦ τινὸς *ed.* **23** παρὰ ταῦτα *ed.* ἔχεις *ed.* **24** οὐ] *supplevimus (ed.)*, *om.* C **25** κακία] *correximus (ed.)*, κἀκεῖνα C **27** κακὸς] *correx. Vaillant secund. vers. palaeo-slav.*, κακῶς C

## I 1466 / C cap. O 2, 24

Σχόλιον·

Τὰ ἐπαγόμενα ζήτησον ἑξῆς ἐν τούτῳ τῷ στοιχείῳ κείμενα προσφόρως, ἐν τῷ τίτλῳ Ὅτι οὐδὲν χωρὶς θεοῦ ἐπάγεται ἡμῖν.

## I 1467 / C cap. O 2, 25

Ἐκ τοῦ αὐτοῦ·

Τὴν μὲν οὖν ἀρχὴν τοῦ κακοῦ, τὸν φθόνον εἶπον ἔγωγε, τὸν δὲ φθόνον ἐκ τοῦ κρείττονι τιμῇ κατηξιῶσθαι τὸν ἄνθρωπον πρὸς τοῦ θεοῦ. Τὸ δὲ κακὸν ἡ παρακοή, ἐκ τοῦ προστίμῳ περιπεσεῖν τὸν ἄνθρωπον, ὑπερθέντα τὴν τοῦ θεοῦ ἐντολήν.

## I 1468 / C cap. O 2, 26

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ δʹ [βιβλίου καὶ] ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Οὔτε τὸ φῶς ἐξασθενεῖ διὰ τοὺς ἑαυτοῖς τυφλώττοντας, ἀλλʼ ἐκείνου μένοντος ὁποῖον καὶ ἐστίν, οἱ τυφλωθέντες παρὰ τὴν αἰτίαν τὴν ἑαυτῶν ἐν ἀορασίᾳ καθίστανται, μήτε τοῦ φωτὸς μετʼ ἀνάγκης δουλαγωγοῦντος τινά, μήτε τοῦ θεοῦ βιαζομένου, εἰ μὴ θέλοι

---

**4** Ὅτι – ἡμῖν] titulus non repertus

---

**3 – 4 I 1466** *Scholion* **7 – 10 I 1467** METHODIUS OLYMPIUS, *De libero arbitrio*, XVIII, 8 (ed. Bonwetsch, p. 194, 4–7; Vaillant, p. 809, 9–11); Holl, n° 438 **14 – 908, 4 I 1468** IRENAEUS LUGDUNENSIS, *Adversus haereses*, IV, 39, 63–71 (Fr. gr. 26) (ed. Rousseau/Hemmerdinger/Doutreleau/Mercier, p. 968–970); Holl, n° 157

---

**2 – 4 I 1466** C (236r[12]12–14); *deest in* H$^{II}$ R **6 – 10 I 1467** C (236r[15]15–19); R cap. O 18, 10; *deest in* H$^{II}$ **12 – 908, 4 I 1468** C (236r[20–21]22–236v1); *deest in* H$^{II}$ R

---

**I 1467** Ἐκ] *om.* R **I 1468** βιβλίου καὶ] *seclusimus*

---

**9 – 10** ἐκ – ἐντολήν] τῆς τοῦ θεοῦ ἐντολῆς R *(sine interpunctione post* παρακοή*)* **10** ὑπερθέντα] *sic* C, ὑπερβάντα *ed. Vaillant* **14** τοὺς – τυφλώττοντας] eos qui semet ipsos excaecaverunt *ed. (lat.)*

τίς κατασχεῖν αὐτοῦ τὴν τέχνην. Τὰ οὖν ἀποστάντα τοῦ πατρικοῦ φωτός, καὶ παραβάντα τὸν θεσμὸν τῆς ἐλευθερίας, παρὰ τὴν αὐτῶν ἀπέστησαν αἰτίαν, ἐλεύθερα καὶ αὐτεξούσια τὴν γνώμην γεγονότα.

## I 1469 / C cap. O 2, 27

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς Ἑξαημέρου·

Παρὰ θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν οὐκ εὐσεβές ἐστιν λέγειν, διὰ τὸ μηδὲν τῶν ἐναντίων παρὰ τοῦ ἐναντίου γίνεσθαι. Οὔτε γὰρ ἡ ζωὴ θάνατον γεννᾷ, οὔτε τὸ σκότος φωτός ἐστιν ἀρχή, οὔτε ἡ νόσος ὑγείας δημιουργός. Τί οὖν φαμέν; Ὅτι τὸ κακόν ἐστιν οὐκ οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ψυχῆς ἐναντίως ἔχουσα πρὸς ἀρετήν, διὰ τὴν ἀπὸ τοῦ καλοῦ ἀπόπτωσιν τοῖς ῥαθύμοις ἐγγινομένη. Μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περισκόπει, μὴ δὲ ἀρχέγονον τινὰ φύσιν πονηρίας φαντάζου, ἀλλὰ τῆς ἐν ἑαυτῷ κακίας ἕκαστος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω.

## I 1470 / C cap. O 2, 28

Καὶ μετ᾽ ὀλίγα·

Ὧν τοίνυν αὐτὸς εἶ κύριος, τούτων τὰς ἀρχὰς μὴ ζητήσῃς ἑτέρωθεν, ἀλλὰ γνώριζε τὸ κυρίως κακὸν ἐκ τῶν προαιρετικῶν ἀποπτωμάτων τὴν ἀρχὴν εἰληφός. Οὐ γὰρ ἄν, εἴπερ ἀκούσιον ἦν καὶ

---

**7 – 10 I 1469** Παρὰ – δημιουργός] Basilius Caesariensis, *Homiliae in Hexaemeron*, II, 4 (ed. Mendieta†/Rudberg, p. 28, 10–13) **10 – 15** Τί – γνωριζέτω] Ibid., II, 4–5 (p. 28, 18–23) **18 – 909, 3 I 1470** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, II, 5 (ed. Mendieta†/Rudberg, p. 29, 6–11)

---

**6 – 15 I 1469** C (236v[1–2]2–13); R cap. O 18, 11; *deest in* H^II^ **17 – 909, 3 I 1470** C (236v[14]14–22); R cap. O 18, 12; *deest in* H^II^

---

**I 1470** (a) C (b) *s. d.* R

---

**1** τοῦ πατρικοῦ] του ἰατρικοῦ C^mg.^ **7** θεοῦ] *praem.* τοῦ C **9** φωτὸς ἐστὶν R **10** ὑγίειας C κακόν ἐστιν] *scripsimus*, κακὸν ἔστιν C, κακὸν ἐστὶν R **11** ἔχουσα] *post* ἀρετήν *(l. 12) transpos.* R **13** Μὴ τοίνυν] τοίνυν. μὴ C **13 – 14** ἀρχαίγονόν τινα R

μὴ ἐφ’ ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νόμων ὁ φόβος τοῖς ἀδικοῦσιν ἐπήρτητο, οὕτω τὲ ἀπαραίτητοι τῶν δικαστηρίων αἱ κολάσεις, τὸ πρὸς ἀξίαν τοῖς κακούργοις ἀντιμετροῦσαι.

## <I suppl. 429 / R cap. O 18, 14>

## I 1471 / C cap. O 2, 29

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῆς ἑρμηνείας τῶν μακαρισμῶν·

Αὐτὸ δὲ ἐφ’ ἑαυτοῦ κατ’ ἰδίαν ὑπόστασιν ἔξω προαιρέσεως οὐδαμοῦ τὸ κακὸν εὑρίσκεται κείμενον ἢ ὑφεστός, ἀλλὰ τότε εἰς γένεσιν παραγίνεται, ὅταν ἑλώμεθα αὐτό.

## I 1472 / C cap. O 2, 30

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ παρθενίας·

Κακὸν ἔξω προαιρέσεως κείμενον καὶ κατ’ ἰδίαν ὑπόστασιν θεωρούμενον ἐν τῇ φύσει τῶν ὄντων ἐστὶν οὐδέν.

---

**4 I suppl. 429** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**7 – 9 I 1471** Gregorius Nyssenus, *De beatitudinibus*, V (ed. Callahan, p. 129, 20–22 [quibusdam mutatis]) **12 – 13 I 1472** Gregorius Nyssenus, *De virginitate*, κεφάλαιον ιβʹ (ed. Cavarnos, p. 299, 12–14)

---

**6 – 9 I 1471** C (236v[22–23]23–26); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R **11 – 13 I 1472** C (236v[26–27]27–29); *deest in* $\mathrm{H}^{\mathrm{II}}$ R

---

**I 1471** νύσσης $\mathrm{C}^{\mathrm{p.\ c.\ man.\ rec.}}$

---

**2** οὕτω τὲ] ουποτε $\mathrm{C}^{\mathrm{mg.}}$, οὕτω δὲ *ed.* **7** ἑαυτοῦ] *scripsimus (ed.)*, ἑαυτὸ C

## I 1473 / C cap. Ο 2, 31

Τοῦ αὐτοῦ, ἐκ τοῦ κατηχητικοῦ·

Οὐδεμία κακοῦ γένεσις ἐκ τοῦ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν – ἦ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, θεὸν ἑαυτῆς ἐπιγραφομένη ποιητὴν καὶ πατέρα –, ἀλλ’ ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τίς ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις. Ἐπεὶ οὖν τοῦτο τῆς αὐτεξουσιότητός ἐστιν τὸ ἰδίωμα, τὸ κατ’ ἐξουσίαν αἱρεῖσθαι τὸ καταθύμιον, οὐχ’ ὁ θεός σοι τῶν παρόντων ἐστὶν αἴτιος κακῶν, ἀδέσποτόν τε καὶ ἄνετον κατασκευάσας σοι τὴν φύσιν, ἀλλ’ ἡ ἀβουλία, τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος προελομένη.

## I 1474 / C cap. Ο 2, 32

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων νηπίων·

Τὸ διαρκὲς τῆς ἐν κακίᾳ τῶν ἀνθρώπων ζωῆς οὐ θεόθεν τὰς ἀφορμὰς ἔχει· τοῦ μὲν γὰρ ζῆν τὴν δύναμιν παρ’ αὐτοῦ τοῦ τὴν ζωὴν πεποιηκότος ἐδέξατο, τοῦ δὲ κακῶς ζῆν ἡ οἰκεία καθηγεῖται προαίρεσις, ἧς πρὸς τοῦτο τὴν ῥοπὴν μὴ ἐχούσης, οὐδ’ ἂν ἦν ὅλως ἐν κακίᾳ ὁ ἄνθρωπος. Κακὸν γὰρ κατ’ οἰκείαν ὑπόστασιν οὐδέν, μὴ ἐν τῇ προαιρέσει τοῦ κακῶς βιοῦντος δημιουργούμενον. Εἰ οὖν τῆς συνισταμένης ἔν τινι κακίας ὁ θεὸς ἀναίτιος, οὐ-

---

**3 – 11** Οὐδεμία – προελομένη] cf. II$^{1}$764 / K cap. Δ 12, 28 (SJD VIII/4)

---

**3 – 7 I 1473** Οὐδεμία – ἀναχώρησις] Gregorius Nyssenus, *Oratio catechetica magna* (ed. Mühlenberg, p. 20, 8–12) **7 – 11** Ἐπεὶ – προελομένη] Ibid. (p. 20, 20–25) **14 – 911, 2 I 1474** Gregorius Nyssenus, *De infantibus praemature abreptis* (ed. Hörner, p. 92, 11–20)

---

**2 – 11 I 1473** C (236v[29]30–237r10); *deest in* H$^{II}$ R **13 – 911, 2 I 1474** C (237r [11–12]12–23); R cap. Ο 18, 13; *deest in* H$^{II}$

---

**I 1474** τοῦ περὶ] *om.* R

---

**4** ἦ] *scripsimus (ed.)*, ἢ C **10** τὴν φύσιν] τὴν φωνὴν C$^{mg.}$ **16** ἡ] εἰ C καθοδηγεῖται R **18** ὅλως – κακίᾳ] ἐν κακία ὅλος C **20** ἀναίτιος] ἀν αἴτιος C$^{txt}$, αἴτιος R, αἰτιος C$^{mg.}$

κέτι ἂν εὐλόγως εἰς ἐκεῖνον ἀναφέροιτο ἡ τῆς ἐν κακίᾳ τούτων ζωῆς αἰτία.

## I 1475 / C cap. O 2, 33

Τοῦ ἁγίου Ἰουστίνου, τοῦ φιλοσόφου, ἐκ τοῦ πρὸς Ἀντωνῖ<ν>ον αὐτοκράτορα·

Αἰτία ἑλομένου· θεὸς ἀναίτιος.

## I 1476 / C cap. O 2, 34

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὸ *Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι·*

Οὐχ' ἡ φύσις αὐτὴ τῶν κινήσεων καθ' ἑαυτὴν πονηρά, ἀλλ' ἡ τῶν ψυχικῶν κινημάτων παρατροπή, τῆς ψυχῆς τὰς ὁρμὰς ὡς πάθη διέβαλεν. Ὁ γὰρ δημιουργὸς τὴν λύραν καλὴν καὶ εὔφθογγον ἡρμόσατο, οἱ δὲ κρούοντες, διαφόρως ἅπτονται τῶν χορδῶν, καὶ ἀπὸ τῆς αὐτῆς κιθάρας ὁ μὲν ὕμνον, ὁ δὲ ἀπηχεῖ βλασφημίαν, οὐχ' ὡς τῆς τῶν χορδῶν φύσεως τὸ διεστραμμένον ἐχούσης, ἀλλ' ὡς τῆς τῶν ψηλαφώντων ἀμαθίας παραφθειρούσης τὸ ὄργανον.

---

**6** Plat., *Resp.* X, 617e4–5

---

**6 I 1475** IUSTINUS MARTYR, *Apologia pro Christianis ad Antoninum imperatorem*, I, 44,8 (21–22) (ed. Munier, p. 244); Holl, n° 100 **10 – 16 I 1476** IOHANNES CHRYSOSTOMUS, *In illud:* Omnis qui viderit mulierem *(Matth. 5, 28)*, locus non repertus; Haidacher 180.31

---

**4 – 6 I 1475** C (237r[23–24]24–25); *deest in* H$^{II}$ R **8 – 16 I 1476** C (237r[25–27] 27–237v6); *deest in* H$^{II}$ R

---

**I 1475** Ἀντωνῖνον] *correximus*, ἀντώνιον C

---

**1** ἡ] *post* ζωῆς *hab. ed.*, *om.* C **10** αὐτὴ] *scripsimus (cf.* I suppl. 327 / V cap. Δ 2, 21 [SJD VIII/3]*)*, αὕτη C **11 – 12** διέβαλεν] διέβαλλεν *forsan legendum (cf.* I suppl. 327 / V cap. Δ 2, 21 [SJD VIII/3]*)*

## I 1477 / C cap. O 2, 35

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν παραβολὴν τῶν ζιζανίων·

Ταῖς τῶν κακῶν ἐπισποραῖς αἰτία ἡ τῶν ἀνθρώπων ὑπάρχει ῥαθυμία· Ἐν γὰρ *τῷ καθεύδειν*, φησίν, *τοὺς ἀνθρώπους ἦλθεν ὁ ἐχθρός, καὶ ἔσπειρεν ζιζάνια ἀναμέσον τοῦ σίτου.*

## I 1478 / C cap. O 2, 36

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν Χαναναίαν·

*Σκεῦος τιμῆς* καὶ *σκεῦος ἀτιμίας* ὁ θεὸς οὐκ ἐποίησεν, ἀλλὰ κοινὴν τὴν φύσιν· ἡ δὲ προαίρεσις σχίζει τὴν δημιουργίαν.

## I 1479 / C cap. O 2, 37

Κυρίλλου Ἀλεξανδρείας, ἐκ τῶν εἰς τὸν προφήτην Ἡσαΐαν·

Ἕκαστος ἡμῶν ἑαυτῷ παραίτιος ἢ τοῦ νοσεῖν ἢ τοῦ ὑγιαίνειν γίνεται. Ἁμαρτάνοντες γὰρ καὶ τοῖς τοῦ ἀγαθοῦ ἀντιτείνοντες νόμοις, εἰκότως παραλυόμεθα, τὰ ἐκ τῆς θείας ὀργῆς ὑπομένοντες· ὑποτιθέντες δὲ τὸν αὐχένα τῷ θείῳ ζυγῷ, ὁλόκληροι καὶ ὑγιεῖς πρὸς τὴν εἰς αὐτὸν εὐσέβειαν εὑρισκόμεθα, εἴσω τὲ πάσης ἀρετῆς γινόμεθα.

---

**4–5** Matth. 13, 25 **8** Rom. 9, 21

---

**3–5 I 1477** IOHANNES CHRYSOSTOMUS, *In parabolam de zizaniis (Matth. 13, 24–30)*, locus non repertus **8–9 I 1478** IOHANNES CHRYSOSTOMUS, *In Chananaeam*, locus non repertus **12–17 I 1479** CYRILLUS ALEXANDRINUS, *Commentarius in Isaiam prophetam*, locus non repertus

---

**2–5 I 1477** C (237v[6–7]7–11); R cap. O 18, 15; *deest in* H^II^ **7–9 I 1478** C (237v[11]12–14); R cap. O 18, 16; *deest in* H^II^ **11–17 I 1479** C (237v[14–15]15–22); R cap. O 18, 17; *deest in* H^II^

---

**I 1477** αὐτοῦ] χρυσοστόμου R ἐκ τοῦ] *om.* R **I 1478** ἐκ τοῦ] *om.* R **I 1479** προφήτην] *om.* C

---

**8–9** ἀλλὰ – φύσιν] *om.* R **15** δὲ] *om.* C **16** εἴσω τε C

## I 1480 / C cap. O 2, 38

Τοῦ αὐτοῦ·

Οὔτε ὁ δίκαιος ποιήσει<εν> ἄν τι ἄδικον, οὔτε ὁ ἀγαθὸς φαῦλον, ὥσπερ οὐδὲ ὁ ἐπιστήμων ἀνεπιστημόνως. Δίκαιος δὲ καὶ ἀγαθὸς καὶ ἐπιστήμων ὁ θεός ἐστιν· οὐδὲν ἄρα ἄδικον ἢ φαῦλον ὁ θεὸς ἐποίησεν.

## I 1481 / C cap. O 2, 39

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ α′ στηλιτευτικοῦ·

Ἀναίτιον παντάπασιν κακῶν τὸ θεῖον, ἀγαθὸν τῇ φύσει τυγχάνον, ἀλλὰ τοῦ προελομένου τὸ κακόν.

## I 1482 / C cap. O 2, 40

Φίλωνος, ἐκ τῶν ἐν Γενέσει ζητημάτων·

Ὡς ἀμέτοχος κακίας, οὕτω καὶ ἀναίτιος ὁ θεός.

---

**9 – 10** Ἀναίτιον – κακόν] cf. Plat., *Resp.* X, 617e4–5

---

**3 – 6 I 1480** Cyrillus Alexandrinus, locus non repertus **9 – 10 I 1481** Gregorius Nazianzenus, *Contra Iulianum imperatorem I (Orat. 4)*, 47, 7–9 (ed. Bernardi, p. 148) **13 I 1482** Philo Iudaeus, *Quaestiones in Genesim*, I. 100c (ed. Petit, p. 81)

---

**2 – 6 I 1480** C (237v[22]22–26); R cap. O 18, 18; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ **8 – 10 I 1481** C (237v[26–27]28–30); R cap. O 18, 19; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ **12 – 13 I 1482** C ([237v30] 238r1); R cap. O 18, 20; *deest in* $\mathrm{H}^{\mathrm{II}}$

---

**I 1480** (a) C (b) *s. d.* R **I 1481** Τοῦ – Γρηγορίου] *om.* R **I 1482** ἐκ – ζητημάτων] *om.* R

---

**3** ποιήσειεν] *correximus*, ποιήσει C R ἄν τι] *om.* R **5** ἆρα C **9** τυγχάνων $\mathrm{R}^{\mathrm{a.\,c.}}$ **13** Ὡς] ὥσπερ R

**Τίτλος γʹ  Ὅτι *κύριος ταπεινοῖ καὶ ἀνυψοῖ.***

## I 1483 / C cap. O 3, 1

Βασιλειῶν αʹ·

Κύριος πτωχίζει καὶ πλουτίζει,
ταπεινοῖ καὶ ἀνυψοῖ,
ἀνιστᾷ ἀπὸ γῆς πένητα,
καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν,
τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ
καὶ θρόνον δόξης κατακληρονομῶν αὐτῷ.

## I 1484 / C cap. O 3, 2

Ἀπὸ τοῦ Ἰώβ·

…τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος
καὶ ἀπολωλότας ἐξεγείροντα.

---

**1** Ὅτι – ἀνυψοῖ] cf. I / C$^{\text{pin}}$ Παραπομπὴ Σ 3 (SJD VIII/1)  I Reg. 2, 7$^{1-2}$

---

**4 – 9 I 1483** I Reg. 2, 7$^{1}$–8$^{4}$ (Wahl, *1 Samuel-Text*, p. 44)  **12 – 13 I 1484** Iob 5, 11$^{1-2}$

---

**1 Titlos** C$^{\text{txt}}$ (238r2) A$^{\text{II pin}}$ R *(in* R *sub littera* T*)*; *deest in* C$^{\text{pin}}$ H$^{\text{II}}$A$^{\text{II txt}}$  **3 – 9 I 1483** C (238r[3]3–7); R cap. T 8, 1; *deest in* H$^{\text{II}}$  **11 – 13 I 1484** C (238r[7]7–8); R cap. T 8, 2; *deest in* H$^{\text{II}}$

---

**1 Titlos**  Τίτλος] *om.* A$^{\text{II pin}}$ R$^{\text{pin}}$  γʹ] ηʹ R, *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(γʹ secund. ser.)*  Ὅτι] *praem.* Περὶ τοῦ R$^{\text{pin}}$

---

**I 1484** Ἀπὸ τοῦ] *om.* R

---

**5 – 9** ταπεινοῖ – αὐτῷ] *om.* R  **13** ἐξεγείροντι C R$^{\text{a. c.}}$

## I 1485 / C cap. O 3, 3

Δαυῒδ ἐν ψαλμῷ οδʹ·

Ὁ θεὸς κριτής ἐστιν·
τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ,
ὅτι ποτήριον ἐν χειρὶ κυρίου.

## I 1486 / C cap. O 3, 4

Ἐν ψαλμῷ ριβʹ·

…ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν
καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα,
τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων,
μετὰ ἀρχόντων λαοῦ αὐτοῦ.

## I 1487 / C cap. O 3, 5

Ἐκ τοῦ Ἐκκλησιαστοῦ·

Ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι μεγάλοις,
καὶ πλούσιοι ἐν ταπεινώσει καθίσονται·
εἶδον δούλους ἐφ’ ἵππους
καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ γῆς.

---

**3 – 5 I 1485** Ps. 74, $8^1$–$9^1$ **8 – 11 I 1486** Ps. 112, $7^1$–$8^2$ **14 – 17 I 1487** Eccle. 10, $6^1$–$7^2$ (Wahl, *Kohelet-Text*, p. 169)

---

**2 – 5 I 1485** C (238r[9]9–10); R cap. T 8, 3; *deest in* $H^{II}$ **7 – 11 I 1486** C (238r[11]11–13); R cap. T 8, 4; *deest in* $H^{II}$ **13 – 17 I 1487** C (238r[14]14–17); *deest in* $H^{II}$ R

---

**I 1485** (a) C (b) Ψαλμὸς οδʹ R **I 1486** Ἐν ψαλμῷ] ψαλμοῦ R

---

**5** ὅτι – κυρίου] *om.* R **10 – 11** τοῦ – αὐτοῦ] *om.* R **16** εἶδον] *scripsimus (LXX)*, ἴδον C

## I 1488 / C cap. O 3, 6

Δανιὴλ προφήτου·

Κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν.

## I 1489 / C cap. O 3, 7

Τοῦ Σιράχ·

Κοῦφον ἐν ὀφθαλμοῖς κυρίου
ἐξάπινα πλουτίσαι πένητα.

## I 1490 / C cap. O 3, 8

Ἐκ τοῦ αὐτοῦ·

Ἔστιν κοπιῶν καὶ πονῶν καὶ σπεύδων,
καὶ τόσῳ μᾶλλον ὑστερεῖται·
καὶ ἔστιν νωθρὸς προσδεόμενος ἀντιλήψεως,
ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ περισσεύων,
καὶ οἱ ὀφθαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά,
καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ,
καὶ ἀνύψωσεν κεφαλὴν αὐτοῦ,
καὶ ἐθαύμασαν ἐπ᾽ αὐτὸν πολλοί.

---

**3 – 4 I 1488** Dan. 4, 22 vel 4, 29 (Wahl, *Prophetenzitate*, p. 684 vel 686) **7 – 8 I 1489** Sir. 11, $21^{3-4}$ (Wahl, *Sirach-Text*, p. 78) **11 – 18 I 1490** Sir. 11, $11^{1}$–$13^{2}$ (Wahl, *Sirach-Text*, p. 77)

---

**2 – 4 I 1488** C (238r[17]18–19); *deest in* $H^{II}$ R **6 – 8 I 1489** C (238r[19]19–20); R cap. T 8, 5; *deest in* $H^{II}$ **10 – 18 I 1490** C (238r[21]21–27); R cap. T 8, 6; *deest in* $H^{II}$

---

**I 1489** Τοῦ] *om.* R **I 1490** (a) C (b) *s. d.* R

---

**18** αὐτῷ *LXX*

## I 1491 / C cap. O 3, 9

Ἐκ τοῦ αὐτοῦ·

Ζωὴ καὶ θάνατος,
πενία καὶ πλοῦτος παρὰ κυρίου ἐστίν.

## I 1492 / C cap. O 3, 10

Ἐκ τοῦ αὐτοῦ·

Πολλοὶ τύραννοι ἐκάθισαν ἐπ᾽ ἐδάφους,
καὶ ὁ ἀνυπονόητος ἐφόρεσεν διάδημα.

## I 1493 / C cap. O 3, 11

Λουκᾶ εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ ϛ′·

Καθεῖλεν δυνάστας ἀπὸ θρόνων,
καὶ ὕψωσεν ταπεινούς,
πεινῶντας ἐνέπλησεν ἀγαθῶν
καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

---

**7 – 8** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 60.4./67.5. (ed. Ihm, p. 909)

---

**3 – 4 I 1491** Sir. 11, $14^{1-2}$ (Wahl, *Sirach-Text*, p. 77–78) **7 – 8 I 1492** Sir. 11, $5^{1-2}$ (Wahl, *Sirach-Text*, p. 76) **11 – 14 I 1493** Luc. 1, 52–53

---

**2 – 4 I 1491** C (238r[27]28–29); R cap. T 8, 7; *deest in* $H^{II}$ **6 – 8 I 1492** C (238r [29]29–30); R cap. T 8, 8; *deest in* $H^{II}$ **10 – 14 I 1493** C (238v[1]1–4); R cap. T 8, 9; *deest in* $H^{II}$

---

**I 1491** (a) C (b) *s. d.* R **I 1492** (a) C (b) *s. d.* R **I 1493** εὐαγγελιστοῦ – ϛ′] *om.* R ϛ′] *sic* C

---

**4** πενία] *add.* τὲ R κυρίου] *praem.* τοῦ R **7** ἐπ᾽] ἐπὶ R

## I 1494 / C cap. Ο 3, 12

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Κοῦφον ἐν ὀφθαλμοῖς σου πτωχίσαι καὶ πλουτίσαι, ζωῶσαι καὶ θανατῶσαι· τὸ γὰρ θελῆσαί σε, πρᾶξις ἐστὶν συντετελεσμένη.

## I 1495 / C cap. Ο 3, 13

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν τῶν ἐπισκόπων παρουσίαν·

Τί μεῖζον τῆς τοῦ θεοῦ μεγαλονοίας τεκμήριον, ὅταν ἐκ τῶν ἀπόρων θέλῃ πόρον δοῦναι τοῖς πράγμασιν;

---

**3–4 I 1494** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 12 (PG 35, 949, 46 – 952, 3) **7–8 I 1495** Gregorius Nazianzenus, *Supremum vale coram centum quinquaginta episcopis (Orat. 42)*, 5, 16–18 (ed. Bernardi, p. 62)

---

**2–4 I 1494** C (238v[4–5]5–8); R cap. Τ 8, 10; *deest in* H$^{II}$ **6–8 I 1495** C (238v [8–9]9–12); R cap. Τ 8, 11; *deest in* H$^{II}$

---

**I 1494** Τοῦ – Γρηγορίου] *om.* R περὶ] *om.* R **I 1495** ἐκ – παρουσίαν] *om.* R

---

7 Τί μεῖζον] τὸ μεῖζον C$^{mg.}$ R **8** θέλῃ – δοῦναι] πόρον δοῦναι θέλει R

# Στοιχεῖον Π

**Τίτλος α′ Περὶ τῶν προσκαίρων καὶ τῶν αἰωνίων ἀγαθῶν.**

**γ′ Περὶ προσκαίρων καὶ αἰωνίων, καὶ ὅτι τὰ μέγιστα πλημμελοῦσιν οἱ τὰ παρόντα τῶν μελλόντων προτιμῶντες.**

**κζ′ Περὶ προσκαίρων καὶ αἰωνίων, καὶ ὅτι χρὴ τῶν παρόντων τὰ μέλλοντα προτιμᾶν.**

## I 1496 / C cap. Π 1, 1

Δαυῒδ ἐν ψαλμῷ δ′·

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;
Ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

## <I suppl. 430 / V cap. Π 3, 1>

---

**2** Περὶ – ἀγαθῶν] cf. I / C$^{\text{pin}}$ Παραπομπαὶ Α 5 et Ζ 2 (SJD VIII/1); cf. II$^{1}$ / K$^{\text{pin}}$ Παραπομπὴ Π 15 (SJD VIII/4) **11 I suppl. 430** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**9 – 10 I 1496** Ps. 4, 3$^{1-2}$

---

**1 Stoicheion** C$^{\text{txt}}$ (238v13) C$^{\text{pin}}$ **2 Titlos (a)** C (238v13–15) A$^{\text{II pin}}$; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$ **3 – 4 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$; PG 96, 228, 40–42 **5 – 6 Titlos (c)** P$^{\text{pin}}$ M$^{\text{pin}}$ L$^{\text{b pin}}$ E$^{\text{txt}}$ R; *deest in* P$^{\text{txt (lac.)}}$ M$^{\text{txt (lac.)}}$ L$^{\text{b txt}}$ E$^{\text{pin (lac.)}}$; PG 96, 537, 19–21 **8 – 10 I 1496** C (238v[15]16–17); *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ P$^{\text{(lac.)}}$ M$^{\text{(lac.)}}$ L$^{\text{b}}$ E R

---

**1 Stoicheion** Π] *scripsimus*, πι C **2 Titlos (a)** Τίτλος] *om.* A$^{\text{II pin}}$ α′] *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(*α′ *secund. ser.)* τῶν$^{1}$] *om.* C$^{\text{pin}}$ A$^{\text{II pin}}$ τῶν$^{2}$] *om.* C$^{\text{pin}}$ A$^{\text{II pin}}$ **3 – 4 Titlos (b)** **3** γ′] *propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(*γ′ *secund. ser.)* **5 – 6 Titlos (c)** **5** κζ′] λα′ R$^{\text{pin}}$, τίτλος λα′ R$^{\text{txt}}$, ρπγ′ E$^{\text{txt}}$ τῶν προσκαίρων R **5 – 6** καὶ$^{1}$ – προτιμᾶν] *om.* M$^{\text{pin}}$ **5** αἰωνίων] τῶν αἰωνίων ἀγαθῶν R

## I 1497 / C cap. Π 1, 2

Ἐν ψαλμῷ λη′·

Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.
Πλὴν μάτην ταράσσεται·
θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

## I 1498 / C cap. Π 1, 3

Ἐν ψαλμῷ λθ′·

Μακάριος ἀνήρ, οὗ ἐστιν τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ,
καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.

## I 1499 / C cap. Π 1, 4

Ἐν ψαλμῷ ρμγ′·

Ἄνθρωπος ματαιότητι ὡμοιώθη,
αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιαὶ παράγουσιν.

## I 1500 / C cap. Π 1, 5

Τοῦ Ἐκκλησιαστοῦ·

Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.
Τίς περισσεία τῷ ἀνθρώπῳ
ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;

---

**3 I 1497** Πλὴν – ζῶν] Ps. 38, $6^{3}$ **4 – 5** Πλὴν – αὐτά] Ibid. 38, $7^{2-3}$ **8 – 9 I 1498** Ps. 39, $5^{1-2}$ **12 – 13 I 1499** Ps. 143, $4^{1-2}$ **16 – 18 I 1500** Eccle. 1, $2^{2}$–$3^{2}$ (Wahl, *Kohelet-Text*, p. 147)

---

**2 – 5 I 1497** C (238v[18]18–20); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **7 – 9 I 1498** C (238v[21]21–23); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **11 – 13 I 1499** C (238v [23–24]24–25); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **15 – 18 I 1500** C (238v[26] 26–29); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R

---

**3** Πλὴν] διὰ τοῦτο $C^{\text{man. rec. mg.}}$ **17** περισσεία] *scripsimus*, περίσσεια C

## I 1501 / C cap. Π 1, 6

Τοῦ αὐτοῦ·

Ἐμίσησα σὺν τὴν ζωήν,
ὅτι πονηρὸν ἐπʼ ἐμὲ τὸ ποίημα
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον,
ὅτι τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.
Καὶ ἐμίσησα ἐγὼ σύμπαντα μόχθον μου,
ὅτι ἀφίω αὐτὸν τῷ ἀνθρώπῳ τῷ γενησομένῳ μετʼ ἐμέ.
Καὶ τίς οἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων,
καὶ εἰ ἐξουσιάζεται ἐν παντὶ μόχθῳ μου,
ᾧ ἐμόχθησα καὶ †ὡς ἐφεισάμην† ὑπὸ τὸν ἥλιον;
Καί γε τοῦτο ματαιότης.

## I 1502 / C cap. Π 1, 7

Τοῦ αὐτοῦ·

Καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός,
ἐπιστρέψει τοῦ πορευθῆναι ὡς ἥκει,
καὶ οὐδὲν λήψεται ἐν μόχθῳ αὐτοῦ,
ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ.
Καί γε τοῦτο πονηρὰ ἀρρωστία.

---

**3 – 7 I 1501** Ἐμίσησα – μου] Eccle. 2, $17^{1}$–$18^{1}$ (Wahl, *Kohelet-Text*, p. 149) **8 – 12** ὅτι – ματαιότης] Ibid. 2, $18^{3}$–$19^{4}$ (Wahl, p. 149) **15 – 19 I 1502** Eccle. 5, $14^{1}$–$15^{1}$ (Wahl, *Kohelet-Text*, p. 157–158)

---

**2 – 12 I 1501** C (238v[29]29–239r7); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **14 – 19 I 1502** C (239r[7]7–11); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R

---

**11** †ὡς ἐφεισάμην†] *cruces apposuimus*, *sic* C, ᾧ ἐσοφισάμην *LXX*

## I 1503 / C cap. Π 1, 8

Ὠσηὲ προφήτου·

Ὦ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ τῆς στρωμνῆς αὐτῶν, οἱ κατεσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά, οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ' ὡς φεύγοντα.

## I 1504 / C cap. Π 1, 9

Μιχαίου προφήτου·

Ἐγγίσατε ὄρεσιν αἰωνίοις, ἀνάστητε καὶ πορεύεσθε, ὅτι οὐκ ἔστιν σοι αὕτη ἀνάπαυσις.

## I 1505 / C cap. Π 1, 10

Ἡσαΐου προφήτου·

Ἐπιλήσονται τὴν θλίψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. Ἔσται γὰρ ὁ οὐρανὸς καινός, καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσιν τῶν προτέρων, οὐδὲ μὴ ἐπέλθῃ ἐπὶ τὴν καρδίαν αὐτῶν, ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν.

---

**3 – 8 I 1503** Os., re vera Am. 6, 4–6 (Wahl, *Prophetenzitate*, p. 189–190) **11 – 12 I 1504** Mich. 2, 9–10 (Wahl, *Prophetenzitate*, p. 197) **15 – 18 I 1505** Is. 65, 16–18 (Wahl, *Prophetenzitae*, p. 473–474)

---

**2 – 8 I 1503** C (239r[11]12–19); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E R **10 – 12 I 1504** C (239r[19]20–21); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E R **14 – 18 I 1505** C (239r[22]22–27); R cap. Π 31, 2; *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E

---

**I 1505** προφήτου] *om.* R

---

**3** Ὦ] *scripsimus*, ὧ C$^{a. c.}$, ὢ C$^{p. c. man. rec.}$, *deest in LXX* **7 – 8** ὡς – φεύγοντα] *post* ὀργάνων *hab. LXX* **15** θλίψιν] *sic acc.* C R πρώτην] προτέραν R **16 – 18** Ἔσται – εὑρήσουσιν] *om.* R

## I 1506 / C cap. Π 1, 11

Τοῦ αὐτοῦ·

Ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ὡς τὸ φῶς τῶν ἑπτὰ ἡμερῶν.

## I 1507 / C cap. Π 1, 12

Τοῦ αὐτοῦ·

Ἐπὶ κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

## I 1508 / C cap. Π 1, 13

Σοφίας Σολομῶντος·

Εἶπον οἱ ἀσεβεῖς ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς·
Ὀλίγος ἐστὶν καὶ λυπηρὸς ὁ βίος ἡμῶν,
καὶ οὐκ ἔστιν ἀναποδισμὸς ἐν τελευτῇ ἡμῶν.
Δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν,
καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι σπουδαίως·
οἴνου πολυτελοῦς καὶ μύρου ἐμπλησθῶμεν,
καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἀέρος·
στεψώμεθα ῥόδων κάλυξιν πρινὴ μαρανθῆναι.

---

**3 – 4 I 1506** Is. 30, 26 (Wahl, *Prophetenzitate*, p. 369) **7 – 8 I 1507** Is. 35, 10 (Wahl, *Prophetenzitate*, p. 378–379) **11 – 12 I 1508** Εἶπον – ἡμῶν] Sap. 2, $1^{1-2}$ **13** καὶ – ἡμῶν] Ibid. 2, $5^{2}$ **14 – 924, 8** Δεῦτε – ἐλέγχεται] Ibid. 2, $6^{1}$–$11^{2}$

---

**2 – 4 I 1506** C (239r[27]28–30); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **6 – 8 I 1507** C (239r[30]30–239v3); $V^{E}$ cap. Π 3, 2; $V^{W}$ cap. Π 3, 2; $V^{O}$ cap. Π 3, 2; $V^{Ph}$ cap. Π 3, 2; E cap. 183, 2; R cap. Π 31, 3; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 228, 45–47 **10 – 924, 12 I 1508** C (239v[3]4–22); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R

---

**I 1507** (a) C (b) Καὶ μετ᾽ ὀλίγα R (c) Ἡσαΐου $V^{W}$ ἡσαϊ *cod.* (d) Παροιμιῶν $V^{E}$ (e) *s. a.* $V^{O}V^{Ph}$ E

---

**7** ἀγαλλίασις V E R **7 – 8** καταλήψεται – στεναγμός] *om.* E **7 – 8** καταλήψεται αὐτούς] *om.* V R **8** ἀπέδρα] *add.* δὲ V καὶ[1]] *om.* $V^{Ph}$ **17** ἀέρος] ἔαρος $C^{mg.}$ *(LXX, sed cf. app. crit.)*

Μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας·
πανταχῇ καταλείψωμεν σύμβολα τῆς εὐφροσύνης,
ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος.
Καταδυναστεύσωμεν πένητα δίκαιον,
μὴ φεισώμεθα χήρας,
μὴ δὲ †πρεσβυτέρους† ἐντραπῶμεν πολιὰς πολυχρονίου.
Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης·
τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.
Ταῦτα ἐλογίσαντο οἱ ἄφρονες, καὶ ἐπλανήθησαν·
ἀπετύφλωσεν γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,
καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ,
οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος.

## I 1509 / C cap. Π 1, 14

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ νε′·

Εἶπεν ὁ κύριος· Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοὶ εἰσὶν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς. Τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

---

**9 – 12** Ταῦτα – ὁσιότητος] Sap. 2, $21^{1}$–$22^{2}$ **15 I 1509** Εἶπεν – κύριος] cf. Matth. 5, 2 **15 – 19** Εἰσέλθετε – αὐτήν] Ibid. 7, 13–14

---

**14 – 19 I 1509** C (239v[22–23]23–28); $V^{E}$ cap. Π 3, 3; $V^{W}$ cap. Π 3, 3–4; $V^{O}$ cap. Π 3, 3; $V^{Ph}$ cap. Π 3, 3; E cap. 183, 3–4; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 228, 48 – 229, 4

---

**I 1509** (a) C (b) Ματθαίου $V^{E}V^{O}V^{Ph}$ (c) Εὐαγγελίου / *s. a.* $V^{W}$ E *(cf. infra, app. crit. txt.)*

---

**2** σύμβολα] μέτρα $C^{mg.}$ *(cf. Photius [Σ 548.24] et Souda [Σ 1372])* **6** †πρεσβυτέρους†] *cruces apposuimus, sic* C, πρεσβύτου *LXX (sed cf. app. crit.)* πολυχρονίους *LXX (sed cf. app. crit.)* **15** Εἶπεν – κύριος] *om.* V E εἰσέλθατε $V^{W}$ **16 – 17** πολλοί εἰσιν $V^{W\,p.\,c.}$ E **17** αὐτῆς] *hic caesura in* $V^{W}$ E **18 – 19** εὑρίσκοντες αὐτήν] εἰσερχόμενοι δι᾽ αὐτῆς E, *sed in mg. correx.*

## I 1510 / C cap. Π 1, 15

Ἐκ τῆς πρὸς Κορινθίους α′ ἐπιστολῆς·

Ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

## I 1511 / C cap. Π 1, 16

Ἐκ τῆς αὐτῆς·

Ὁ καιρὸς συνεσταλμένος ἐστίν· τὸ λοιπόν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

## I 1512 / C cap. Π 1, 17

Ἐκ τῆς αὐτῆς·

Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ’ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

---

**3 – 4 I 1510** I Cor. 2, 9 **7 – 10 I 1511** I Cor. 7, 29–31 **13 – 16 I 1512** I Cor., re vera II Cor. 4, 17–18

---

**2 – 4 I 1510** C (239v[29]29–240r2); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R **6 – 10 I 1511** C (240r[2]2–7); $V^{E}$ cap. Π 3, 4; $V^{W}$ cap. Π 3, 5; $V^{O}$ cap. Π 3, 4; $V^{Ph}$ cap. Π 3, 4; E cap. 183, 5; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 229, 5–9 **12 – 16 I 1512** C (240r[7]7–12); $V^{E}$ cap. Π 3, 5; $V^{W}$ cap. Π 3, 6; $V^{O}$ cap. Π 3, 5; $V^{Ph}$ cap. Π 3, 5; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R; PG 96, 229, 10–14

---

**I 1511** (a) C (b) Ἀποστόλου $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E **I 1512** (a) C (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**3** εἶδεν] *scripsimus*, ἴδεν C **7** λοιπόν] *add.* ἀδελφοὶ V E ἵνα καὶ] *om.* $V^{W}$ E ἵνα] *om.* $V^{E}V^{O}V^{Ph}$ **8** ὦσιν] *om.* E **9** καταχρώμενοι] χρώμενοι $V^{Ph}$

## I 1513 / C cap. Π 1, 18

Ἐκ τῆς πρὸς Κορινθίους β′·

Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

## I 1514 / C cap. Π 1, 19

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς·

Οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

## I 1515 / C cap. Π 1, 20

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

Ἀδελφοί, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς.

---

**3–4 I 1513** II Cor., re vera I Cor. 15, 19 **7–8 I 1514** Hebr. 13, 14 **11–12 I 1515** I Petr. 2, 11

---

**2–4 I 1513** C (240r[12]13–14); $V^{E}$ cap. Π 3, 6; $V^{W}$ cap. Π 3, 7; $V^{O}$ cap. Π 3, 6; $V^{Ph}$ cap. Π 3, 6; E cap. 183, 6; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 229, 15–16 **6–8 I 1514** C (240r[14]15–16); $V^{E}$ cap. Π 3, 7; $V^{W}$ cap. Π 3, 8; $V^{O}$ cap. Π 3, 7; $V^{Ph}$ cap. Π 3, 7; E cap. 183, 7; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 229, 17–18 **10–12 I 1515** C (240r[16]17–19); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R

---

**I 1513** (a) C β′] *sic cod.*, α′ *exspectav.* (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) Πρὸς Ῥωμαίους $V^{E}V^{O}V^{Ph}$ (d) *s. a.* E **I 1514** (a) C (b) Τοῦ Ἀποστόλου $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E

---

**4** ἀνθρώπων] *om.* V E **7** μέλλουσαν] μένουσαν C

## I 1516 / C cap. Π 1, 21

Τοῦ αὐτοῦ, ἐκ τῆς β′ ἐπιστολῆς·

Καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη ἐνοικεῖ.

## I 1517 / C cap. Π 1, 22

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου Ῥώμης ἐκ τῆς εἰς τὴν Γένεσιν πραγματείας·

Ταῦτα δὲ ἀνάγκην ἔχομεν διηγήσασθαι, ὅπως τὴν ὑπόνοιαν τὴν τῶν πολλῶν ἀνέλωμεν. Τινὲς γὰρ βούλονται λέγειν εἰς τὸν οὐρανὸν εἶναι τὸν παράδεισον, καὶ μὴ εἶναι ἐκ τῆς κτίσεως. Ὁπότε τοίνυν ὁρῶνται οἱ ποταμοὶ ὑπὸ ὀφθαλμῶν ἐκπορευόμενοι ἐξ αὐτοῦ, ἐν οἷς καὶ σήμερόν ἐστιν πάντας ἱστορεῖν τοὺς θέλοντας, ἄρα λογιζέσθω πᾶς ὅτι οὐκ εἰς τὸν οὐρανόν, ἀλλ’ ὄντως ἐν τῇ κτίσει πεφύτευται, ἔστιν δὲ τόπος ἀνατολῆς καὶ χωρίον ἐκλογῆς.

**9 – 14** Τινὲς – ἐκλογῆς] exstat etiam in *Catena in Genesim*, n° 224 (ed. Petit, I, p. 155) **11** οἱ ποταμοὶ] cf. Gen. 2, 10–14 **13 – 14** ὄντως – ἀνατολῆς] cf. ibid. 2, 8

**3 – 4 I 1516** II Petr. 3, 13 **8 – 14 I 1517** HIPPOLYTUS ROMANUS, *In Genesim*, locus non repertus, Fragm. IV (ed. Achelis, p. 52, 15 – 53, 10); Holl, n° 355

**2 – 4 I 1516** C (240r[20]20–22); $V^{E}$ cap. Π 3, 8; $V^{W}$ cap. Π 3, 9; $V^{O}$ cap. Π 3, 8; $V^{Ph}$ cap. Π 3, 8; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R; PG 96, 229, 19–21 **6 – 14 I 1517** C (240r[22–24]24–240v3); R cap. Π 31, 4; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 537, 30–39

**I 1516** (a) C (b) Πέτρου $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1517** ἐκ – πραγματείας] *om.* R

**3** κατὰ] καὶ V **11** ὀφθαλμῶν] *praem.* τῶν R, *add.* ἡμῶν R **12** σήμερον ἐστὶ R θέλοντας] θέλοντας ὁρᾶν *Catena in Genesim* ἆρα C

## I 1518 / C cap. Π 1, 23

Τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας, ἐκ τοῦ εἰς τὴν ἐγγαστρίμυθον κεφαλαίου·

Ἀλλ' ὡς ἔοικεν, Ὠριγένης ὑποκρίνεται μὴ νοεῖν, ἵνα δεισιδαίμονα κατασκευάσῃ μαντείαν. Εἶτα πάσας ἀλληγορῆσαι τὰς Γραφὰς ἐπιχειρήσας, οὐκ ἐρυθριᾷ τοῦτο μόνον ἐπὶ τοῦ γράμματος ἐκδέχεσθαι θεσπίζων ὑποκρίσει, καίτοι μὴ δὲ αὐτῷ τῷ σώματι προσέχων εὐγνωμόνως. Ἀλλὰ δὴ περὶ τοῦ παραδείσου διαλεγόμενος, ὃν *ἐφύτευσεν ὁ θεὸς ἐν Ἐδέμ*, εἶτα καὶ τὰ καρποφόρα ξύλα τίνα τρόπον ἐξανέτειλεν διηγήσασθαι βουλόμενος, ἐπεφέρετο πρὸς τοῖς ἄλλοις· Ὅταν ἀναγινώσκοντες ἀναβαίνωμεν ἀπὸ τῶν μύθων, ἔφη, καὶ τῆς κατὰ τὸ γράμμα ἐκδοχῆς, ζητῶμεν δὲ τίνα τὰ ξύλα φησὶν ἐκεῖνα, ἃ ὁ θεὸς ἐγεώργει, λέγομεν οὐκ εἶναι ξύλα αἰσθητὰ ἐν τῷ τόπῳ. Ταῦτα δὲ τροπολογῶν, οὐ φρίττει μύθους ὀνομάζων ὅσα δεδημιουργηκέναι μὲν ἱστόρηται ὁ θεός, ὁ δὲ πιστότατος τοῦ θεοῦ θεράπων ἔγραψεν Μωσῆς, ἀλλ' ἐκ τῶν ἐναντίων, ὅπερ ὁ μῦθος ἐν γαστρὶ πλαττόμενος ἀφανῶς ὑπηχεῖ, ταῦτα δογματικῷ βεβαιοῖ πράγματι, δεικνύων ἀληθῆ. Τὰ μὲν γὰρ τῆς ἐγγαστριμύθου ῥήματα διὰ τοῦ ἁγίου πνεύματος εἰρῆσθαι συνιστῶν, ἀσάλευτα μὲν εἶναι ἀξιοῖ, τῇ Γραφῇ τῷ δοκεῖν ἀναθείς, αὐτὰ δὲ τὰ τοῦ θεοῦ διὰ Μωσέως ἐκδοθέντα μηνύματα μύθους ὀνομάσας, ἐνδια<λ>λάττει τὴν ἔννοιαν, οὐ δικαιῶν ἐμμένειν τῇ τοῦ γράμματος ἐκδοχῇ.

**9** Gen. 2, 8 **11 – 14** Origen. Alex., locus non repertus

**4 – 23** **I 1518** Eustathius Antiochenus, *De engastrimytho contra Origenem*, 992–1012 (ed. Declerck, p. 42–43)

**2 – 23** **I 1518** C (240v[3–5]5–241r3); *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R

**4** Ὠριγένης] *correximus (ed.)*, ὠρειγένης C δυσδαίμονα *ed.* **15** δεδημιουργηκέναι] *correximus (ed.)*, δὲ δημιουργικέναι C **17** ἐν γαστρὶ] *correximus (ed.)*, ἐγγαστρὶ C **18** δογματικῷ] *correximus (ed.)*, δογματικῶς C **21** τῷ] *correximus (ed.)*, τὸ C **22** ἐνδιαλλάττει] *correximus (ed.)*, ἐνδιαλάττει C

## I 1519 / C cap. Π 1, 24

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

Δύο εἰσὶν ὁδοὶ ἐναντίαι ἀλλήλαις, ἡ μέν, *πλατεῖα* καὶ *εὐρύχωρος*, ἡ δέ, *στενὴ* καὶ *τεθλιμμένη*· καὶ δύο ὁδηγοί, ἑκάτερος πρὸς ἑαυτὸν ἐπιστρέφειν ἐπιχειρῶν. Ἔχει δὲ ἡ μὲν μία ὁδός, τῆς πλάνης, ὁδηγὸν ἀπατηλόν, δαίμονα πονηρόν, δι᾽ ἡδονῆς πρὸς *τὴν ἀπώλειαν* τοὺς ἑπομένους ἐπισυρόμενον, ἡ δὲ τραχεῖα καὶ ἀνάντης ἄγγελον ἀγαθόν, διὰ τῶν ἐπιπόνων τῆς ἀρετῆς πρὸς τὸ μακάριον τέλος τοὺς ἑπομένους ἄγοντα. Ἕως μὲν οὖν νήπιος ἐστὶν ἕκαστος ἡμῶν, τὸ ἐν τῷ παρόντι ἡδὺ διώκων, οὐδεμίαν τοῦ μέλλοντος κηδεμονίαν ποιεῖται. Ἀνὴρ δὲ ἤδη γενόμενος, μετὰ τὸν ἀπαρτισμὸν τῶν ἐννοιῶν, οἷον ὁρᾶν δοκεῖ τὸν βίον αὐτῷ σχηματιζόμενον πρὸς ἀρετὴν καὶ κακίαν, καὶ πυκνὸν πρὸς ἑκάτερον τὸ ὄμμα τῆς ψυχῆς μεταστρέφων, παράλληλα κρίνει τὰ ἑκατέρῳ προσόντα. Ὁ τῶν ἁμαρτωλῶν βίος πάντα δείκνυσιν τὰ τοῦ παρόντος αἰῶνος τερπνά, ὁ δὲ τῶν δικαίων μόνα ὑποφαίνει τὰ τοῦ μέλλοντος ἀγαθά. Καὶ ἡ μὲν τῶν σωζομένων ὁδός, ὅσον καλὰ ὑπισχνεῖται τὰ μέλλοντα, τοσοῦτον ἐπίπονα παρέχεται τὰ παρόντα· ὁ δὲ ἡδὺς

**3 – 6** Matth. 7, 13–14

**3 – 930, 15 I 1519 *Versio* C V** Basilius Caesariensis, *Homilia in Psalmum I*, 5 (PG 29, 221, 44 – 224, 30)

**2 – 930, 21 I 1519** C (241r[3]4–241v16); $V^{E}$ cap. Π 3, 9; $V^{W}$ cap. Π 3, 10–13; $V^{O}$ cap. Π 3, 9; $V^{Ph}$ cap. Π 3, 9; E cap. 183, 8; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 229, 22–52

**I 1519** (a) C (b) Βασιλείου $V^{E}V^{O}V^{Ph}$ E (c) Βασιλείου (cap. Π 3, 10) / Τοῦ αὐτοῦ (cap. Π 3, 11) / *s. a.* (cap. Π 3, 12) / *s. a.* $V^{W}$ (cap. Π 3, 13) *(cf. infra, app. crit. txt.)*

**3** ἀλλήλοις $V^{E}V^{O}V^{Ph}$ **5** δὲ] μὲν V, οὖν *ed.* μία] λεία *ed.* ὁδός – πλάνης] ὁδὸς τῆς πλάνης $V^{E}V^{O}V^{Ph}$, ὁδός, πλάνης C, ὁδὸς. καὶ πλάνης $V^{W}$, ὁδὸς καὶ πρανὴς *ed.* **6** ἀπατηλόν] *praem.* καὶ C $V^{W}$ πονηρόν] *praem.* καὶ $V^{E}V^{O}V^{Ph}$ **7** ἐπισυρόμενος C ἀνάντις $V^{E}V^{W}V^{Ph}$, ἀνάντες $V^{O}$ **9** ἄγοντα] ἄγοντας C $V^{O\ a.\ c.\ ut\ videtur}$, *hic caesura in* $V^{W}$ μὲν – ἡμῶν] οὖν νήπιος μὲν ἕκαστος ἡμῶν ἐστὶν C **10** διώκον $V^{E}V^{O}V^{Ph}$ **11** γενάμενος $V^{W\ a.\ c.}$ τὸν] τῶν $V^{E}V^{O}$ **12** ὁρᾶν] *om.* $V^{W}$ δοκεῖ] τὸ δοκεῖν $V^{W}$ σχηματιζόμενον] σχιζόμενον $C^{mg.}$ $V^{W\ p.\ c.}$ *(ed.)* **13** πυκνὰ $V^{E}V^{Ph}$ *(ed., sed cf. adnot.)*, πϊκνὰ $V^{O}$ **14** ἑκατέρῳ] ἑκάτερα $V^{W}$, ἑκατέρων $V^{Ph\ a.\ c.}$, ἑκάτερον $V^{Ph\ p.\ c.}$, *hic caesura in* $V^{W}$ προσόντα] *om.* $V^{W}$ **17** καλὰ] καλλὰ $V^{O}$, μᾶλλον $V^{W}$

καὶ ἀκόλαστος βίος οὐχὶ προσδοκωμένην εἰς ὕστερον, ἀλλ' ἤδη παροῦσαν προτείνεται τὴν ἀπόλαυσιν.

Ἰλιγγιᾷ οὖν πᾶσα ψυχὴ καὶ μετοκλάζει τοῖς λογισμοῖς, ὅταν μὲν ἐνθυμηθῇ τὰ αἰώνια, τὴν ἀρετὴν αἱρουμένη, ὅταν δὲ ἀποβλέψῃ πρὸς τὰ παρόντα, τὴν ἡδονὴν προτιμῶσα· ὧδε βλέπει σαρκὸς εὐπάθειαν, ἐκεῖ δουλαγωγίαν σαρκός, ὧδε μέθην, ἐκεῖ νηστείαν, ὧδε γέλωτας ἀκρατεῖς, ἐκεῖ δάκρυον δαψιλές, ἐνταῦθα ὄρχησιν, κἀκεῖ προσευχήν, αὐλοὺς ὧδε, κἀκεῖ στεναγμούς, ὧδε πορνείαν, κἀκεῖ παρθενίαν.

Ἐπεὶ οὖν τὸ μὲν ἀληθινῶς ἀγαθὸν λογισμῷ ληπτόν ἐστιν διὰ πίστεως – μακρὰν γὰρ ἀπῴκισται, καὶ *ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν* –, τὸ δὲ τῆς ἁμαρτίας ἡδὺ πρόχειρον ἔχει καὶ διὰ πάσης αἰσθήσεως ῥέουσαν τὴν ἀπόλαυσιν, μακάριος ὁ μὴ περιτραπεὶς ἐκ τῶν τῆς ἡδονῆς δελεασμάτων πρὸς τὴν ἀπώλειαν, ἀλλὰ δι' ὑπομονῆς τὴν ἐλπίδα τῆς σωτηρίας ἀπεκδεχόμενος.

Δύο εἰσὶν ὁδοὶ ἐναντίαι ἀλλήλαις, ἡ μέν, *πλατεῖα* καὶ *εὐρύχωρος*, ἡ δέ, *στενὴ* καὶ *τεθλιμμένη*· καὶ δύο ὁδηγοί, ἑκάτερος πρὸς ἑαυτὸν ἐπιστρέφειν ἐπιχειρῶν. Ἔχει μὲν ἡ *πλατεῖα* καὶ *εὐρύχωρος* ὁδηγὸν ἀπατηλόν, δαίμονα πονηρόν, δι' ἡδονῆς πρὸς *τὴν ἀπώλειαν* τοὺς ἑπομένους ἐπισυρόμενον, ἡ δὲ τραχεῖα καὶ ἀνάντης ἄγγελον ἀγαθὸν διὰ τῶν ἐπιπόνων τῆς ἀρετῆς πρὸς τὸ μακάριον τέλος τοὺς ἑπομένους ἄγοντα.

---

**11 – 12** I Cor. 2, 9 **16 – 19** Matth. 7, 13–14

---

**16 – 21 I 1519 *Versio* E** Basilius Caesariensis, *Homilia in Psalmum I*, 5 (PG 29, 221, 44 – 224, 1)

---

**1** ἀκόλαστος] *add.* καὶ ἀνάλγητος $C^{mg.}$ **2** προτείνει $C^{mg.}$ *(cf. ed. in adnot.)* ἀπόλαυσιν] *hic caesura in* $V^{W}$ **3** μετοκλάζη $V^{E}V^{O}V^{Ph}$, μεθοκλάζει $V^{W}$ **4** ἀποβλέπει $V^{W}$ **5** προτϊμῶσαν $V^{O}$ **6 – 13** ὧδε[2] – ἀπόλαυσιν] *om.* $V^{W}$ **7** δαψιλές] ἐκτενὲς C **7 – 13** ἐνταῦθα – ἀπόλαυσιν] *om.* $V^{E}V^{O}V^{Ph}$ **11** εἶδεν] *correximus (ed.)*, ἴδεν C **13** μακάριος] *add.* τοίνυν V **13 – 14** ἐκτραπεὶς $V^{W\ e\ corr.}$ **15** ἐκδεχόμενος $V^{W}$

## I 1520 / C cap. Π 1, 25

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φθόνου·

Τῶν ἀνθρωπίνων οὐδὲν μέγα, οὐδὲ ὑπερφυὲς ὁριζόμεθα· οὐ γὰρ ἐν τοῖς παρερχομένοις τὸ ἀγαθόν, ἀλλ᾽ ἐπὶ αἰωνίων καὶ ἀληθινῶν μετουσίαν κεκλήμεθα.

## I 1521 / C cap. Π 1, 26

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν ριε′ ψαλμόν·

Μὴ προτιμᾶτε τῶν πολυτιμήτων τὰ ἀτιμότατα, μὴ δὲ κακοὶ συναλλάκται γίνεσθε, τὴν φθειρομένην ζωὴν τῆς ἀφθάρτου καὶ μακαρίας καταστάσεως προτιμῶντες.

## <I suppl. 431 / V cap. Π 3, 12>

**11 I suppl. 431** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3 I 1520** Τῶν – ὁριζόμεθα] Basilius Caesariensis, *Homilia de invidia*, 5 (PG 31, 381, 37–38) **3 – 5** οὐ – κεκλήμεθα] Ibid. (PG 31, 381, 40–42) **8 – 10 I 1521** Basilius Caesariensis, *Homilia in Psalmum CXV*, 4 (PG 30, 112, 41–44)

**2 – 5 I 1520** C (241v[16]16–19); $V^{E}$ cap. Π 3, 10; $V^{W}$ cap. Π 3, 14; $V^{O}$ cap. Π 3, 10; $V^{Ph}$ cap. Π 3, 10; R cap. Π 31, 5; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 229, 53 – 232, 2 **7 – 10 I 1521** C (241v[20]20–24); $V^{E}$ cap. Π 3, 11; $V^{W}$ cap. Π 3, 15; $V^{O}$ cap. Π 3, 11; $V^{Ph}$ cap. Π 3, 11; E cap. 183, 9; R cap. Π 31, 6; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 232, 3–6

**I 1520** (a) C (b) Τοῦ ἁγίου Βασιλείου, περὶ φθόνου R (c) Τοῦ αὐτοῦ $V^{E}V^{W}$ (d) *s. a.* $V^{O}V^{Ph}$ **I 1521** (a) C R Τοῦ αὐτοῦ] *om.* R (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E

**4** τῶν ἀγαθῶν $V^{Ph\ a.\ c.}$ ἐπὶ] ἐπ᾽ C **8** ἀτιμώτατα V R, ἄτιμα C **8 – 9** συναλάκται C $V^{E}V^{W\ a.\ c.}$ $V^{O}V^{Ph}$ **9** γίνεσθαι $C^{a.\ c.}$ $V^{E}V^{O}V^{Ph\ a.\ c.}$ **10** καταστάσεως] ζωῆς (-ης $V^{O}$) V E R

## I 1522 / C cap. Π 1, 27

Ἐκ τοῦ εἰς τὸ *Πρόσεχε σεαυτῷ*·

Μὴ πρόσεχε τῇ σαρκί, ἄνθρωπε, μὴ δὲ τὸ ταύτης ἀγαθὸν ἐκ παντὸς τρόπου δίωκε, ὑγείαν, κάλλος καὶ ἡδονὴν καὶ ἀπόλαυσιν καὶ μακροβίωσιν, μὴ δὲ χρήματα καὶ δόξαν καὶ δυναστείαν θαύμαζε, μὴ δὲ ὅσα σοι τὴν πρόσκαιρον ὑπηρεσίαν πληροῖ.

## I 1523 / C cap. Π 1, 28

Ἐκ τοῦ αὐτοῦ·

*Πρόσεχε σεαυτῷ*, μήτε τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς. Ὑπερόρα σαρκός· παρέρχεται γάρ. Ἐπιμελοῦ ψυχῆς, πράγματος ἀθανάτου.

Μὴ τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς. Ὑπερόρα σαρκός· παρέρχεται γάρ. Ἐπιμελοῦ ψυχῆς, πράγματος ἀθανάτου.

---

**9** Deut. 15, 9

---

**3 – 6 I 1522** Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 3 (ed. Rudberg, p. 27, 2–5) **9 – 11 I 1523 *Versio* V P E** Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 3 (ed. Rudberg, p. 27, 14–16) **12 – 14 I 1523 *Versio* C R** Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 3 (ed. Rudberg, p. 27, 14–16)

---

**2 – 6 I 1522** C (241v[24]25–30); $V^{E}$ cap. Π 3, 17; $V^{W}$ cap. Π 3, 22; $V^{O}$ cap. Π 3, 17; $V^{Ph}$ cap. Π 3, 17; P cap. Π 27, 7; R cap. Π 31, 7; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 232, 39–42 **8 – 14 I 1523** C (241v[30]30–242r4); $V^{E}$ cap. Π 3, 16; $V^{W}$ cap. Π 3, 20–21; $V^{O}$ cap. Π 3, 16; $V^{Ph}$ cap. Π 3, 16; P cap. Π 27, 5–6; E cap. 183, 13–14; R cap. Π 31, 8; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 232, 35–38

---

**I 1522** (a) C R σαυτῶ R (b) Ἐκ τοῦ αὐτοῦ P (c) Τοῦ αὐτοῦ $V^{E}V^{O}V^{Ph}$ (d) *s. a.* $V^{W}$ **I 1523** (a) C (b) Τοῦ αὐτοῦ $V^{E}V^{O}V^{Ph}$ (c) Ἐκ τοῦ *Πρόσεχε σεαυτῷ* / *s. a.* P *(cf. infra, app. crit. txt.)* (d) Τοῦ αὐτοῦ / *s. a.* $V^{W}$ *(cf. infra, app. crit. txt.)* (e) *s. a.* / *s. a.* E *(cf. infra, app. crit. txt.)*

---

**3** ἄνθρωπε] ἀνθρώπινον γάρ $V^{W}$ τὸ] τῶ $V^{E}V^{O}V^{Ph}$ ἀγαθῶ $V^{E}V^{O}V^{Ph}$ **3 – 5** ἐκ – μακροβίωσιν] *om.* V P **9** σαυτῶι $E^{a. c.}$ **10** καταφρονήσῃς] καταφρονήσεις *(*-νη- P*)* $V^{E}V^{W}V^{O}$ P, *hic caesura in* $V^{W}$ P E **11** ψυχῆς] *praem.* τῆς P **12** Μὴ] μήτε R μήτε] μὴ δὲ C

## I 1524 / C cap. Π 1, 29

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς τοὺς νέους·

Ἡμεῖς, ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον τοῦτον βίον ὑπολαμβάνομεν, οὔτε ἀγαθόν τι νομίζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου παρέχεται. Οὐκοῦν οὐ προγόνων περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος, οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς, οὐ βασιλείαν αὐτήν, οὐχ᾽ ὅτι ἂν εἴποι τίς τῶν ἀνθρωπίνων ἄλλο, εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν, ἀλλ᾽ ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσιν, καὶ πρὸς ἑτέρου βίου παρασκευὴν ἅπαντα πράττομεν. Ἃ μὲν οὖν συντελεῖ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναι φαμέν, τὰ δὲ οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον, ὡς οὐδενὸς ἄξια παρορᾶν. Τί δὴ οὖν οὗτος ὁ βίος, καὶ ὅπη καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρό<τερο>ν μὲν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι, μειζόνων δὲ ἢ καθ᾽ ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτον γε μὴν εἰπὼν ἱκανῶς ἴσως ὑμῖν ἐνδείξαιμι ὅτι πᾶσαν ὁμοῦ τὴν ἀφ᾽ οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τίς συλλαβὼν καὶ εἰς μίαν ἀθροίσας μακαριότητα, οὐδὲ πολλοστῷ μέρει τῷ μεγέθει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα ἢ καθόσον σκιὰ καὶ ὄναρ τῶν ἀληθινῶν ἀπολείπεται, μᾶλλον δέ, ἵνα οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσον ψυχὴ τοῖς πᾶσιν τιμιωτέρα σώματος, τοσοῦτον καὶ τῶν ἑκατέρων βίων ἔστιν τὸ διάφορον.

---

**3 – 24 I 1524** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, II, 1, 1 – 6, 4 (ed. Naldini, p. 82–84)

---

**2 – 24 I 1524** C (242r[4]4–242v4); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**13** Τί] Τίς *ed.* δὴ] δεῖ $C^{p. c. s. l.}$ **14** μακρότερον] *correximus (ed.)*, μακρὸν C ἢ] *scripsimus (ed.)*, ἦ C ὁρμὴν] ζωην $C^{mg.}$ **16** εἰπῶν $C^{a. c.}$, ειπειν $C^{mg.}$

## I 1525 / C cap. Π 1, 30

Ἐκ τοῦ αὐτοῦ·

Αἰσχρὸν τὸν παρόντα καιρὸν προεμένους, ὕστερόν ποτε ἀνακαλεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις.

## I 1526 / C cap. Π 1, 31

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ λιμοῦ καὶ αὐχμοῦ·

Μὴ τὰ πάντα τῇ ἡδονῇ, δός τι καὶ τῇ ψυχῇ. Καὶ νόμισον δύο εἶναί σοι θυγατέρας, τὴν εὐπάθειαν τὴν ἐνθάδε, καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ μὴ θέλεις πάντα δοῦναι τῇ κρείττονι, μέρισον γοῦν ἐξίσης τῇ τε ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι. Μὴ τὴν ἐνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς, γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακκίοις ἠμφιεσμένην. Μὴ ἄκοσμον καὶ ἄμορφον παραστήσῃς τῷ νυμφίῳ τὴν νύμφην, ἵνα μὴ θεασάμενος ἀποκλίνῃ τὸ πρόσωπον, καὶ ἰδὼν μισήσῃ, καὶ τὴν συνάφειαν ἀπαρνήσηται.

---

**3 – 4 I 1525** Basilius Caesariensis, *Ad iuvenes (De legendis gentilium libris)*, X, 7, 1–3 (ed. Naldini, p. 132) **7 – 12 I 1526** Μὴ – ἠμφιεσμένην] Basilius Caesariensis, *Homilia dicta tempore famis et siccitatis*, 8 (PG 31, 325, 39–46) **12 – 14** Μὴ – ἀπαρνήσηται] Ibid. (PG 31, 325, 49 – 328, 3)

---

**2 – 4 I 1525** C (242v[4]4–6); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **6 – 14 I 1526** C (242v[7]7–18); $V^{E}$ cap. Π 3, 13; $V^{W}$ cap. Π 3, 17; $V^{O}$ cap. Π 3, 13; $V^{Ph}$ cap. Π 3, 13; P cap. Π 27, 2; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E R; PG 96, 232, 15–24

---

**I 1526** (a) C (b) Περὶ λιμοῦ P (c) Τοῦ αὐτοῦ V

---

**4** ἀνιωμένοις] *correximus (ed.)*, ἀνιωμένους C **7** τὰ] *om.* V P τῇ[1]] *om.* P δός τι] δὸς τί $V^{E}V^{Ph}$, δος τί $V^{O}$, δὸς $V^{W}$ P **7 – 8** εἶναί σοι] *add.* θεοῦ $V^{W\,s.\,l.}$ P **9** τοῖς] *om.* $V^{E}$ θέλῃς $V^{W}$ P **10** γοῦν] οὖν $V^{W}$ τε] *s. l.* $V^{W}$ **10 – 11** ἐνταῦθα] ἐν ταῦτα $V^{O}V^{Ph}$ **11** δείξεις $V^{W}$ P, δείξις $V^{E}V^{Ph}$, δόξῃς $V^{O\,a.\,c.}$, δόξϊς $V^{O\,p.\,c.}$ **12** ῥακκίοις] *scripsimus*, ῥακκείοις C, ῥακίοις *ed.*, ῥάκια *(*ῥα- $V^{W}$*)* $V^{E}V^{W\,a.\,c.}$ $V^{O}V^{Ph}$, ῥακκια $V^{W\,p.\,c.\,s.\,l.}$, ῥακκιαν P **14** μισήσει C $V^{E\,p.\,c.}$ $V^{W}V^{O}V^{Ph}$, μησήσει $V^{E\,a.\,c.}$

## I 1527 / C cap. Π 1, 32

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Πολὺν ἐζήσαμεν χρόνον τῷ κόσμῳ, ζήσωμεν λοιπὸν καὶ ἑαυτοῖς. Τί ψυχῆς ἀντάξιον; Τί ἰσοστάσιον τῆς βασιλείας τοῦ θεοῦ; Τίς ἀξιοπιστότερός σοι σύμβουλος τοῦ θεοῦ; Τίς φρονιμώτερος τοῦ σοφοῦ; Τίς ὠφελιμώτερος τοῦ ἀγαθοῦ; Τίς τοῦ κτίσαντος οἰκειότερος;

## I 1528 / C cap. Π 1, 33

Καὶ μεθ' ἕτερα·

Μὴ φεύγων τὸ στενὸν τῆς ἐπὶ σωτηρίαν ἀγούσης, τὸ εὐρύχωρον διώξῃς τῆς ἁμαρτίας. Φοβοῦμαι γὰρ μὴ ἄχρι τέλους τὴν πλατεῖαν ὁδεύσας, ἀκόλουθον εὕρῃς τῇ ὁδῷ τὸ κατάλυμα.

---

**10 – 11** στενὸν – πλατεῖαν] cf. Matth. 7, 13

---

**3 – 7 I 1527** Basilius Caesariensis, *Homilia exhortatoria ad S. baptisma*, 3 (PG 31, 429, 34–39) **10 – 12 I 1528** Basilius Caesariensis, *Homilia exhortatoria ad S. baptisma*, 7 (PG 31, 440, 43–47)

---

**2 – 7 I 1527** C (242v[18–19]19–25); V$^{E}$ cap. Π 3, 14; V$^{W}$ cap. Π 3, 18; V$^{O}$ cap. Π 3, 14; V$^{Ph}$ cap. Π 3, 14; P cap. Π 27, 3; E cap. 183, 11; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ R; PG 96, 232, 25–30 **9 – 12 I 1528** C (242v[25]25–29); V$^{E}$ cap. Π 3, 15; V$^{W}$ cap. Π 3, 19; V$^{O}$ cap. Π 3, 15; V$^{Ph}$ cap. Π 3, 15; P cap. Π 27, 4; E cap. 183, 12; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ R; PG 96, 232, 31–34

---

**I 1527** (a) C (b) Εἰς τὸ βάπτισμα V$^{W}$ (c) Περὶ βαπτίσματος P (d) Τοῦ αὐτοῦ V$^{E}$V$^{O}$V$^{Ph}$ (e) *s. a.* E **I 1528** (a) C (b) *s. a.* V$^{E}$V$^{O}$V$^{Ph}$ E (c) *s. d.* V$^{W}$ P

---

**3** ζήσομεν V$^{W\ a.\ c.}$ P **4** ἰσοστάθμιον *(sic)* V$^{W}$, ἰσόσταθμον P E τοῦ θεοῦ] τῶν οὐρανῶν V$^{E}$V$^{O}$V$^{Ph}$ *(ed.)* **4 – 5** Τίς – θεοῦ] *om.* V$^{W}$ P E **10** Μὴ] *praem.* ὅρα V$^{E}$V$^{O}$V$^{Ph}$ ἀγούσης] *add.* ὁδοῦ C **11** διώξεις V$^{W}$ P Φοβοῦμαι] φοβοῦ καὶ V$^{Ph}$ γὰρ] *om.* V$^{E}$V$^{W\ p.\ ras.\ ut\ videtur}$ V$^{O}$V$^{Ph}$ **12** εὕρῃς V$^{E\ a.\ c.}$, εὕρεις *(*ευ- P*)* V$^{W}$V$^{O}$ P, εὕρεις V$^{E\ p.\ c.}$, εὕροις C τῆς ὁδοῦ C$^{man.\ rec.\ mg.}$

## I 1529 / C cap. Π 1, 34

Τοῦ αὐτοῦ, ἐκ τῆς Ἑξαημέρου·

Ὥσπερ ἡ παροῦσα ζωὴ συμβαίνουσαν ἔχει τοῦ κόσμου τούτου τὴν φύσιν, οὕτω καὶ ἡ μέλλουσα τῶν ψυχῶν ἡμῶν διαγωγὴ οἰκείαν τῇ καταστάσει ὑποδέξεται τὴν λῆξιν.

## I 1530 / C cap. Π 1, 35

Τοῦ αὐτοῦ·

Εἰ τὰ πρόσκαιρα τοιαῦτα, ποταπὰ τὰ αἰώνια; Καὶ εἰ τὰ ὁρώμενα οὕτω καλά, ποταπὰ τὰ ἀόρατα; Εἰ †ἀνθρώπου† μέγεθος μέτρον ἀνθρωπίνης διανοίας ἐκβαίνει, τῶν ἀϊδίων τὴν φύσιν τίς ἄρα ἀνθρώπων ἐξιχνιάσαι δυνήσεται;

---

**3 – 5 I 1529** BASILIUS CAESARIENSIS, *Homiliae in Hexaemeron*, I, 4 (ed. Mendieta†/Rudberg, p. 8, 9 – 11) **8 – 11 I 1530** BASILIUS CAESARIENSIS, *Homiliae in Hexaemeron*, VI, 1 (ed. Mendieta†/Rudberg, p. 89, 7 – 10)

---

**2 – 5 I 1529** C (242v29 – 243r2); *deest in* H$^{II}$ V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E R **7 – 11 I 1530** C (243r2 – 7); V$^{E}$ cap. Π 3, 18; V$^{W}$ cap. Π 3, 23 – 24; V$^{O}$ cap. Π 3, 18; V$^{Ph}$ cap. Π 3, 18; P cap. Π 27, 8 – 9; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$ E R; PG 96, 232, 43 – 46

---

**I 1529** Τοῦ – Ἑξαημέρου] *om.* C *f. 242v29, sed supplev. f. 243r7 – 8 post* δυνήσεται *(infra*, I 1530 / C cap. Π 1, 35 *[l. 11]), addens signum cruci simile, quod etiam in mg. f. 242v29 invenitur, in quo loco etiam notavit* ςη$^{μ}$ *(intellege* Ἑξαημέρου*)* **I 1530** (a) Τοῦ αὐτοῦ V$^{E}$ (b) *s. a.* V$^{O}$V$^{Ph}$ (c) *s. d.* C (d) *s. d. / s. a.* V$^{W}$ P *(cf. infra, app. crit. txt.)*

---

**3** συμβαίνουσαν] συγγενῆ *ed.* **8** τοιαῦτα] *add.* καλὰ V$^{E}$V$^{O}$V$^{Ph}$ **8 – 9** εἰ – ἀόρατα] *om.* V$^{E}$V$^{O}$V$^{Ph}$ **8** ὁρώμενα] ὁρατὰ *(sic)* V$^{W}$ **9** ἀόρατα] *hic caesura in* V$^{W}$ P †ἀνθρώπου†] *cruces apposuimus, sic* C V P, οὐρανοῦ *ed.* **10** ὑπερβαίνει V$^{W}$ ἄρα C V$^{O}$V$^{Ph}$ P

## I 1531 / C cap. Π 1, 36

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὸν ἐξισωτήν·

*Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος*, [καὶ] μέγά τι τὸν ἐνταῦθα βίον καὶ τὴν τρυφὴν καὶ τὸ μικρὸν δοξάριον καὶ τὴν ταπεινὴν δυναστείαν καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμβάνοντες, ἃ μὴ τῶν ἐχόντων μᾶλλον ἐστὶν ἢ τῶν ἐλπισάντων, ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε εἰς ἄλλους ῥιπιζόμενα, οὔτε ἀπόντα δυσχερῆ τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ τοῖς ἔχουσιν;

## I 1532 / C cap. Π 1, 37

Ἐκ τοῦ αὐτοῦ·

Ἐργασίας ὁ παρὼν καιρός, ὁ δὲ μέλλων ἀνταποδόσεως. *Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν*, ἠκούσατε τοῦ σωτῆρος λέγοντος, οὐ μᾶλλον τοὺς τότε μαθητὰς ἐκ τοῦ τόπου τῆς Ἰουδαίας ἀπάγοντος, ἀλλὰ καὶ τοὺς ὕστερον *ἅπαντας* ἐντεῦθεν ἀπανιστάντος καὶ *πρὸς ἑαυτὸν ὑψούμενον ἕλκοντος*, ὡς ἡ ὑπόσχεσις. Ἀκολουθήσωμεν ἀγαθῷ δεσπότῃ, φύγωμεν τὰς κοσμικὰς ἐπιθυμίας, φύγωμεν τὸν πλάνον κόσμον καὶ κοσμοκράτορα, γενώμεθα καθαροὶ τῷ ποιήσαντι ἡμᾶς, τιμήσωμεν τὴν εἰκόνα, αἰδεσθῶμεν τὴν κλῆσιν, μεταθώμεθα τὴν ζωήν. Τί ποιοῦμεν ἡμᾶς αὐτοὺς ταπεινούς, ὑψηλοὶ γεγονότες; Τί τοῖς ὁρωμένοις ἐναπομένομεν; Πᾶσι μέτροις τῆς ἀρετῆς πάσας τὰς ἐκεῖθεν μονὰς πληρώσωμεν, τοσοῦτον θερίσαντες, ὅσον ἐσπείραμεν, μᾶλλον δὲ τοσοῦτον ἐναποθέμενοι ταῖς θείαις ληνοῖς, ὅσον ἐγεωργήσαμεν.

---

**3 – 4** Ps. 4, $3^{1-2}$ **12 – 13** Ioh. 14, 31 **15 – 16** Ibid. 12, 32

---

**3 – 8 I 1531** Υἱοὶ – ῥιπιζόμενα] GREGORIUS NAZIANZENUS, *Ad Iulianum tributorum exaequatorem (Orat. 19)*, 4 (PG 35, 1048, 20–28) **8 – 9** οὔτε – ἔχουσιν] IBID. (PG 35, 1048, 31–32) **12 – 21 I 1532** Ἐργασίας – ἐναπομένομεν] GREGORIUS NAZIANZENUS, *Ad Iulianum tributorum exaequatorem (Orat. 19)*, 6 (PG 35, 1049, 23–35) **21 – 24** Πᾶσι – ἐγεωργήσαμεν] IBID., 7 (PG 35, 1049, 39–43)

---

**2 – 9 I 1531** C (243r[8–9]9–18); *deest in* $H^{II\,(lac.)}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **11 – 24 I 1532** C (243r[18]19–243v6); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**4** καὶ[2]] *delevimus (ed.), vide etiam* *$II^{2}$580 / T cap. B 5, 38 (SJD VIII/6)

## I 1533 / C cap. Π 1, 38 – 39

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου·

Τίς παραδραμεῖται τὰ παρατρέχοντα; Τίς προσθήσει τοῖς μένουσιν; Τίς περὶ τῶν παρόντων ὡς ἀπιόντων διανοηθήσεται; Τίς περὶ τῶν ἐλπιζομένων, ὡς ἱσταμένων; Τίς διαιρήσει τὰ ἀόρατα καὶ φαινόμενα, καὶ τοῖς μὲν ἕψεται, τῶν δὲ ὑπερόψεται; Τίς γραφὴν καὶ ἀλήθειαν, τίς τὴν κάτω σκηνὴν καὶ τὴν αἰώνιον πόλιν, τίς παροικίαν καὶ κατοικίαν, τίς σκότος ἀπὸ φωτός; Τίς ἰλὺν βυθοῦ καὶ ἁγίαν γῆν, τίς σάρκα καὶ πνεῦμα, τίς θεὸν καὶ κοσμοκράτορα, τίς θανάτου σκιὰν καὶ ζωὴν αἰώνιον; Τίς τοῖς παροῦσιν τὰ μέλλοντα ὠνήσεται, τίς τῷ ῥέοντι πλούτῳ τὸν μὴ λυόμενον, τίς τοῖς ὁρωμένοις τὰ μὴ βλεπόμενα; Μακάριος μὲν οὖν ὅστις ταῦτα διακρίνων καὶ διαιρῶν τῇ τομῇ τοῦ λόγου, τῇ διαιρούσῃ τὰ κρείττονα ἀπὸ τοῦ χείρονος, *ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διατίθεται*, ὥς που φησὶν ὁ θεῖος Δαυΐδ, καὶ *τὴν κοιλάδα* ταύτην *τοῦ κλαυθμῶνος* φεύγων, ὁπόσῃ δυνάμει τὰ ἄνω ἐπιζητεῖ[ν].

## I 1534 / C cap. Π 1, 40

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ βάπτισμα·

Αἰσχυνοίμην ἂν εἰ τοῦ κακοῦ μένοντος ἀκλινοῦς, τὸ καλὸν ῥᾷστα κλίνοιτο· δέον γὰρ εὐμετακινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος.

---

**14 – 15** Ps. 83, $6^2$–$7^1$ **16** τὰ – ἐπιζητεῖ] cf. Col. 3, 1

---

**3 – 16 I 1533** Gregorius Nazianzenus, *De pauperum amore (Orat. 14)*, 21 (PG 35, 884, 28 – 46) **19 – 21 I 1534** Gregorius Nazianzenus, *In S. baptisma (Orat. 40)*, 44, 15 – 18 (ed. Moreschini, p. 302)

---

**2 – 16 I 1533** C (243v[6]7–20 et [20]20–26); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **18 – 21 I 1534** C (243v[26]27–30); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1533** Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φιλοπτωχίας λόγου / Ἐκ τοῦ αὐτοῦ C *(cf. infra, app. crit. txt.)*

---

**5** ἀόρατα] ὄντα *ed.* **7** αἰώνιον] ἄνω *ed.* **12** βλεπόμενα] *hic caesura in* C **16** ἐπιζητεῖ] *correximus*, ἐπιζητεῖν C, ζητεῖ *ed.*

## I 1535 / C cap. Π 1, 41

Τοῦ αὐτοῦ, ἐκ τῶν τετραστίχων Γνωμῶν·

Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Ἢν πραγματεύσῃ, κέρδος· ἀντάλλαγμα γὰρ
Μικρῶν τὰ μείζω, καὶ ῥέοντ᾽ ἀϊδίων.
Ἢν αὖ παρέλθῃ, καιρὸν ἄλλον οὐκ ἔχεις.

## I 1536 / C cap. Π 1, 42

Ἐκ τῶν αὐτῶν·

Λῦπαι προσῆλθον, ἡδονή, θάρση, φόβοι,
Πλοῦτος, πενία, δόξα, δύσκλεια, θρόνος·
Ῥείτωσαν ὡς θέλουσιν. Οὐδὲν ἅπτεται
Τῶν οὐ μενόντων ἀνδρὸς εὐσεβηκότος.

## I 1537 / C cap. Π 1, 43

Ἐκ τῶν αὐτῶν·

Κόσμον πόριζε τῷ παρόντι τὸν μέγαν,
Διαπτύων ἅπαντα τὰ τῇδ᾽ εὐκόλως.

---

**3 – 6 I 1535** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 33–36 (PG 37, 930, 10–13) **9 – 12 I 1536** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 85–88 (PG 37, 934, 8–11) **15 – 16 I 1537** Gregorius Nazianzenus, *Carmina*, II,1,86 *(Admonitio ad seipsum)*, 1–2 (PG 37, 1432, 12–13)

---

**2 – 6 I 1535** C (244r[1]2–5); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **8 – 12 I 1536** C (244r[5]5–8); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **14 – 16 I 1537** C (244r[9]9–10); *deest in* $H^{II\,(lac.)}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**4** Ἢν] *correximus (ed.)*, ἦν C **9** ἡδοναὶ *ed.* θάρση] *scripsimus*, θάρσει C, θάῤῥη *ed.* **12** εὐσεβηκότος] εὖ βεβηκότος *ed.*

## I 1538 / C cap. Π 1, 44

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ γʹ λόγου τῆς ἑρμηνείας τῶν μακαρισμῶν·

Δύο ὄντων βίων καὶ διπλῆς τῆς ζωῆς ἡμῶν, λέγω δὴ τῆς ἐπικήρου ταύτης καὶ τῆς αἰωνίου, ὡσαύτως δὲ καὶ εὐφροσύνης διπλῆς, τῆς μὲν ἐν τῷ βίῳ τούτῳ, τῆς δὲ κατʼ ἐλπίδα ἡμῖν προκειμένης, μακαριστὸν ἂν εἴη τὴν τῆς εὐφροσύνης μοῖραν τοῖς ἀληθινοῖς ἀγαθοῖς εἰς τὸν ἀΐδιον ἀποθέσθαι βίον, τῆς δὲ λοιπῆς ἐκπληρῶσαι τὴν λειτουργίαν ἐν ταύτῃ τῇ προσκαίρῳ ζωῇ, ζημίαν ποιούμενον οὐ τὸ στερηθῆναι τινὸς τῶν κατὰ τὸν βίον τοῦτον ἡδέων, ἀλλὰ τὸ διὰ τῆς ἀπολαύσεως τούτων ἐν ἀποπτώσει τῶν αἰωνίων ἀγαθῶν γενέσθαι.

## I 1539 / C cap. Π 1, 45

Ἐκ τῶν αὐτῶν·

Τὸ περὶ τὰ φαινόμενα τὴν σπουδὴν ἔχειν, ἴδιόν ἐστιν τῶν μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένων ἐλπίδα.

---

**4 – 12 I 1538** GREGORIUS NYSSENUS, *De beatitudinibus*, III (ed. Callahan, p. 109, 1–10) **15 – 16 I 1539** GREGORIUS NYSSENUS, *In illud:* Pater noster *(Matth. 6, 9)* (*De oratione dominica*), I (ed. Boudignon/Cassin, p. 344, 9–11)

---

**2 – 12 I 1538** C (244r[11–12]12–24); R cap. Π 31, 9; *deest in* H$^{II}$ V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E
**14 – 16 I 1539** C (244r[24]24–27); V$^{E}$ cap. Π 3, 19; V$^{W}$ cap. Π 3, 25; V$^{O}$ cap. Π 3, 19; V$^{Ph}$ cap. Π 3, 19; P cap. Π 27, 10; E cap. 183, 15; R cap. Π 31, 10; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 232, 47–49

---

**I 1538** νύσσης C$^{p. c. man. rec.}$ R τῆς ἑρμηνείας] *om.* R **I 1539** (a) C (b) Τοῦ Νύσης, ἐκ τοῦ εἰς τοὺς μακαρισμούς P νυσης *cod.* (c) Τοῦ Νύσης V$^{E}$V$^{O}$V$^{Ph}$ ν$^{υʹ}$ *codd.* (d) Νύσης V$^{W}$ E νύσις V$^{W}$ (e) *s. a.* R

---

**4** δὴ] *om.* C ἐπικαίρου R **6** ἀποκειμένης R **8** λοιπῆς] λύπης *ed.* **9** ποιούμενοι R **15** Τὸ – φαινόμενα] τῶ περιφαινομένω V$^{W}$ τῶν] τὸ C **15 – 16** μηδεμίαν] *add.* σπουδὴν C **16** ὑποτιθεμένων] *add.* ἢ C

## I 1540 / C cap. Π 1, 46

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ λόγου τοῦ εἰς τὸν ἅγιον Ἰουλιανόν·

Εἰ τὰ σωματικὰ δίχα πόνων οὐκ ἐκπορίζεται τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἄρτος καὶ τροφὴ κόπων δέονται καὶ ἱδρώτων, καὶ ἡ ἀνάγκη τῆς φύσεως ἀπελαύνει τὸν ὄκνον, καὶ τῆς χρείας ἡ μάστιξ τὸν πηλὸν συνωθεῖ πρὸς ἀπαραίτητον κάματον, τίς οὐκ ἂν διαιωνίζουσαν ἀκούων ζωήν, πρὸς τοὺς πόνους διεγερθείη; Τίς οὐκ ἂν ἡδέως ἱδρώσειεν ὑπὲρ οὐρανῶν βασιλείας; Τίς οὐκ ἂν ἀσπάσαιτο ταλαιπωρίαν βραβεῖα γεννῶσαν οὐ παρερχόμενα; Τίς οὐκ ἂν ὀδύνης καταφρονήσειεν ὑπὲρ ἡδονῆς ἀπεράντου; Τίς οὐκ ἂν ταῖς τῶν πειρασμῶν ἐπικυβιστήσειεν τρικυμίαις, ἵνα πρὸς τὸ ἀλήστευτον τῶν οὐρανῶν ἐμπορεῖον παραγένηται; Καὶ γὰρ οἱ πόνοι πανταχοῦ τῶν ἀγαθῶν χορηγοί.

Οἱ πόνοι πανταχοῦ τῶν ἀγαθῶν χορηγοί.

---

**4 – 14 I 1540 *Versio* C V P R** Iohannes Chrysostomus, *In S. Iulianum*, locus non repertus; Haidacher 177.16 **15 I 1540 *Versio* E** Iohannes Chrysostomus, *In S. Iulianum*, locus non repertus; Haidacher 177.16

---

**2 – 15 I 1540** C (244r[27–28]28–244v13); $V^{E}$ cap. Π 3, 20; $V^{W}$ cap. Π 3, 26; $V^{O}$ cap. Π 3, 20; $V^{Ph}$ cap. Π 3, 20; P cap. Π 27, 11; E cap. 183, 16; R cap. Π 31, 11; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 232, 50 – 233, 7

---

**I 1540** (a) C (b) Τοῦ Χρυσοστόμου, εἰς τὸν μάρτυρα Ἰουλιανόν R (c) Τοῦ Χρυσοστόμου, εἰς τὸν μακάριον Ἰουλιανόν P ϊουλιανον *cod.* (d) Τοῦ Χρυσοστόμου V (e) *s. a.* E

---

**4** πόνου C ἐμπορίζεται *(*ε- $V^{E}V^{O}$*)* $V^{E}V^{O}V^{Ph}$ **5** καὶ$^{3}$] *om.* P ἡ] *om.* $V^{W}$ P **6** ἀπελαύνοι $V^{Ph}$ μάστιγξ P **8** διεγερθῇ V, διὲγερθῇ P **9** ἡδέως] ἰδέως $V^{E}V^{O}V^{Ph\ a.\ c.\ ut\ videtur}$ ἰδρώσειεν $V^{Ph\ p.\ c.\ ut\ videtur}$, ἰδρώσιεν *(*ϊδρω- P*)* $V^{E}V^{Ph\ a.\ c.\ ut\ videtur}$ P, ἰδρῶσϊεν $V^{O}$, ἱδρώσει C **9 – 10** Τίς – παρερχόμενα] *om.* V P **11** ὑπερφρονήσειεν *(*-εν *e corr.* $V^{W}$*)* $V^{W}V^{O}V^{Ph}$, ὑπὲρ φρονήσειεν $V^{E}$, ϋπερφρονησειεν P **12** ἐπικυβιστήσει ἐν P, ἐπικυβϊστείεν $V^{Ph\ a.\ c.}$, ἐπικυμϊστείεν $V^{Ph\ p.\ c.}$ ἀλίστευτον $V^{E}V^{W\ a.\ c.}$ $V^{O}V^{Ph}$ P **13** ἐμπόριον $V^{E}V^{W\ a.\ c.}$ $V^{O}V^{Ph}$, εμποριον P **14** ἀγαθῶν] ἡδονῶν C R

## I 1541 / C cap. Π 1, 47

Τοῦ αὐτοῦ, ἐκ τῆς εἰς τὸν Λάζαρον α′ ὁμιλίας·

Ψευδεῖς τῶν ἀνοήτων αἱ δόξαι, ψευδεῖς τῶν κακοδόξων αἱ διαλήψεις, πλούτῳ καὶ δόξῃ καὶ δυνάμει τὸ ἐν τῷ βίῳ μακάριον προσνεμόντων, ἀγνοούντων ὅτι καὶ δουλείαν ἐστὶν ἰδεῖν ἐλευθερίας ἁπάσης ὑψηλοτέραν, καὶ ἀσθένειαν ἁπάσης δυνάμεως στερροτέραν, καὶ πτωχείαν καταμαθεῖν πλούτου πολυτελεστέραν παντός.

## I 1542 / C cap. Π 1, 48

Τοῦ ἁγίου Κλήμεντος, ἐκ τῆς πρὸς Κορινθίους β′ ἐπιστολῆς·

Ὁ τῶν παρόντων αἰσθητικὸς συνίησιν ὡς οὔτε ἃ λογίζονταί τινες εἶναι τερπνά, ξένα καὶ μακράν ἐστιν τῶν ἀπεχθῶν, ἀλλὰ καὶ πλοῦτος πολλάκις μᾶλλον πενίας ἔθλιψεν, καὶ ὑγεία πλέον ἠνίασεν νόσου, καὶ καθόλου τῶν λυπηρῶν καὶ φευκτῶν πάντων ὑπόθεσις καὶ ὕλη ἡ τῶν ἀσπαστῶν καὶ κατ᾽ εὐχὴν περιβολὴ γίνεται.

---

**3–7 I 1541** IOHANNES CHRYSOSTOMUS, *In Lazarum homilia I*, locus non repertus; Haidacher 178.17 **10–14 I 1542** PS.-CLEMENS ROMANUS, *Epistula II ad Corinthios*, locus non repertus; Holl, n° 24

---

**2–7 I 1541** C (244v[13]14–19); $V^{E}$ cap. Π 3, 21; $V^{W}$ cap. Π 3, 27; $V^{O}$ cap. Π 3, 21; $V^{Ph}$ cap. Π 3, 21; P cap. Π 27, 12; R cap. Π 31, 12; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 233, 8–14 **9–14 I 1542** C (244v[19–20]21–28); R cap. Π 31, 13; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E; PG 96, 537, 23–29

---

**I 1541** (a) C τῆς] *correximus*, τοῦ *cod.* (b) Τοῦ αὐτοῦ, εἰς τὸν Λάζαρον $V^{E}$ (c) Εἰς τὸν Λάζαρον $V^{O}V^{Ph}$ P λαζαρον P (d) Τοῦ αὐτοῦ $V^{W}$ R **I 1542** τῆς] τῶν R ἐπιστολῆς] *om.* R

---

**3–4** ὑπολήψεις $V^{E}V^{O}V^{Ph}$ **4** δόξῃ] ἐλευθερίᾳ V, ἐλευθέρια P τὸ] τὸν $V^{E}V^{O}V^{Ph}$ **5** καὶ] *om.* C δουλείαν ἔστιν $V^{W}$ ἰδεῖν] εὑρεῖν R **6–7** καὶ – στερροτέραν] *om.* C **7** πτωχείαν] πενίαν C **10** αἰσθητικῶς C λογίζονται τινὲς R **11** μακρὰν ἐστὶ R

## I 1543 / C cap. Π 1, 49

Νείλου ἀσκητοῦ·

Ἀεὶ γὰρ τῇ τῶν κρειττόνων ἀπουσίᾳ τιμᾶται τὰ χείρονα, τὴν ἐκείνων κληρονομοῦντα τάξιν, ἐπιφανέντων δέ, ὑποστέλλει· ὡς εἴγε ἦμεν ἔχοντες ὑψηλοτέραν περὶ τῶν μελλόντων ἔννοιαν, οὐκ ἂν τούτοις προσκεχηνότες διετελοῦμεν.

## I 1544 / C cap. Π 1, 50

Φίλωνος, ἐκ τοῦ περὶ μέθης·

Οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξανίστασθαι ἡ τεθηλυμένη ψυχή, πλούτου καὶ δόξης τυχόν, ἢ ἀρχῆς ἢ τιμῆς, ἀλλ᾽ ἕως μὲν οὐδὲν τούτων πάρεστιν, ὑψηγοροῦμεν, ὡς ὀλιγοδεΐας ἑταῖροι, τὸν αὐταρκέστατον καὶ ἐλευθέροις καὶ εὐγενέσιν ἁρμόττοντα περιποιούσης βίον. Ἐπειδὰν δὲ τῶν εἰρημένων ἐλπὶς αὐτὸ μόνον ἢ ἐλπίδος αὔρα βραχεῖα καταπνεύσῃ, διελεγχόμεθα· ὑπείκοντες γὰρ εὐθὺς ἐνδιδόαμεν, καὶ ἀντιβῆναι καὶ ἀντισχεῖν οὐ δυνάμεθα, προδοθέντες δὲ ὑπὸ τῶν φίλων αἰσθήσεων ὅλην τὴν τῆς ψυχῆς συμμαχίαν ἐκλείπομεν, καὶ οὐκέτι λανθάνοντες, ἀλλ᾽ ἤδη φανερῶς αὐτομολοῦμεν.

---

**3 – 6 I 1543** Nilus Asceta (Ancyranus?), *Liber de monastica exercitatione*, 63 (PG 79, 796, 51 – 797, 2) **9 – 18 I 1544** Philo Iudaeus, *De ebrietate I*, 56–58 (multis mutatis; ed. Wendland, p. 180, 16 – 181, 3)

---

**2 – 6 I 1543** C (244v[28]28–245r3); R cap. Π 31, 14; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E
**8 – 18 I 1544** C (245r[3–4]4–17); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**5** ἦμεν] εἴμεν C **6** διετελῶμεν R **11** ἑταῖροι] *correximus (ed.)*, ἕτε ροι *(sic)* C **13** αὐτὸ μόνον] *correximus (ed.)*, αὐτῶ μόνον C, *post* ἐλπίδος *(l. 14) hab. ed.* **14** διελεγχόμεθα] *correximus (ed.)*, διελεγχώμεθα C **15** ἐνδιδόαμεν] *sic* C, ἐνδίδομεν *ed.*

## I 1545 / C cap. Π 1, 51

Τοῦ αὐτοῦ, ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Φθαρτὸν καλῶ τὸν μὴ ἐφιέμενον ἀφθαρσίας, ἀλλ' ὀστρέου τρόπον ἐνειλούμενον ὀστρακοδέρμῳ, ὅπέρ ἐστιν ὁ σωματικὸς ὄγκος καὶ ὁ τῶν θνητῶν βίος.

## I 1546 / C cap. Π 1, 52

Τοῦ ἁγίου Ἐφραίμ, ἐκ τοῦ εἰς τὸν Κάϊν·

Ὁ παράδεισος δι' αἰσθητῶν συνεστὼς αἰωνίαν ἔχει τὴν ἀπόλαυσιν. Οὐκ ἐν παραβολῇ εἴρηται περὶ τοῦ παραδείσου, οὐκ ἐν σχήματι ἐφυτεύθη, τῷ πράγματι ἀνύπαρκτος ὤν. Παῦλος αὐτὸν μετὰ πεντακισχίλια ἔτη ἐθεάσατο. Ἐκεῖ ἀπεδήμησεν καὶ ἤκουσεν τὰ τῆς ἐκκλησίας μυστήρια· ἀνέβη καὶ εἰς τὸν τρίτον οὐρανόν, καὶ ἤκουσεν τὰ τοῦ μέλλοντος ἀΐδια δόγματα. Οὐρανὸν καὶ γῆν τὴν αὐτὴν χάριν ὁ θεὸς ἐνέδυσεν, τὸν παράδεισον ἐν ἀϊδίοις ἐπαγγελίαις συστησάμενος. Σοὶ τῷ ἀπίστῳ τὸ αἰσθητὸν πρόσκαιρον, ἐμοὶ τῷ πιστῷ καὶ τὸ πρόσκαιρον αἰώνιον. Οὐ νοεῖς τὴν δύναμιν τοῦ θεοῦ, ἐπειδὴ οὐ πιστεύεις τῇ χάριτι. Οὐ χωρεῖς τὴν κατάληψιν, ὅτι οὐ γινώσκεις βουλὴν θεότητος. Αἰσθητὸς ὁ παράδεισος, ἀλλ' οὐ πρόσκαιρος, καὶ ἡ ἐν αὐτῷ ἐπαγγελία ἐν ξύλοις, ἀλλ' οὐ προσκαίροις.

---

**8 – 18** Ὁ – θεότητος] exstat etiam apud Georg. Mon., *Chronicon* (ed. De Boor/Wirth, p. 714, 13 – 715, 1) **12 – 13** ἀνέβη – δόγματα] cf. II Cor. 12, 2–4 **18 – 19** Αἰσθητὸς – προσκαίροις] exstat etiam ap. Georg. Mon., *Chronicon* (ed. De Boor/Wirth, p. 715, 4–6)

---

**3 – 5 I 1545** PHILO IUDAEUS, *Quaestiones in Exodum*, locus non repertus (ed. Petit, p. 294–295.15); Royse 178.114 **8 – 19 I 1546** EPHRAEM, *In Cain*, locus non repertus

---

**2 – 5 I 1545** C (245r[17–18]18–21); R cap. Π 31, 15; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E
**7 – 19 I 1546** C (245r[22]22–245v8); R cap. Π 31, 16; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E

---

**I 1545** (a) C (b) Φίλωνος R **I 1546** (a) C *(cf. Georg. Mon.* [ὁ μέγας Ἐφραῒμ ἐν τοῖς κατὰ Καϊανῶν]*)* (b) Τοῦ ὁσίου Ἐφραίμ R

---

**4** ἐνηλούμενον R ὅπερ ἐστὶν R **13** ἀΐδια δόγματα] ἀεὶ διδάγματα R

**Τίτλος β′ Περὶ προνοίας θεοῦ, καὶ ὅτι κήδεται τῆς σωτηρίας ἡμῶν ὁ θεός.**

**δ′ Περὶ προνοίας θεοῦ, καὶ ὅτι κήδεται καὶ προνοεῖται ἡμῶν ὁ θεός.**

**κη′ Περὶ προνοίας, ὅτι κήδεται καὶ προνοεῖται ἡμῶν ὁ θεός.**

## I 1547 / C cap. Π 2, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Εἶπεν κύριος πρός με· Τίς δώσει εἶναι οὕτως τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με καὶ φυλάσσειν τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν μετ᾽ αὐτοὺς δι᾽ αἰῶνος.

## I 1548 / C cap. Π 2, 2

Δαυῒδ ἐν ψαλμῷ γ′·

Τοῦ κυρίου ἡ σωτηρία.

---

**1** Περὶ προνοίας] cf. *II$^{2}$475 / T cap. A 35, 4 (SJD VIII/6)

---

**8 – 11 I 1547** Deut. 5, 28–29 (Wahl, *Deuteronomium-Text*, p. 119) **14 I 1548** Ps. 3, 9$^{1}$

---

**1 – 2 Titlos (a)** C (245v9–10) A$^{\text{II pin}}$; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$ **3 – 4 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$; PG 96, 233, 15–16 **5 Titlos (c)** PM$^{\text{pin}}$ L$^{\text{b pin}}$ E$^{\text{txt}}$ R; *deest in* M$^{\text{txt (lac.)}}$ L$^{\text{b txt}}$ E$^{\text{pin (lac.)}}$ **7 – 11 I 1547** C (245v[10–11]11–15); *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ PM$^{\text{(lac.)}}$ L$^{\text{b}}$ E R **13 – 14 I 1548** C (245v[16]16); *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ PM$^{\text{(lac.)}}$ L$^{\text{b}}$ E R

---

**1 – 2 Titlos (a) 1** Τίτλος] *om.* A$^{\text{II pin}}$ β′] *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(β′ secund. ser.)* τῆς σωτηρίας] καὶ προνοεῖται C$^{\text{pin}}$ **3 – 4 Titlos (b) 3** δ′] *om.* V$^{\text{Ph txt}}$, *propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(δ′ secund. ser.)* κήδεται καὶ] *om.* V$^{\text{E txt}}$ V$^{\text{O txt}}$ V$^{\text{Ph txt}}$ A$^{\text{I pin}}$ προνοεῖ V$^{\text{E txt}}$ V$^{\text{O txt}}$ V$^{\text{Ph txt}}$ A$^{\text{I pin}}$ **5 Titlos (c)** κη′] λβ′ R$^{\text{pin}}$, τίτλος λβ′ R$^{\text{txt}}$, ρπδ′ E$^{\text{txt}}$ προνοίας] *add.* θεοῦ M$^{\text{pin}}$ ὅτι – θεός] *om.* M$^{\text{pin}}$

---

**10** ᾖ] *correximus (LXX)*, ἢ C

## I 1549 / C cap. Π 2, 3

Ἐν ψαλμῷ ξζʹ·

Ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν.

## I 1550 / C cap. Π 2, 4

Ἐν ψαλμῷ ρμδʹ·

Ὑποστηρίζει κύριος πάντας τοὺς καταπίπτοντας
καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

## I 1551 / C cap. Π 2, 5

Ἐν ψαλμῷ ρμεʹ·

…ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις,
διδόντα τροφὴν τοῖς πεινῶσιν.
Κύριος λύει πεπεδημένους,
κύριος σοφοῖ τυφλούς,
κύριος ἀνορθοῖ κατερραγμένους,
κύριος ἀγαπᾷ δικαίους,
κύριος φυλάσσει τοὺς προσηλύτους,
ὀρφανὸν καὶ χήραν ἀναλήψεται,
καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

---

**3 I 1549** Ps. 67, 21$^{1}$ **6 – 7 I 1550** Ps. 144, 14$^{1-2}$ **10 – 18 I 1551** Ps. 145, 7$^{1}$–9$^{3}$

---

**2 – 3 I 1549** C (245v[16–17]17); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **5 – 7 I 1550** C (245v[17–18]18–20); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **9 – 18 I 1551** C (245v[20]20–26); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**10** κρῖμα] *sic acc.* C

## I 1552 / C cap. Π 2, 6

Ἡσαΐου προφήτου·

Εἶπεν Σιών· Ἐγκατέλιπέν με κύριος, καὶ ὁ θεὸς ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδὸς αὐτῆς ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει κύριος.

## I 1553 / C cap. Π 2, 7

Καὶ μετ᾽ ὀλίγα·

Παρακαλέσω πάντα τὰ ἔρημα Σιών, καὶ θήσω αὐτὰ ὡς τὸν παράδεισον τῆς τρυφῆς, καὶ τὰ πρὸς δυσμαῖς αὐτῆς ὡς τὸν παράδεισον κυρίου.

## I 1554 / C cap. Π 2, 8

Τοῦ αὐτοῦ·

Τάδε λέγει κύριος ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ ζωὴν διδοὺς τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ ζωῶσαι καρδίας τεθλασμένας…

**3 – 6 I 1552** Is. 49, 14–15 (Wahl, *Prophetenzitate*, p. 421) **9 – 11 I 1553** Is. 51, 3 (cum app. crit.; Wahl, *Prophetenzitate*, p. 425) **14 – 16 I 1554** Is. 57, 15 (Wahl, *Prophetenzitate*, p. 446–447)

**2 – 6 I 1552** C (245v[26]27–246r1); $V^{E}$ cap. Π 4, 1; $V^{W}$ cap. Π 4, 1; $V^{O}$ cap. Π 4, 1; $V^{Ph}$ cap. Π 4, 1; P cap. Π 28, 1; E cap. 184, 1; R cap. Π 32, 1; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 233, 17–21 **8 – 11 I 1553** C (246r[1]1–4); $V^{E}$ cap. Π 4, 2; $V^{W}$ cap. Π 4, 2; $V^{O}$ cap. Π 4, 2; $V^{Ph}$ cap. Π 4, 2; P cap. Π 28, 2; R cap. Π 32, 2; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 233, 22–23 **13 – 16 I 1554** C (246r[4]4–8); $V^{W}$ cap. Π 4, 3; P cap. Π 28, 3; R cap. Π 32, 3; *deest in* $H^{II}$ $V^{E}V^{O}V^{Ph}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E

**I 1552** ἠσαιου $V^{W}$ P προφήτου] *om.* V P E R **I 1553** (a) C R (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P

**3** σιῶν $V^{W\,a.\,c.}$ P, σΐων $V^{O}$ ἐγκατέλειπέν με C $V^{E}V^{O}V^{Ph}$ P **4** ἐπιλήσηται *(*-λη- P*)* $V^{W}$ P, ἐπιλίσεται $V^{E}V^{O}$ παιδίου $V^{W\,p.\,c.}$ P E R ἔκγονα $V^{E}V^{W}V^{O}$ E, ἔγκονα $V^{Ph}$ **5** ἐπελάθετο R **6** ἐπιλήσομαί σου] ἐπιλήσομαι *(*ε- P*)* $V^{W}$ P **9** σιῶν $V^{W\,a.\,c.}$ P καὶ θήσω] καθήσω $R^{a.\,c.\,ut\,videtur}$, καθΐσω $R^{p.\,c.}$ **10 – 11** καὶ – κυρίου] *om.* V P R

## I 1555 / C cap. Π 2, 9

Ἱερεμίου προφήτου·

Ἐγώ εἰμι κύριος ποιῶν ἔλεος καὶ κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει κύριος.

## I 1556 / C cap. Π 2, 10

Ἰεζεκιὴλ προφήτου·

Τάδε λέγει κύριος· Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ πλανώμενον ἐπιστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος.

## I 1557 / C cap. Π 2, 11

Σοφίας Σολομῶντος·

Ἀγαπᾷς τὰ ὄντα πάντα,
καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας·
οὐδὲ γὰρ ἂν μισῶν τί κατεσκεύασας.
Πῶς δὲ διέμενεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας,
ἢ μὴ κληθὲν ὑπὸ σοῦ, πῶς διεφυλάχθη;

---

**3 – 4 I 1555** Ier. 9, 24 (Wahl, *Prophetenzitate*, p. 519) **7 – 9 I 1556** Ez. 34, 15–16 (Wahl, *Prophetenzitate*, p. 663) **12 – 949, 2 I 1557** Sap. 11, $24^1$ – 12, 1

---

**2 – 4 I 1555** C (246r[8]9–10); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^b$ E R **6 – 9 I 1556** C (246r[11]11–14); $V^E$ cap. Π 4, 3; $V^W$ cap. Π 4, 4; $V^O$ cap. Π 4, 3; $V^{Ph}$ cap. Π 4, 3; P cap. Π 28, 4; E cap. 184, 2; R cap. Π 32, 4; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^b$; PG 96, 233, 24–28 **11 – 949, 2 I 1557** C (246r[15]15–20); $V^E$ cap. Π 4, 4; $V^W$ cap. Π 4, 5; $V^O$ cap. Π 4, 4; $V^{Ph}$ cap. Π 4, 4; P cap. Π 28, 5; R cap. Π 32, 5; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^b$ E; PG 96, 233, 29–34

---

**I 1556** ἱεζεκιήλ $V^W$, ϊεζεκιηλ P προφήτου] *om.* V P E R **I 1557** (a) C R (b) Σολομῶντος V P σολομ $V^EV^W$, σολο $V^OV^{Ph}$, σολομωντος P

---

**3** κρῖμα] *sic acc.* C **7** ἐκζητήσω $V^W$ **9** αὐτὰ] αὐτῶ $V^EV^OV^{Ph}$ **12** Ἀγαπᾷς] *add.* κύριε C **13** βδελύσῃ $V^{W\ a.\ c.}$ R, βδελύσσει $V^EV^OV^{Ph}$ **15** διέμενεν – τι] *sic* $V^EV^OV^{Ph}$ *(cf. supra*, I 765 / C cap. Δ 2, 14 [SJD VIII/1]*)* διεμεέναντι P, διέμενέν τι C, διέμεινεν ἄν τι $V^W$ R **16** ἢ] εἰ $V^W$ P κληθὲν] θεληθὲν R

Φείδῃ δὲ πάντων, ὅτι σά ἐστιν, δέσποτα φιλόψυχε·
τὸ γὰρ ἅγιόν σου πνεῦμα ἐστὶν ἐν πᾶσι.

## I 1558 / C cap. Π 2, 12

Τῆς αὐτῆς·

Μικρὸν καὶ μέγαν ὁ θεὸς ἐποίησεν,
ὁμοίως δὲ προνοεῖται περὶ πάντων,
καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

## <I suppl. 432 / V cap. Π 4, 6>

## I 1559 / C cap. Π 2, 13

Τοῦ ἁγίου Κλήμεντος Ῥώμης·

Ἀγαθῇ θεοῦ προνοίᾳ ὁ προειληφὼς διοικεῖσθαι τὸν κόσμον οὐκ ἄχθεται ἐπὶ τοῖς ὁπώσποτε ἀπαντῶσι πράγμασιν, ἀποδεδωκὼς ὅτι ὑπὸ τῆς τοῦ κρείττονος οἰκονομίας συμφερόντως τὰ πράγματα τὴν ἔκβασιν λαμβάνει. Ὅθεν δίκαιον αὐτὸν εἶναι γνοὺς καὶ εὐσυνειδήτως βιούς, τὸ προσπίπτον λυπηρὸν οἶδεν ὀρθῷ λόγῳ ἀπο-

---

**8 I suppl. 432** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**5 – 6 I 1558** Μικρὸν – πάντων] Sap. 6, $7^{3-4}$ **7** καὶ – χρηστῶς] Ibid. 8, $1^{2}$
**11 – 950, 2 I 1559** Ps.-Clemens Romanus, *Homilia* β 36,2–3 (ed. Rehm†/Strecker, p. 50, 15–21); Holl, n° 5

---

**4 – 7 I 1558** C (246r[21]21–23); $V^{E}$ cap. Π 4, 5; $V^{W}$ cap. Π 4, 6; $V^{O}$ cap. Π 4, 5; $V^{Ph}$ cap. Π 4, 5; P cap. Π 28, 6; E cap. 184, 3; R cap. Π 32, 6; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 233, 35–36 **10 – 950, 2 I 1559** C (246r[23]24–246v2); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1558** (a) C P R (b) Τοῦ αὐτοῦ $V^{E}$ (c) Σολομῶντος $V^{W}$ E σολ $V^{W}$ (d) *s. a.* $V^{O}V^{Ph}$

---

**1** δὲ] τὲ C ὅτι – ἐστιν] ὅσα ἐστὶν $V^{E}V^{O}V^{Ph}$ **2** ἔστιν $V^{E}V^{O}V^{Ph}$ ἐν πᾶσι] ἐμπᾶσι $V^{W}$ **6** προνοεῖ E περὶ πάντων] τῶν πάντων C, πάντων R **7** καὶ – χρηστῶς] *om.* V P E τὰ πάντα] *om.* R **15** προσπίπτον] *sic acc.* $C^{p.c.}$, προσπῖπτον $C^{a.c.}$ λόγῳ] τῷ λογισμῷ *ed.*

σείεσθαι τῆς ψυχῆς, ὅτι πρὸς ἀγαθοῦ τινὸς ἀγνώστου συντελούμενον ἐλθεῖν ἔχει.

## I 1560 / C cap. Π 2, 14

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τῶν ἐρωτικῶν ὕμνων Ἱεροθέου·

Οὐδὲν τῶν ὄντων καθόλου ἐστέρηται τοῦ ἀγαθοῦ, ἀλλ᾽ ἐν πᾶσι τοῖς οὖσιν ἡ θεία πρόνοια, καὶ οὐδὲν τῶν ὄντων ἀπρονόητον. Ἀλλὰ καὶ τοῖς γινομένοις κακοῖς ἀγαθοπρεπῶς ἡ πρόνοια κέχρηται πρὸς τὴν αὐτῶν ἢ ἄλλων ἢ ἰδικὴν ἢ <κοινὴν> ὠφέλειαν, καὶ οἰκείως ἑκάστου τῶν ὄντων προνοεῖ. Διὸ καὶ τὸν εἰκαῖον τῶν πολλῶν οὐκ ἀποδεξόμεθα λόγον, οἵ χρῆναι φασὶ τὴν πρόνοιαν καὶ ἄκοντας ἡμᾶς ἐπὶ τὴν ἀρετὴν ἄγειν· τὸ γὰρ φθεῖραι φύσιν οὐκ ἔστι προνοίας. Ὅθεν ὡς πρόνοια τῆς ἑκάστου φύσεως σωστική, τῶν αὐτοκινήτων ὡς αὐτοκινήτων προνοεῖ καὶ τῶν ὅλων καὶ τῶν καθέκαστον οἰκείως ὅλῳ καὶ ἑκάστῳ, καθόσον ἡ τῶν προνοουμένων φύσις ἐπιδέχεται τὰς τῆς ὅλης καὶ παντοδαποῦς προνοίας ἐκδιδομένας ἀναλόγως ἑκάστῳ προνοητικὰς ἀγαθότητας.

## I 1561 / C cap. Π 2, 15

Τοῦ αὐτοῦ·

Μία ἐστὶν ἡ πάντων ἀρχὴ καὶ πρόνοια, καὶ οὐδαμῶς οἰητέον Ἰου-

---

**4 – 5** ἐκ – Ἱεροθέου] cf. Ps.-Dion. Areop., *De divinis nominibus*, IV. 14 (ed. Suchla, p. 160, 16)

---

**6 – 17 I 1560** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, IV. 33 (ed. Suchla, p. 178, 6–17) **20 – 951, 10 I 1561** Μία – ἐπιστραφέντος] Ps.-Dionysius Areopagita, *De coelesti hierarchia*, IX. 4 (ed. Heil†, p. 39, 5–15)

---

**4 – 17 I 1560** C (246v[2–3]4–19); R cap. Π 32, 7; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E
**19 – 951, 15 I 1561** C (246v[19]19–247r10); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1560** τοῦ – Ἱεροθέου] *om.* R

---

**6** τἀγαθοῦ C **9** ἢ[2]] ἢ R ἢ[3]] *om.* R κοινὴν] *supplevimus (ed.)*, *om.* C R **10 – 17** Διὸ – ἀγαθότητας] *om.* R **16** παντοδαποῦς] *scripsimus*, παντοδαποὺς C, παντοδαπῆς *ed.*

δαίων μὲν ἀποκληρωτικῶς ἡγεῖσθαι τὴν θεαρχίαν, ἀγγέλους δὲ ἰδίως ἢ ὁμοτίμως ἢ ἀντιθέτως ἢ θεούς τινας ἑτέρους ἐπιστατεῖν τοῖς ἄλλοις ἔθνεσιν, ἀλλὰ καὶ τὸ λόγιον ἐκεῖνο κατὰ τήνδε τὴν ἱερὰν ἔννοιαν ἐκληπτέον, οὐχ’ ὡς μερισαμένου τοῦ θεοῦ μεθ’ ἑτέρων θεῶν ἢ ἀγγέλων τὴν καθ’ ἡμᾶς ἡγεμονίαν, καὶ τῷ Ἰσραὴλ εἰς ἐθνάρχην καὶ ἐθναγὸν ἀποκληρωθέντος, ἀλλ’ ὡς αὐτῆς μὲν τῆς μιᾶς ἁπάντων ὑψίστου προνοίας πάντας ἀνθρώπους σωστικῶς ταῖς τῶν οἰκείων ἀγγέλων ἀνατατικαῖς χειραγωγίαις διανειμάσης, μόνου δὲ σχεδὸν παρὰ πάντας τοῦ Ἰσραὴλ ἐπὶ τὴν τοῦ ὄντως κυρίου φωτοδοσίαν καὶ ἐπίγνωσιν πρώτως ἐπιστραφέντος. Τὸ δὲ καὶ αὐτὸν ἐν ἴσῳ τοῖς λοιποῖς ἔθνεσιν ἀπονεμηθῆναι τινὶ τῶν ἁγίων ἀγγέλων εἰς τὸ δι’ αὐτοῦ τὴν μίαν ἁπάντων ἀρχὴν ἐπιγνῶναι, τὸν Μιχαὴλ ἔφη τοῦ Ἰουδαίων ἡγεῖσθαι λαοῦ, σαφῶς ἡμᾶς ἐκδιδάσκων τὸ μίαν εἶναι τῶν ὅλων πρόνοιαν, ἁπασῶν τῶν ὁρατῶν καὶ ἀοράτων δυνάμεων ὑπερουσίως ὑπεριδρυμένην.

## I 1562 / C cap. Π 2, 16

Τοῦ ἁγίου Βασιλείου, ἐκ τῆς η′ ἐπιστολῆς·

Πᾶν ὅπερ <ἂν> εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθὸν φθάσῃ, τῆς πάντα ἐνεργούσης χάριτος πρόνοιαν εἶναι φαμέν.

---

**3** τὸ – ἐκεῖνο] cf. Dan. 10, 13 **13** τὸν – λαοῦ] cf. ibid. 10, 13 et 12, 1 **18 – 19** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.6./48.6. (ed. Ihm, p. 741)

---

**10 – 15** Τὸ – ὑπεριδρυμένην] Ibid., IX. 4 (p. 39, 17–22) **18 – 19** **I 1562** Basilius Caesariensis, *Epistulae* (η′), XXXVIII, 4, 2–4 (ed. Courtonne, I, p. 84)

---

**17 – 19** **I 1562** C (247r[10–11]11–13); $V^{E}$ cap. Π 4, 7; $V^{W}$ cap. Π 4, 8; $V^{O}$ cap. Π 4, 7; $V^{Ph}$ cap. Π 4, 7; P cap. Π 28, 8; E cap. 184, 4; R cap. Π 32, 8; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 233, 46–48

---

**I 1562** (a) C P R Τοῦ ἁγίου] *om.* P (b) Βασιλείου V E

---

**9** ὄντως] *correximus (ed.)*, ὄντος C **14** ἁπασῶν] *correximus (ed.)*, ἀνὰ πασῶν C **18** ὅπερ] ὃ R ἂν] *supplevimus (ed.)*, *om.* C V P E R εἰς ἡμᾶς] εἰ μᾶς $V^{E}$ ἐκ – δυνάμεως] *post* φθάσῃ *transpos.* $V^{E}V^{O}V^{Ph}$ ἀγαθὸν] *om.* C φθάσει $V^{E}V^{O}V^{Ph}$ E R **19** χάριτος] *praem.* θείας C πρόνοιαν] ἐνέργειαν V P E *(ed.)*

## I 1563 / C cap. Π 2, 17

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν Ἑξαήμερον ζʹ λόγου·

Οὐδὲν ἀπρονόητον, οὐδὲ ἠμελημένον παρὰ τῷ θεῷ. Πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός· πᾶσιν πάρεστιν, ἐκπορίζων ἑκάστῳ τὴν σωτηρίαν.

## I 1564 / C cap. Π 2, 18

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τοῦ δʹ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Ἴδιον καὶ πρεπῶδες ὡς ἀληθῶς τῷ θεῷ τὸ ἱλάσκεσθαι, τὸ ἐλεεῖν, τὸ τὰ ἔργα σώζειν τὰ ἑαυτοῦ, κἂν εἰς κίνδυνον διαφθορᾶς ὑφ' ἑαυτῶν καταφέρηται. *Παρ' αὐτῷ* γὰρ φησὶν *ὁ ἱλασμός ἐστιν.*

---

**4** ὁ – ὀφθαλμός] cf. Prov. 15, $3^{1-2}$ **11** Ps. 129, 4

---

**3 – 5 I 1563** Basilius Caesariensis, *Homiliae in Hexaemeron*, VII, 5 (ed. Mendieta†/Rudberg, p. 122, 1–3) **9 – 11 I 1564** Irenaeus Lugdunensis, *Adversus haereses*, IV, locus non repertus (Fragmenta varia graeca, X [ed. Harvey, p. 480]); Holl, n° 175

---

**2 – 5 I 1563** C (247r[13–14]14–17); R cap. Π 32, 9; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E
**7 – 11 I 1564** C (247r[17–18]19–22); $V^{E}$ cap. Π 4, 8; $V^{W}$ cap. Π 4, 9; $V^{O}$ cap. Π 4, 8; $V^{Ph}$ cap. Π 4, 8; P cap. Π 28, 9; E cap. 184, 5; R cap. Π 32, 10; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 233, 49–52

---

**I 1563** (a) C (b) Ἐκ τοῦ ζʹ λόγου τῆς Ἑξαημέρου R **I 1564** (a) C R ἐκ – γνώσεως] *om.* R (b) Εἰρηναίου V P E ειρηναίου P E

---

**9** ἐλεᾶν *(-αν P)* $V^{W}$ P **10** τὰ²] *om.* V P E ἑαυτοῦ] *hic perperam locum diviserunt* $V^{E}V^{O}V^{Ph}$ κἂν] κὰν E, και P διαφθορᾶς] *post* ἑαυτῶν *(l. 11) transpos.* $V^{W}$ P **10 – 11** ὑφ' ἑαυτῶν] ὑφ' ἑαυτὸν $V^{W}$, υφεαυτον P, *om.* $V^{E}V^{O}V^{Ph}$ **11** καταφέρεται $V^{W}$, κατὰ φέρεται P, καταφέρωνται E R γάρ φησιν $V^{E}V^{W\,p.\,c.}$ $V^{O}$ R, γαρ φησιν P ἱλασμὸς ἐστίν $V^{W\,a.\,c.}$ $V^{Ph}$ R, ἵλασμος ἐστιν P

## I 1565 / C cap. Π 2, 19

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τοῦ κατηχητικοῦ·

Ἀφ’ ὧν εὖ πάσχομεν, ἀπὸ τούτων τὸν εὐεργέτην γιγνώσκομεν· πρὸς γὰρ τὰ γινόμενα ἐκ τῆς προνοίας αὐτοῦ βλέποντες, διὰ τούτων τὴν τοῦ ἐνεργοῦντος ἀναλογιζόμεθα φύσιν.

## I 1566 / C cap. Π 2, 20

Εὐσεβίου·

Πάντα μὲν ἀθρόως ἐκ θεοῦ προνοίας εἶναί τε καὶ διοικεῖσθαι οἱ τῆς ἀληθοῦς εὐσεβείας θεσμοὶ διαγορεύουσιν. Ἤδη δὲ κατ’ εἶδος ἰδίως ἕκαστα τῶν γινομένων, τὰ μὲν ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ὁρμῇ καὶ φαντασίᾳ, τὰ δὲ λογισμῷ καὶ οἰκείᾳ κρίσει τε καὶ προαιρέσει κινούμενα, καὶ ἄλλα μὲν κατὰ προηγούμενον λόγον γινόμενα, ἕτερα δὲ κατ’ ἐπισυμβεβηκότα τοῖς προηγουμένοις †γεγόνασι†, ποικίλην καὶ πολύτροπον τὴν τοῦ παντὸς συνεστήσαντο διακόσμησιν, ἑκάστῳ γένει τῶν ὄντων ἰδίαν καὶ ἀφωρισμένην τινὰ φύσεως κατασκευὴν τοῦ τῶν ὅλων αἰτίου διανείμαντος.

---

**3 – 5 I 1565** GREGORIUS NYSSENUS, *Oratio catechetica magna* (ed. Mühlenberg, p. 43, 13–15) **8 – 16 I 1566** EUSEBIUS CAESARIENSIS, *Praeparatio evangelica*, VI 6, 24 (ed. Mras, I, p. 303, 15–22); Holl, n° 463

---

**2 – 5 I 1565** C (247r[23]23–27); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **7 – 16 I 1566** C (247r[27–28]28–247v9); $V^{E}$ cap. Π 4, 9; $V^{W}$ cap. Π 4, 10; $V^{O}$ cap. Π 4, 9; $V^{Ph}$ cap. Π 4, 9; P cap. Π 28, 10; R cap. Π 32, 11; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 233, 53 – 236, 8

---

**I 1565** Τοῦ – κατηχητικοῦ] *cf. infra*, I 1566 / C cap. Π 2, 20 *(lemma c)* **I 1566** (a) V P *(quoad* P, *cf. etiam infra*, I 1567 / C cap. Π 2, 21 *[lemma b])* (b) Ἀττικοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως C (c) Γρηγορίου Νύσσης, ἐκ τοῦ κατηχητικοῦ R *(cf. supra*, I 1565 / C cap. Π 2, 19*)*

---

**3 – 5** Ἀφ’ – φύσιν] *om.* R **4** ἐκ – προνοίας] *desunt in ed.* **8** ἀθρώως $V^{E}V^{O}V^{Ph}$ **9** θεσμοὶ] σοφοὶ $V^{E}V^{O}V^{Ph}$, *om.* P Ἤδη δὲ] εἰ δὲ δὴ $V^{E}V^{O}V^{Ph}$, εἰ δὲ δεῖ $V^{W}$, εἰ δε δει P **10** ἰδίως ἕκαστα] ἕκαστα ἰδίως *(*ϊδιως P*)* $V^{E}V^{O}V^{Ph}$ P, ἕκαστα ἰδικῶς $V^{W}$ γενομένων C $V^{W}$ **11** κρίσει τὲ R **12** καὶ – γινόμενα] *om.* $V^{E}V^{O}V^{Ph}$ **13** κατ’ – προηγουμένοις] *om.* V P κατὰ R †γεγόνασι†] *cruces apposuimus*, *sic* C V P R, γεγονόσι *ed.* **14** τὴν – παντὸς] *om.* $V^{W}$ *(suppl. man. rec. in mg.)* **15** ἀφορισμένην *(*-με- P*)* C $V^{W}$ P R

## I 1567 / C cap. Π 2, 21

Τοῦ αὐτοῦ·

Ὅπερ ἐν ταῖς συγγενείαις πρὸς τέκνα γονεῖς, τοῦτο βασιλεὺς μὲν πρὸς πόλιν, πρὸς δὲ κόσμον ὁ θεός.

## <I suppl. 433 / V cap. Π 4, 12>

## I 1568 / C cap. Π 2, 22

Θεοτίμου, ἐκ τοῦ εἰς τὴν Γένεσιν·

Ἀγαθότητι συστήσας τὰ πάντα ὁ θεός, προνοεῖται τῶν ὅλων, οὐκ εἰς τὸ κατ’ ἀξίαν τῶν προνοουμένων ἀφορῶν, ἀλλ’ εἰς τὸ ἑαυτοῦ ἐλεητικὸν καὶ τῶν ἀγαθῶν παρεκτικόν.

---

**5 I suppl. 433** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1567** Eusebius Caesariensis, *Praeparatio evangelica*, VIII 14, 3 (ed. Mras, I, p. 463, 12–13); Holl, n° 467 **8 – 10 I 1568** Theotimus <Scythiae>, *In Genesim*, locus non repertus

---

**2 – 4 I 1567** C (247v[9]9–11); $V^{E}$ cap. Π 4, 10; $V^{W}$ cap. Π 4, 11; $V^{O}$ cap. Π 4, 10; $V^{Ph}$ cap. Π 4, 10; P cap. Π 28, 11; R cap. Π 32, 12; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 236, 9–11 **7 – 10 I 1568** C (247v[11–12]12–15); $V^{E}$ cap. Π 4, 13; $V^{W}$ cap. Π 4, 13; $V^{O}$ cap. Π 4, 13; $V^{Ph}$ cap. Π 4, 13; P cap. Π 28, 13; E cap. 184, 7; R cap. Π 32, 14; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 236, 26–29

---

**I 1567** (a) C R (b) Ἐκ τῆς προπαρασκευῆς P *(cf. supra*, I 1566 / C cap. Π 2, 20 *[lemma a])* (c) Διδύμου $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1568** (a) C R τοῦ] τῶν R (b) *s. a.* V P E

---

**8** Ἀγαθότητι] *praem.* ἀγαθὰ $V^{W}$ προνοεῖ $V^{E}V^{O}V^{Ph}$ **9** τὸ[1]] τῶν $V^{Ph}$ ἀλλ’] ἀλλὰ $V^{W}$ ἑαυτοῦ] αὐτοῦ $V^{E}V^{O}V^{Ph}$ R

## I 1569 / C cap. Π 2, 23

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς Εὐτρόπιον·

Οὐκ οἶδας σὺ τὰ συμφέροντα, ἄνθρωπε· πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά. Ἀλλ’ ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει, ἀλλὰ πρὸ τῆς αἰτήσεως τὸ συμφέρον σοι πανταχοῦ ἐπισκοπεῖ. Εἰ γὰρ οἱ πατέρες οἱ σαρκικοὶ οὐ πάντα αἰτοῦσιν τοῖς παισὶν διδόασιν, οὐκ ἐπειδὴ καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ’ ἐπειδὴ αὐτῶν μᾶλλον κήδονται, πολλῷ μᾶλλον ὁ θεός, ὁ καὶ μᾶλλον φιλῶν καὶ πλέον ἁπάντων εἰδὼς τὸ συμφέρον ἡμῖν, τοῦτο ποιεῖ.

## I 1570 / C cap. Π 2, 24

Νείλου ἀσκητοῦ·

Οὐκ ἐπιλείψει ποτὲ πρὸς σωτηρίαν ἐπίνοια *τῇ πηγῇ* τῆς *ζωῆς* καὶ τῆς ἀθανασίας.

---

**3 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.9./48.9. (ed. Ihm, p. 742) **13** e. g. Ps. 35, 10[1]

---

**3 – 10 I 1569** Iohannes Chrysostomus, *In Eutropium*, re vera *De custode carceris in Actis (Act. 16, 27–34) (In Psalmum CXLV)*, 6 (PG 55, 526, 14–23); exstat ap. (Ps.-)Iohannem Chrysostomum, *Eclogae ex diversis homiliis*, II *(De oratione)* (PG 63, 582, 12–20); Holl, n° 499 (sub Eusebio, cui locus attribuitur in $V^{E}V^{O}$) **13 – 14 I 1570** Nilus Monachus (Ancyranus), *Epistulae*, II, 61 (PG 79, 228, 40–41)

---

**2 – 10 I 1569** C (247v[16]17–26); $V^{E}$ cap. Π 4, 11; $V^{W}$ cap. Π 4, 14; $V^{O}$ cap. Π 4, 11; $V^{Ph}$ cap. Π 4, 11; P cap. Π 28, 14; E cap. 184, 8; R cap. Π 32, 15; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 236, 12–21 **12 – 14 I 1570** C (247v[26]27–28); R cap. Π 32, 16; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E

---

**I 1569** (a) C εἰς Εὐτρόπιον] *similis error in* I 857 / C cap. Δ 3, 36 *(lemma a)* (b) Τοῦ Χρυσοστόμου, εἰς Εὐτρόπιον P R ευτρόπιον P (c) Χρυσοστόμου $V^{W}$ E (d) Τοῦ αὐτοῦ $V^{E}V^{O}$ (e) *s. a.* $V^{Ph}$ **I 1570** ἀσκητοῦ] *om.* R

---

**3** οἶδες *(*οι- P*)* $V^{W}$ P ἐπιβλαβη P, ἐπὶ βλάβη $V^{W}$ **4** ὁ μᾶλλον] *om.* R ὁ] *s. l.* $V^{W}$ **5** αἰτήσει σου] σῇ αἰτήσει C αἰτήσεως] αἰτίσεως $V^{E}V^{O}V^{Ph}$, αἰτήσεώς σου C R **5 – 6** συμφέρον σου $V^{E}V^{O}V^{Ph}$ **9** φιλων P, φιλῶ $V^{O\ ut\ videtur}$ $V^{Ph}$ **10** ἡμῶν $V^{E}V^{O}V^{Ph}$ τοῦτο] *om.* V P E *(ed.)* ποιεῖ] *om.* $V^{E}V^{O}V^{Ph}$

**Τίτλος γʹ Περὶ προγνώσεως θεοῦ, καὶ ὅτι *τὰ κρύφια καὶ ἄδηλα* τῶν πραγμάτων θεῷ χρὴ καταλιμπάνειν· *πάντα γὰρ αὐτῷ μόνῳ γνωστά*.**

**ζʹ Περὶ προγνώσεως θεοῦ, καὶ ὅτι *τὰ κρύφια καὶ ἄδηλα* τῶν πραγμάτων τῷ θεῷ χρὴ καταλιμπάνειν.**

**λαʹ Περὶ προγνώσεως θεοῦ, καὶ ὅτι *τὰ κρύφια καὶ ἄδηλα* τῶν πραγμάτων τῷ θεῷ χρὴ καταλιμπάνειν.**

## I 1571 / C cap. Π 3, 1

Ἀπὸ τοῦ Δευτερονομίου·

Τὰ κρυπτά, κυρίῳ τῷ θεῷ ἡμῶν, τὰ δὲ φανερά, ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν, εἰς τὸν αἰῶνα ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.

---

**1 – 3** Περὶ – γνωστά] cf. I / C$^{pin}$ Παραπομπὴ Ζ 1 (SJD VIII/1) **1** Ps. 50, 8$^{2}$ **2 – 3** πάντα – γνωστά] cf. Sir. 23, 20$^{1}$ **4** Ps. 50, 8$^{2}$ **6** Ibid.

---

**10 – 12 I 1571** Deut. 29, 29 (Wahl, *Deuteronomium-Text*, p. 148–149)

---

**1 – 3 Titlos (a)** C (247v29–248r1) A$^{II\ pin}$ R; *deest in* H$^{II}$A$^{II\ txt}$ **4 – 5 Titlos (b)** V A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$; PG 96, 237, 43–45 **6 – 7 Titlos (c)** PM$^{pin}$ L$^{b\ pin}$ E$^{txt}$; *deest in* M$^{txt\ (lac.)}$ L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ **9 – 12 I 1571** C (248r[1–2]2–4); V$^{E}$ cap. Π 7, 1; V$^{W}$ cap. Π 7, 1; V$^{O}$ cap. Π 7, 1; V$^{Ph}$ cap. Π 7, 1; P cap. Π 31, 1; E cap. 186, 1; R cap. Π 36, 1; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 237, 46–48

---

**1 – 3 Titlos (a) 1** Τίτλος] *om.* A$^{II\ pin}$ R$^{pin}$ γʹ] λςʹ R, *propt. mg. resect. non liquet in* A$^{II\ pin}$ *(γʹ secund. ser.)* ὅτι] *add.* καὶ C$^{pin}$ **2** θεῷ] *praem.* τῷ R **3** ἔγνωσται C$^{pin}$ **4 – 5 Titlos (b) 4** ζʹ] τίτλος ζʹ V$^{W\ txt}$, *propt. mg. resect. non liquet in* A$^{I\ pin}$ *(ζʹ secund. ser.)* **5** καταλιμπᾶνιν V$^{E\ txt}$, καταλϊμπάνϊ V$^{O\ pin}$, καταλιμπ$^{αν}$ V$^{O\ txt}$, καταλιμπάνει *(-α-* V$^{W\ pin}$*)* V$^{W\ pin}$ V$^{W\ txt\ a.\ c.}$ **6 – 7 Titlos (c) 6** λαʹ] ρπςʹ E$^{txt}$ γνώσεως E$^{txt}$ **6 – 7** θεοῦ – καταλιμπάνειν] *om.* M$^{pin}$

---

**I 1571** Ἀπὸ τοῦ] *om.* V P E R

---

**10** κυρίῳ] *om.* E **11** πάντα] *om.* C

## I 1572 / C cap. Π 3, 2

Βασιλειῶν αʹ·

Θεὸς γνώσεων κύριος,
καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

## I 1573 / C cap. Π 3, 3

Ἡσαΐου προφήτου·

Ἐγώ εἰμι θεός, καὶ οὐκ ἔστιν θεὸς πλὴν ἐμοῦ ἔτι, ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συντελεσθῇ.

## I 1574 / C cap. Π 3, 4

Τοῦ αὐτοῦ·

Ἐγὼ θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν θεός. Τίς ὥσπερ ἐγώ; Στήτω καὶ καλεσάτω καὶ ἑτοιμασάτω, ἀφ᾽ οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν.

---

**3 – 4 I 1572** I Reg. 2, $3^{3-4}$ (Wahl, *1 Samuel-Text*, p. 43–44) **7 – 8 I 1573** Is. 46, 9–10 (Wahl, *Prophetenzitate*, p. 411–412) **11 – 14 I 1574** Is. 44, 6–7 (Wahl, *Prophetenzitate*, p. 399–400)

---

**2 – 4 I 1572** C (248r[4]5); $V^{E}$ cap. Π 7, 2; $V^{W}$ cap. Π 7, 2; $V^{O}$ cap. Π 7, 2; $V^{Ph}$ cap. Π 7, 2; P cap. Π 31, 2; E cap. 186, 2; R cap. Π 36, 2; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 237, 49–50 **6 – 8 I 1573** C (248r[6]6–8); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **10 – 14 I 1574** C (248r[8]8–12); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1572** (a) C $V^{W}$ P E R αʹ] *om.* $V^{W}$ (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**4** καὶ – αὐτοῦ] *om.* $V^{W}$ P E αὐτοῦ] *om.* $V^{E}V^{O}V^{Ph}$ **8** συντελεσθῇ] *sic* C, συνετελέσθη *LXX (sed cf. app. crit.)*

## I 1575 / C cap. Π 3, 5

Ἱερεμίου προφήτου·

Πρὸ τοῦ με πλάσαι σε ἐκ κοιλίας μητρός σου ἐπίσταμαί σε, καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε.

## I 1576 / C cap. Π 3, 6

Ἰεζεκιὴλ προφήτου·

Τὰ διαβούλια τοῦ πνεύματος ὑμῶν ἐγὼ ἐπίσταμαι.

## I 1577 / C cap. Π 3, 7

Ἰουδίθ·

Σύ, κύριε, ἔγνως τὰ πρότερα καὶ τὰ μετ᾽ ἐκεῖνα, καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα. Διενοήθης, καὶ ἐγενήθη ἃ διενοήθης, καὶ παρέστησαν ἃ ἐβουλεύσω, καὶ εἶπαν· Πάρεσμεν. Πᾶσαι γὰρ αἱ ὁδοί σου ἕτοιμοι, καὶ αἱ κρίσεις σου ἐν προγνώσει.

---

**3 – 4 I 1575** Ier. 1, 5 (Wahl, *Prophetenzitate*, p. 479) **7 I 1576** Ez. 11, 5 (Wahl, *Prophetenzitate*, p. 622) **10 – 13 I 1577** Iudith 9, 5–6

---

**2 – 4 I 1575** C (248r[12]13–15); V$^{E}$ cap. Π 7, 4; V$^{W}$ cap. Π 7, 4; V$^{O}$ cap. Π 7, 4; V$^{Ph}$ cap. Π 7, 4; P cap. Π 31, 4; E cap. 186, 4; R cap. Π 36, 4; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 240, 1–2 **6 – 7 I 1576** C (248r[15]16); V$^{E}$ cap. Π 7, 3; V$^{W}$ cap. Π 7, 3; V$^{O}$ cap. Π 7, 3; V$^{Ph}$ cap. Π 7, 3; P cap. Π 31, 3; E cap. 186, 3; R cap. Π 36, 3; *deest in* H$^{II}$ H$^{I}$ M$^{(lac.)}$ L$^{b}$; PG 96, 237, 51–52 **9 – 13 I 1577** C (248r[16]17–21); R cap. Π 36, 5; *deest in* H$^{II}$ V H$^{I}$ PM$^{(lac.)}$ L$^{b}$ E

---

**I 1575** (a) C (b) Ἱερεμίου V$^{W}$ P E R ϊηρεμιου P (c) *s. a.* V$^{E}$V$^{O}$V$^{Ph}$ **I 1576** ἰεζεκιήλ V$^{W}$, ἰέζεκιήλ V$^{O}$, ϊέζεκιήλ P προφήτου] *om.* V P E R **I 1577** ἰουδήθ C$^{p. c.}$

---

**3 – 4** σου – μήτρας] *om.* V$^{E}$V$^{O}$V$^{Ph}$ **4** προφήτην] *praem.* καὶ C R τέθηκά σε V$^{W\ a.\ c.}$ V$^{Ph}$ **7** πνεύματος] πατρὸς V$^{E}$ ἐγὼ] ἔργω P **12** ὁδοί σου] οδύ σου C$^{a.\ c.}$, οδοί σου C$^{p.\ c.\ man.\ rec.}$

## I 1578 / C cap. Π 3, 8

Τοῦ Σιράχ·

Ἀπὸ τοῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψεν,
καὶ οὐδέν ἐστιν θαυμαστὸν ἐναντίον αὐτοῦ.

## I 1579 / C cap. Π 3, 9

Ἰωάννου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ ιη′·

Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδον σε. Ἀπεκρίθη Ναθαναὴλ καὶ εἶπεν αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ.

## I 1580 / C cap. Π 3, 10

Τῶν Πράξεων·

Γνωστὸν ἀπ' αἰῶνος τῷ θεῷ τὸ ἔργον αὐτοῦ.

---

**3 – 4 I 1578** Sir. 39, $20^{1-2}$ (Wahl, *Sirach-Text*, p. 155) **7 – 12 I 1579** Ioh. 1, 47–49 **15 I 1580** Act. 15, 18 (cum app. crit.)

---

**2 – 4 I 1578** C (248r[21]21–23); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **6 – 12 I 1579** C (248r[23]24–30); $V^{E}$ cap. Π 7, 5; $V^{W}$ cap. Π 7, 5; $V^{O}$ cap. Π 7, 5; $V^{Ph}$ cap. Π 7, 5; P cap. Π 31, 5; R cap. Π 36, 6; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E; PG 96, 240, 3–10 **14 – 15 I 1580** C (248r[30]248v1); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1579** (a) C (b) Κατὰ Ἰωάννην, κεφαλαίου ιη′ P (c) Ἐκ τοῦ κατὰ Ἰωάννην R (d) Ἰωάννου $V^{E}V^{O}$ (e) Εὐαγγελίου $V^{W}$ (f) *s. a.* $V^{Ph}$

---

**7** ἴδεν C $V^{E}V^{Ph}$, ἰδεν $V^{O}$, ϊδεν P ναθαναηλ P, ναθαὴλ $C^{a. c. s. l.}$ **8** περὶ – Λέγει] *om.* $V^{Ph}$ αὐτὸν $V^{W\,a. c.}$ ϊσραηλίτης P **8 – 12** Λέγει – Ἰσραήλ] *om.* R **9** ναθαναηλ P Ἰησοῦς] *praem.* ὁ $V^{Ph}$ **10** φιλιππον P, φίλιπον $V^{W}$ συκὴν V, συκην P εἶδον] *scripsimus (NT)*, ἴδον C V, ϊδον P **11** ναθαναηλ P εἶπεν] λέγει $V^{W}$ P

## I 1581 / C cap. Π 3, 11

Τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, πρὸς Ἀντωνῖνον αὐτοκράτορα·

Θεοῦ ἔργον ἐστὶν πρὸ τοῦ γενέσθαι εἰπεῖν, καὶ οὕτως δειχθῆναι γινόμενον.

## I 1582 / C cap. Π 3, 12

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ β′ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Εἰ καὶ ἐπὶ τῶν τῆς κτίσεως ἔνια μὲν ἀνάκειται τῷ θεῷ, ἔνια δὲ καὶ εἰς γνῶσιν ἐλήλυθεν τὴν ἡμετέραν, τί χαλεπὸν εἰ καὶ τῶν ἐν ταῖς Γραφαῖς ζητουμένων, ὅλων τῶν Γραφῶν πνευματικῶν ὑπαρχουσῶν, ἔνια μὲν ἐπιλύομεν κατὰ χάριν θεοῦ, ἔνια δὲ ἀνακείσεται τῷ θεῷ, καὶ οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα ἀεὶ μὲν θεὸς διδάσκῃ, ἄνθρωπος δὲ διαπαντὸς μανθάνῃ παρὰ θεοῦ;

---

**4 – 5 I 1581** Iustinus Martyr, *Apologia pro Christianis ad Antoninum imperatorem*, I, 12,10 (36–38) (ed. Munier, p. 158); Holl, n° 98 **9 – 15 I 1582** Irenaeus Lugdunensis, *Adversus haereses*, II, 28, 57–65 (Fr. gr. 4) (ed. Rousseau/Doutreleau, p. 274–275); Holl, n° 139

---

**2 – 5 I 1581** C (248v[2–3]3–5); R cap. Π 36, 7; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E **7 – 15 I 1582** C (248v[5–6]6–14); R cap. Π 36, 8; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E

---

**I 1581** πρὸς – αὐτοκράτορα] *om.* R **I 1582** β′] δ′ R καὶ – γνώσεως] *om.* R

---

**11 – 12** ὑπαρχουσῶν] οὐσῶν R **12** ἀνακείσεται] commendamus *ed. (lat.)*, ἀνατίθεμεν *coniecerunt Rousseau/Doutreleau* **13** ἐν[1] – αἰῶνι] αἰῶνι ἐν τῶ νυνὶ R **14** θεὸς] *praem.* ὁ R διδάσκει $C^{p.\,c.\,man.\,rec.}$, διδιδάσκει $C^{a.\,c.}$ μανθάνει C

## I 1583 / C cap. Π 3, 13

Καὶ μετ᾽ ὀλίγα·

Εἰ οὖν καθ᾽ ὃν εἰρήκαμεν τρόπον ἔνια τῶν ζητημάτων ἀναθήσομεν τῷ θεῷ, καὶ τὴν πίστιν ἡμῶν διαφυλάξομεν καὶ ἀκίνδυνοι διαμενοῦμεν, καὶ πᾶσα Γραφὴ δεδομένη ἡμῖν ἀπὸ θεοῦ σύμφωνος ἡμῖν εὑρεθήσεται, καὶ αἱ παραβολαὶ τοῖς διαρρήδην εἰρημένοις συμφωνήσουσι, καὶ τὰ φανερῶς εἰρημένα ἐπιλύσει τὰς παραβολάς, καὶ διὰ τῆς τῶν λέξεων πολυφωνίας ἓν σύμφωνον μέλος ἐν ἡμῖν ἀσθήσεται.

## I 1584 / C cap. Π 3, 14

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὴν Χαναναίαν·

Οὐ τὰ παρόντα μόνον βλέπει ὁ θεός, ἀλλὰ πολλῷ μᾶλλον τὰ μέλλοντα προορᾷ.

## I 1585 / C cap. Π 3, 15

Τοῦ μακαρίου Ἐφραίμ·

Τὸν κόσμον ὁ θεὸς ἀνεξικακίᾳ ἐπισκοπεῖ, τὸ μέλλον αἰνιττόμενος

---

**12 – 13** Οὐ – προορᾷ] cf. Ioh. Chrys., *In illud:* Hoc scitote quod in novissimis diebus *(II Tim. 3, 1)*, 5 (PG 56, 276, 49–50) **16 – 962, 2** Τὸν – τιμωρούμενος] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.12./48.12. (ed. Ihm, p. 744)

---

**3 – 9 I 1583** Irenaeus Lugdunensis, *Adversus haereses*, II, 28, 73–81 (Fr. gr. 5) (ed. Rousseau/Doutreleau, p. 276–277); Holl, n° 140 **12 – 13 I 1584** Iohannes Chrysostomus, *In Chananaeam*, locus non repertus **16 – 962, 4 I 1585** Ephraem, locus non repertus

---

**2 – 9 I 1583** C (248v[15]15–23); R cap. Π 36, 9; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E **11 – 13 I 1584** C (248v[23–24]25–26); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **15 – 962, 4 I 1585** C (248v[26]27–249r3); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1583** (a) C (b) *s. d.* R **I 1585** Ἐφραίμ] *scripsimus*, ἐφραίμ C

---

**3 – 4** ἀναθήσωμεν C **7** συμφωνοῦσιν C **9** ἀσθήσεται] *sic* R, ᾀσθήσεται *Holl (sequentibus Rousseau/Doutreleau)*, αἰσθήσεται C, *(*unam consonantem melodiam…*)* sentiet *ed. (lat.)*

καὶ τὸ παρὸν ὅροις στοιχίζων, ἐκ μὲν τῆς ἀποφάσεως χαλινῶν τὴν πονηρίαν, διὰ δὲ συνειδήσεως τὰς ἐναγεῖς διανοίας τιμωρούμενος <***> λέγει, ἵνα δειχθῇ αὐτοῦ ἡ πρόγνωσις; Καὶ μακροθυμεῖ, ἵνα μάθωμεν αὐτοῦ τὴν χρηστότητα.

---

**1** στοιχίζων] *correximus (cf.* *II$^2$2280 / PML$^b$ cap. Π 3, 24 [SJD VIII/7]*)*, στοιχειάζων C **2 – 3** *post* τιμωρούμενος *quaedam excidisse videntur (cf.* *II$^2$1487 / T cap. E 36, 26 [SJD VIII/6] *et* *II$^2$2280 / PML$^b$ cap. Π 3, 24 [SJD VIII/7]*)*

## Τίτλος δʹ Περὶ πνευματικῆς προκοπῆς.

## βʹ Περὶ προκοπῆς πνευματικῆς.

## κϛʹ Περὶ προκοπῆς πνευματικῆς.

### I 1586 / C cap. Π 4, 1

Ἐκ τῆς πρὸς Κορινθίους αʹ ἐπιστολῆς·

Οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. Οὕτως τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτως τρέχω ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω ὡς οὐκ ἀέρα δέρων, ἀλλ᾽ ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.

Οὕτως τρέχω ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω ὡς οὐκ ἀέρα δέρων, ἀλλ᾽ ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

---

**6 – 12 I 1586** ***Versio*** **C** I Cor. 9, 24–27 **13 – 15 I 1586** ***Versio*** **V P E** I Cor. 9, 26–27

---

**1 Titlos (a)** C (249r3–4) A$^{\text{II pin}}$ R; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$; PG 96, 537, 16 **2 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$; PG 96, 228, 24 **3 Titlos (c)** PM$^{\text{pin}}$ L$^{\text{b pin}}$ E$^{\text{txt}}$; *deest in* M$^{\text{txt (lac.)}}$ L$^{\text{b txt}}$ E$^{\text{pin (lac.)}}$ **5 – 15 I 1586** C (249r[4–5]5–14); V$^{\text{E}}$ cap. Π 2, 2; V$^{\text{W}}$ cap. Π 2, 3; V$^{\text{O}}$ cap. Π 2, 2; V$^{\text{Ph}}$ cap. Π 2, 2; P cap. Π 26, 3; E cap. 182, 3; *deest in* H$^{\text{II}}$ H$^{\text{I}}$ M$^{\text{(lac.)}}$ L$^{\text{b}}$ R; PG 96, 228, 29–32

---

**1 Titlos (a)** Τίτλος] *om.* A$^{\text{II pin}}$ R$^{\text{pin}}$ δʹ] λʹ R, *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(δʹ secund. ser.)* **2 Titlos (b)** βʹ] τίτλος βʹ V$^{\text{W txt}}$, *om.* V$^{\text{Ph pin}}$ *(βʹ secund. ser.)* προκοποῦ *(sic)* V$^{\text{O pin}}$ **3 Titlos (c)** κϛʹ] κεʹ P$^{\text{txt}}$, ρπβʹ E$^{\text{txt}}$ πνευματικῆς] *om.* M$^{\text{pin}}$

**I 1586** (a) C (b) Πρὸς Κορινθίους αʹ V$^{\text{E}}$V$^{\text{O}}$V$^{\text{Ph}}$ P αʹ] *om.* V$^{\text{E}}$V$^{\text{O}}$V$^{\text{Ph}}$ (c) Τοῦ αὐτοῦ V$^{\text{W}}$ (d) *s. a.* E

**13 – 14** ὑποπιαίζω V$^{\text{W a. c.}}$, ὑπωπιαίζω V$^{\text{W p. c.}}$, ὑπωπιάζω E **15** γένωμαι] *scripsimus*, γένομαι V P, γ$^{\text{ε}}$ E

## I 1587 / C cap. Π 4, 2

Ἐκ τῆς αὐτῆς·

Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ’ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

## I 1588 / C cap. Π 4, 3

Ἐκ τῆς πρὸς Φιλιππησίους·

Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι· ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν.

---

**3 – 4 I 1587** I Cor. 12, 31 **7 – 10 I 1588** Phil. 3, 13–15

---

**2 – 4 I 1587** C (249r[14]14–16); $V^{E}$ cap. Π 2, 3; $V^{W}$ cap. Π 2, 4; $V^{O}$ cap. Π 2, 3; $V^{Ph}$ cap. Π 2, 3; P cap. Π 26, 4; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E R; PG 96, 228, 33 **6 – 10 I 1588** C (249r[16]17–21); $V^{E}$ cap. Π 2, 1; $V^{W}$ cap. Π 2, 1–2; $V^{O}$ cap. Π 2, 1; $V^{Ph}$ cap. Π 2, 1; P cap. Π 26, 1–2; E cap. 182, 1–2; R cap. Π 30, 1; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 228, 25–28

---

**I 1587** (a) C (b) Πρὸς Κολοσσαεῖς P (c) *s. a.* V **I 1588** (a) C (b) Τοῦ ἁγίου Παύλου, πρὸς Φιλιππησίους R (c) Πρὸς Φιλιππησίους $V^{E}V^{O}V^{Ph}$ (d) Τοῦ Ἀποστόλου, πρὸς Φιλιππησίους / *s. a.* P *(cf. infra, app. crit. txt.)* φιλιππισιους *cod.* (e) Ἀποστόλου / *s. a.* $V^{W}$ E *(cf. infra, app. crit. txt.)*

---

**3** κρείττονα] μείζονα *(*μει- P*)* $V^{W}$ P, μείζων $V^{E}V^{O}V^{Ph}$ **3 – 4** καὶ – δείκνυμι] *om.* V P **7** Ἀδελφοί] *om.* E κατειληφέναι] κατειληφέναι τί *(*τι P*)* $V^{W}$ P E, *hic caesura in* $V^{W}$ P E *(in* E *spatium paulo largius quam ut solet)* ἓν δέ] *om.* V P E **7 – 8** τὰ – ἐπιλανθανόμενος] τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος R, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος $V^{E}V^{O}V^{Ph}$, τοῖς *(*τοις P*)* ὄπισθεν *(*ο- P*)* ἐπιλανθανόμενος *(*-νο- P*)* P E, ἐπιλανθανόμενος τοῖς ὄπισθεν $V^{W}$ **9** διώκων $V^{W}V^{O\ a.\ c.}$ εἰς] ἐπὶ *(*-ι $V^{E}$ P*)* V P E R **9 – 10** Ὅσοι – φρονῶμεν] *om.* V P E R

## I 1589 / C cap. Π 4, 4

Ἐκ τῆς πρὸς Κολασσαεῖς·

Τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστὸς ἐστὶν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

## I 1590 / C cap. Π 4, 5

Ἐκ τῆς πρὸς Ἐφεσίους·

Ἀπόθεσθε κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθε δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

## I 1591 / C cap. Π 4, 6

Τοῦ ἁγίου Διονυσίου <τοῦ> Ἀρεοπαγίτου, ἐκ τοῦ περὶ θείων ὀνομάτων·

Οὐ μὴν ἀκοινώνητόν ἐστιν καθόλου τἀγαθὸν οὐδενὶ τῶν ὄντων, ἀλλ᾽ ἐφ᾽ ἑαυτοῦ μονίμως τὴν ὑπερούσιον ἱδρῦσαν ἀκτῖνα, ταῖς ἑκάστου τῶν ὄντων ἀναλόγοις ἐλλάμψεσιν ἀγαθοπρεπῶς ἐπιφαίνεται, καὶ πρὸς τὴν ἐφικτὴν ἑαυτοῦ θεωρίαν καὶ κοινωνίαν καὶ ὁμοίωσιν ἀνατείνει τοὺς ἱεροὺς νόας, τοὺς ὡς θεμιτὸν αὐτῷ καὶ ἱεροπρεπῶς ἐπιβάλλοντας, καὶ μήτε πρὸς τὸ ὑπέρτερον τῆς ἐ-

**3 – 4 I 1589** Col. 3, 1–2 **7 – 11 I 1590** Eph. 4, 22–24 **15 – 966, 6 I 1591** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, I. 2 (ed. Suchla, p. 110, 11 – 111, 2)

**2 – 4 I 1589** C (249r[21–22]22–24); $V^E$ cap. Π 2, 4; $V^W$ cap. Π 2, 5; $V^O$ cap. Π 2, 4; $V^{Ph}$ cap. Π 2, 4; P cap. Π 26, 5; *deest in* $H^{II}$ $H^I$ $M^{(lac.)}$ $L^b$ E R; PG 96, 228, 34 **6 – 11 I 1590** C (249r[24]25–30); *deest in* $H^{II}$ V $H^I$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^b$ E R **13 – 966, 6 I 1591** C (249v[1]2–16); *deest in* $H^{II}$ V $H^I$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^b$ E R

**I 1589** (a) C (b) Τοῦ Ἀποστόλου $V^W$ (c) *s. a.* $V^EV^OV^{Ph}$ P **I 1591** τοῦ¹] *supplevimus, om.* C

**3 – 4** οὗ – φρονεῖτε] *om.* V P **4** τὰ² – γῆς] *desunt in* P *(lac. inter f. 271 et 272)* τῆς] *om.* $V^{Ph}$ **16** ταῖς] *correximus (ed.)*, τῆς C

ναρμονίως ἐνδιδομένης θεοφανείας ἀδυνάτως ἀπαυθαδιζομένους, μήτε πρὸς τὸ κάταντες ἐκ τῆς ἐπὶ τὸ χεῖρον ὑφέσεως ἀπολισθαίνοντας, ἀλλ' εὐστάθμως καὶ ἀκλινῶς ἐπὶ τὴν ἀκτῖνα τὴν αὐτοῖς ἐπιλάμπουσαν ἀνατεινομένους καὶ τῷ συμμέτρῳ τῶν θεμιτῶν ἐλλάμψεων ἔρωτι μετ' εὐλαβείας ἱερᾶς σωφρόνως τε καὶ ὁσίως ἀναπτερουμένους.

## I 1592 / C cap. Π 4, 7

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὴν νέαν Κυριακήν·

Μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων, λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος.

## I 1593 / C cap. Π 4, 8

Τοῦ αὐτοῦ, ἐκ τοῦ μεγάλου ἀπολογητικοῦ·

Οὐ μέγα νομιστέον ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημία, ἂν τῆς ἀξίας λειπώμεθα· καὶ τῇ ἐντολῇ παραμετρεῖν, ἀλλὰ μὴ τοῖς πέλας, τὸ κατορθούμενον, ἄν τε ὦσιν κακοί, ἄν τε ἀρετῆς ἐπὶ ποσὸν ἥκοντες· καὶ μὴ μικροῖς μέτροις ταλαντεύειν τὴν ἀρετήν,

---

**10 – 11** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 34.14./13. (ed. Ihm, p. 668–669)

---

**10 – 11 I 1592** Gregorius Nazianzenus, *In novam Dominicam (Orat. 44)*, 8 (PG 36, 616, 24–26) **14 – 967, 2 I 1593 *Versio* C** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 14, 13–18 (ed. Bernardi, p. 108)

---

**8 – 11 I 1592** C (249v[16–17]17–18); $V^{E}$ cap. Π 2, 5; $V^{W}$ cap. Π 2, 6; $V^{O}$ cap. Π 2, 5; $V^{Ph}$ cap. Π 2, 5; E cap. 182, 4; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 228, 35–36 **13 – 967, 3 I 1593** C (249v[19]19–25); $V^{E}$ cap. Π 2, 6; $V^{W}$ cap. Π 2, 7; $V^{O}$ cap. Π 2, 6; $V^{Ph}$ cap. Π 2, 6; *deest in* $H^{II}$ $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E R; PG 96, 228, 37

---

**I 1592** (a) C (b) Τοῦ Θεολόγου V Τοῦ] *om.* $V^{W}$ (c) *s. a.* E **I 1593** (a) C (b) Κυρίλλου $V^{W}$ (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**3** εὐστάθμως] *sic* C, εὐσταθῶς τε *ed.* **10** κρείττων] κρίτω $V^{W\,a.\,c.}$ **17** ποσὸν] *correximus (ed.)*, πόσον C

τῷ μεγίστῳ καὶ παρ’ οὗ τὰ πάντα καὶ εἰς ὃν τὰ πάντα χρεωστουμένην.

Μὴ μικροῖς σταθμοῖς ταλαντεύειν τὴν ἀρετήν.

## I 1594 / C cap. Π 4, 9

Τοῦ αὐτοῦ, ἐκ τοῦ πρὸς παρθένους ὑποθήκης, τῶν Ἐπῶν·

Μὴ δὲ μικροῖς μέτροισι τεὴν σταθμώμενος οἶμον,
Εἴ τινα παραθρέξειας ἀπόδρομον ἠὲ κάκιστον,
Τέρμα πέλειν ἀρετῆς τόδ’ ὀΐεο· οὐ γὰρ ἄριστον
Τῶν ὀλίγων προφέρειν. Μέτρον δέ σοι ἔστιν ἐφετμή.

## I 1595 / C cap. Π 4, 10

Τοῦ αὐτοῦ, ἐκ τοῦ Νικοβούλου πρὸς τὸν πατέρα κεφαλαίου·

…ἀλλὰ μετρεῖσθαι
Μέτροισι μεγάλοις βίον πινυτόφρονος ἀνδρός.
Κρεῖσσον δεύτερ’ ἔχειν μεγάλων ἢ πρῶτα πενιχρῶν·
Ὡς ἵπτασθ’ ἀετοῖο κάτω ῥυζο<ῦ>ντος ὕπερθεν,
Ἢ χαμαιπετέων κολοιῶν ὕπερ ἠέρα τέμνειν.

**1** παρ’ – πάντα$^{2}$] cf. I Cor. 8, 6

**3 I 1593** ***Versio*** **V** Gregorius Nazianzenus, *Apologetica (Orat. 2)*, 14, 16–17 (ed. Bernardi, p. 108) **6 – 9 I 1594** Gregorius Nazianzenus, *Carmina*, I,2,2 *(Praecepta ad virgines)*, 10–13 (PG 37, 579, 2–5) **12 – 16 I 1595** Gregorius Nazianzenus, *Carmina*, II,2,4 *(Nicobuli filii ad patrem)*, 94–98 (ed. Moroni, p. 80)

**5 – 9 I 1594** C (249v[26]27–30); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E R **11 – 16 I 1595** C (250r[1]2–6); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E R

**7** παρθρέξειας *ed.* **8** ὀΐεο] *correximus (ed.)*, οἰέο C **13** μεγάλοισι *ed.* **15** ῥυζοῦντος] *correximus*, ῥυζόντος C, ῥοιζοῦντος *ed.* **16** Ἢ] ἠὲ *ed.* κολοιῶν] *scripsimus*, κολυῶν C, κορύδων *ed.* ὕπερ] *correximus (ed.)*, ὑπὲρ C

## I 1596 / C cap. Π 4, 11

Τοῦ αὐτοῦ, ἐκ τῶν τετραστίχων Γνωμῶν·

Ὕψου βίῳ τὸ πλεῖον ἢ φρονήματι·
Ὃ μὲν θεοῖ σε, τῷ δὲ καὶ πίπτεις μέγα.
Τεύξῃ δὲ τούτου, μὴ μικροῖς μετρούμενος.
Κἂν πλεῖστον ἀρθῇς, εἶ κάτω τῆς ἐντολῆς.

## I 1597 / C cap. Π 4, 12

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ δʹ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Διὰ ταύτης τῆς τάξεως καὶ τῶν τοιούτων ῥυθμῶν καὶ τῆς τοιαύτης ἀγωγῆς ὁ γενητὸς καὶ πεπλασμένος ἄνθρωπος *κατ' εἰκόνα καὶ ὁμοίωσιν* γίνεται τοῦ ἀγενήτου θεοῦ, τοῦ μὲν πατρὸς εὐδοκοῦντος καὶ κελεύοντος, τοῦ δὲ υἱοῦ ὑπουργοῦντος καὶ πράσσοντος, τοῦ δὲ πνεύματος τρέφοντος καὶ αὔξοντος, τοῦ δὲ ἀνθρώπου ἠρέμα προκόπτοντος καὶ ἀνερχομένου πρὸς τὸ τέλειον, πλησίον τουτέστιν τοῦ ἀγενήτου γινομένου. Τέλειος γὰρ ὁ ἀγένητος· οὗτος δὲ ἐστὶν θεός. Ἔδει δὲ τὸν ἄνθρωπον πρῶτον γενέσθαι, καὶ

---

**11 – 12** Gen. 1, 26

---

**3 – 6 I 1596** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 89–92 (PG 37, 934, 12–15) **10 – 969, 5 I 1597** Irenaeus Lugdunensis, *Adversus haereses*, IV, 38, 70–84 (Fr. gr. 25) (ed. Rousseau/Hemmerdinger/Doutreleau/Mercier, p. 954–956); Holl, n° 156

---

**2 – 6 I 1596** C (250r[6]6–10); *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E R **8 – 969, 5 I 1597** C (250r[10–11]12–28); R cap. Π 30, 2; *deest in* H$^{II}$ V H$^{I}$ P$^{(lac.)}$ M$^{(lac.)}$ L$^{b}$ E; PG 96, 537, 17–18

---

**I 1597** Τοῦ ἁγίου] *om.* R καὶ – γνώσεως] *om.* R

---

**3** βίῳ] *correximus (ed.)*, βίου C **4** Ὃ] *scripsimus*, ὃ C **6** ἀρθῇς, εἶ] *correximus (ed.)*, ἀρθήσει C **11** γεννητὸς C$^{p. c. man. rec.}$ R **12** γίνεται] *post* ἀγενήτου *transpos.* R ἀγεννήτου C$^{p. c. man. rec.}$ R **13** ὑπουργοῦντος – πράσσοντος] πράσσοντος καὶ δημιουργοῦντος R πράσσοντος] formante *ed. (lat.)* **14 – 15** ἠρέμα] *sic spir.* C R **15** πρὸς – τέλειον] *om.* R **15 – 16** τέλειον – τουτέστιν] *sic interpunx. ed.*, τέλειον πλησίον. τοῦτ' ἔστιν *(sic)* C, hoc est proximum *ed. (lat.)* **16** ἀγεννήτου C$^{p. c. man. rec.}$ R ἀγέννητος C$^{p. c. man. rec.}$ R

γενόμενον αὐξῆσαι, καὶ αὐξήσαντα ἀνδρωθῆναι, καὶ ἀνδρωθέντα πληθυνθῆναι, καὶ πληθυνθέντα ἐνισχύσαι, ἐνισχύσαντα δὲ δοξασθῆναι, καὶ δοξασθέντα, ἰδεῖν τὸν ἑαυτοῦ δεσπότην· θεὸς γὰρ ὁ μέλλων ὁρᾶσθαι· ὅρασις δὲ θεοῦ, περιποιητικὴ ἀφθαρσίας· *ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ.*

## **I 1598 / C cap. Π 4, 13**

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσης, ἐκ τοῦ εἰς Μακρίναν τὴν αὐτοῦ ἀδελφήν·

Τοιαύτη τοῦ θείου ἀγαθοῦ ἡ μετουσία, ὥστε μείζονα καὶ δεκτικώτερον ποιεῖν τὸν ἐν ᾧ γίνεται, εἰς δυνάμεως καὶ μεγέθους προσθήκην ἀναλαμβανομένη τῷ δεχομένῳ, ὡς ἀεὶ αὔξεσθαι τὸν τρεφόμενον, καὶ μηδέποτε λήγειν τῆς αὐξήσεως· τῆς γὰρ πηγῆς τῶν ἀγαθῶν ἀνέκλειπτα πηγαζούσης, ἡ τοῦ μετέχοντος φύσις διὰ τὸ μηδὲν τοῦ λαμβανομένου περιττωματικόν τι εἶναι καὶ ἄχρηστον, ὅλον τὸ εἰσρέον προσθήκην τοῦ ἰδίου ποιουμένη[ν] μεγέθους, ἑλκτικωτέρα τε ἅμα τοῦ κρείττονος καὶ πολυχωροτέρα γίνεται, ἀμφοτέρων ἀλλήλοις συνεπιδιδούντων, τῆς τε τρεφομένης δυνάμεως ἐν τῇ τῶν ἀγαθῶν ἀφθονίᾳ πρὸς τὸ μεῖζον ἐπιδιδούσης, καὶ τῆς τρεφούσης χορηγίας τῇ τῶν αὐξομένων ἐπιδόσει συμπληρούσης.

## **<I suppl. 434 / V cap. Π 2, 7>**

---

**1** αὐξῆσαι] cf. ibid. 1, 28 **2** πληθυνθῆναι] cf. ibid. **4 – 5** Sap. 6, 19 **20 I suppl. 434** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**9 – 19 I 1598** Gregorius Nyssenus, *Ad Macrinam (Dialogus de anima et resurrectione)* (ed. Spira/Mühlenberg, p. 78, 11 – 79, 2)

---

**7 – 19 I 1598** C (250r[28–29]30–250v15); R cap. Π 30, 3; *deest in* $H^{II}$ V $H^{I}$ $P^{(lac.)}$ $M^{(lac.)}$ $L^{b}$ E

---

**I 1598** ἐπισκόπου] *om.* R νύσσης $C^{p. c. man. rec. s. l.}$ R αὐτοῦ] *om.* R

---

**1** ἀνδρυνθῆναι R ἀνδρυνθέντα R **2** ἐνισχῦσαι] *sic acc.* C R **10** τὸν] τὸ C **11** αὔξεσθαι] *sic* $C^{mg.}$, αὐξεῖσθαι $C^{txt}$, αὐξάνασθαι *(sic)* R **13** πηγαζούσης] *sic* $C^{mg.}$ R, πηγάζουσιν $C^{txt}$ **14** λαβομένου R **15** ποιουμένη] *correximus (ed.)*, ποιουμένην C, ποιήσει R **16** πολυχωρητοτέρα *ed. (sed cf. app. crit.)* **17** συνεπιδιδόντων *ed.* **19** συμπλημμυρούσης *ed. (sed cf. app. crit.)*

# (Στοιχεῖον Ρ)

# Στοιχεῖον Σ

**Τίτλος α′ Περὶ σπουδῆς, ὅτι ἀνόνητος πᾶσα σπουδή, μὴ βουλομένου θεοῦ, καὶ ὅτι ὑπὸ θεοῦ κατευθύνονται αἱ ὁδοὶ τῶν ἀνθρώπων, αἵ τε πρὸς τὸ ἀγαθόν, αἵ τε πρὸς ἄμυναν τῶν ἀτακτούντων πολεμίων.**

**η′ Περὶ σπουδῆς, ὅτι ἀνόνητος πᾶσα σπουδή, μὴ βουλομένου θεοῦ.**

**κβ′ Περὶ σπουδῆς, ὅτι ἀνόνητος πᾶσα σπουδή, μὴ βουλομένου θεοῦ.**

## I 1599 / C cap. Σ 1, 1

Ἀπὸ τῶν Ἀριθμῶν·

Εἶπεν Μωσῆς πρὸς τὸν λαόν· Ἱνατί παραβαίνετε ὑμεῖς τὸ ῥῆμα

---

**3 – 6** Περὶ – πολεμίων] cf. I / C$^{\text{pin}}$ Παραπομπὴ Κ 6 (SJD VIII/1) **3 – 4** Περὶ – θεοῦ$^{1}$] cf. II$^{1}$ / K$^{\text{pin}}$ Παραπομπαὶ Α 17 et Σ 7 (SJD VIII/4) **4 – 5** ὑπὸ – ἀνθρώπων] cf. Ps. Sal. 6, 2$^{1}$

---

**13 – 971, 2 I 1599** Num. 14, 41–42

---

**2 Stoicheion** C$^{\text{txt}}$ (250v16) C$^{\text{pin}}$ **3 – 6 Titlos (a)** C (250v16–21) A$^{\text{II pin}}$ R; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$ **7 – 8 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$; PG 96, 337, 44–45 **9 – 10 Titlos (c)** PM$^{\text{pin}}$ L$^{\text{b pin}}$ E$^{\text{txt}}$; *deest in* M$^{\text{txt (lac.)}}$ L$^{\text{b txt}}$ E$^{\text{pin (lac.)}}$ **12 – 971, 2 I 1599** C (250v[21]21–25); R cap. Σ 21, 1; *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ PM$^{\text{(lac.)}}$ L$^{\text{b}}$ E

---

**1** (Στοιχεῖον Ρ)] *deest in eis quae libri I supersunt* **2 Stoicheion** Σ] *scripsimus*, σίγμα C **3 – 6 Titlos (a) 3** Τίτλος] *om.* A$^{\text{II pin}}$ R$^{\text{pin}}$ α′] κα′ R, *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(*α′ *secund. ser.)* **3 – 4** βουλομένου] εὐοδοῦντος C$^{\text{pin}}$ **5 – 6** αἵ$^{1}$ – πολεμίων] πρὸς τὸ καλόν C$^{\text{pin}}$ **7 – 8 Titlos (b) 7** η′] ζ′ V$^{\text{E pin}}$ V$^{\text{O pin p. c.}}$, ε′ *(sic)* V$^{\text{O pin a. c.}}$, τίτλος η′ V$^{\text{W txt}}$, *om.* V$^{\text{Ph pin}}$ *(*ζ′ *secund. ser.), propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(*η′ *secund. ser.)* ἀνόητος V$^{\text{O pin}}$ βουλομένων V$^{\text{O pin}}$ **9 – 10 Titlos (c) 9** κβ′] σκδ′ E$^{\text{txt}}$ **9 – 10** ὅτι – θεοῦ] *om.* M$^{\text{pin}}$ **9** ὅτι] *praem.* καὶ E$^{\text{txt}}$ **10** θεοῦ] *praem.* τοῦ L$^{\text{b pin}}$

---

**I 1599** Ἀπὸ τῶν] *om.* R

---

**13** μωϋσῆς R

κυρίου; Οὐκ εὔοδα ἔσται ὑμῖν. Μὴ ἀνάβητε· οὐ γάρ ἐστιν κύριος μεθ᾽ ὑμῶν, καὶ πεσεῖσθε πρὸ τῶν ἐχθρῶν ὑμῶν.

## I 1600 / C cap. Σ 1, 2

Ἀπὸ τοῦ Ἰώβ·

Δια<λ>λάσσων βουλὰς πανούργων,
καὶ οὐ μὴ ποιήσωσιν αἱ χεῖρες αὐτῶν ἀληθές.
Ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει,
βουλὴν δὲ πολύπλοκον ἐξέστησεν.

## I 1601 / C cap. Σ 1, 3

Δαυῒδ ἐν ψαλμῷ λβʹ·

Κύριος διασκεδάζει βουλὰς ἐθνῶν,
ἀθετεῖ δὲ λογισμοὺς λαῶν,
καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.

## I 1602 / C cap. Σ 1, 4

Δαυῒδ ἐν ψαλμῷ λςʹ·

Παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται.

---

**5 – 8 I 1600** Iob 5, $12^1$–$13^2$ **11 – 13 I 1601** Ps. 32, $10^{1-3}$ **16 I 1602** Ps. 36, $23^1$

---

**4 – 8 I 1600** C (250v[25]25–29); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^b$ E R **10 – 13 I 1601** C (250v[29]29–251r1); R cap. Σ 21, 2; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^b$ E **15 – 16 I 1602** C (251r[1]2); $V^E$ cap. Σ 8, 1; $V^W$ cap. Σ 8, 1; $V^O$ cap. Σ 8, 1; $V^{Ph}$ cap. Σ 8, 1; P cap. Σ 22, 1; E cap. 224, 1; R cap. Σ 21, 3; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^b$; PG 96, 337, 46–47

---

**I 1601** (a) C (b) Ψαλμοῦ λβʹ R **I 1602** (a) C P Δαυῒδ] *om.* C (b) Ψαλμοῦ λςʹ R (c) Δαυῒδ V E

---

**1** γὰρ ἔστι $R^{a.\,c.}$, γὰρ ἔσται $R^{p.\,c.}$ **5** Διαλλάσσων] *correximus (LXX app. crit.)*, διαλάσσων C βουλὰς] *scripsimus (LXX)*, βουλας $C^{mg.}$, βουλευτὰς $C^{txt}$ **12 – 13** ἀθετεῖ – βουλὰς] ἕως R

## I 1603 / C cap. Σ 1, 5

Ἐν ψαλμῷ ρκς′·

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον,
εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες·
ἐὰν μὴ κύριος φυλάξῃ πόλιν,
εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

## I 1604 / C cap. Σ 1, 6

Τῶν Παροιμιῶν·

Παρὰ κυρίου κατευθύνεται τὰ διαβήματα ἀνδρί·
θνητὸς δὲ πῶς ἂν νοήσῃ τὰς ὁδοὺς αὐτοῦ;

---

**3–6 I 1603** Ps. 126, $1^{2-5}$ **9–10 I 1604** Prov. 20, $24^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 99)

---

**2–6 I 1603** C (251r[3]3–5); $V^{E}$ cap. Σ 8, 2; $V^{W}$ cap. Σ 8, 2; $V^{O}$ cap. Σ 8, 2; $V^{Ph}$ cap. Σ 8, 2; P cap. Σ 22, 2; E cap. 224, 2; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 337, 48–49 **8–10 I 1604** C (251r[6]6–8); $V^{E}$ cap. Σ 8, 3; $V^{W}$ cap. Σ 8, 3–4; $V^{O}$ cap. Σ 8, 3; $V^{Ph}$ cap. Σ 8, 3; P cap. Σ 22, 3–4; E cap. 224, 3; R cap. Σ 21, 4; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 337, 50–51

---

**I 1603** (a) C (b) Ψαλμοῦ ρκς′ P (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E **I 1604** (a) C (b) Παροιμιῶν $V^{E}V^{O}V^{Ph}$ E R (c) Παροιμιῶν / Τῶν αὐτῶν $V^{W}$ P *(cf. infra, app. crit. txt.)*

---

**3** οἰκοδομήσει P **4–6** οἱ – φυλάσσων] *om.* $V^{E}V^{O}V^{Ph}$ **5–6** ἐὰν – φυλάσσων] *om.* $V^{W}$ P E **9** ἀνδρί] *hic caesura in* $V^{W}$ P **10** θνητὸς – αὐτοῦ] *om.* E νοήσει $V^{O}$ P, νωήσει $V^{E}$, νοήσαι *LXX*

## I 1605 / C cap. Σ 1, 7

Ἐκ τῶν αὐτῶν·

Ἵππος ἑτοιμάζεται ἐν ἡμέρᾳ πολέμου·
παρὰ δὲ κυρίου ἡ βοήθεια.

## I 1606 / C cap. Σ 1, 8

Τοῦ Ἐκκλησιαστοῦ·

Οὐ τοῖς κούφοις ὁ δρόμος,
καὶ οὐ τοῖς δυνατοῖς ὁ πόλεμος,
καί γε οὐ τοῖς σοφοῖς ὁ ἄρτος,
καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος,
καί γε οὐ τοῖς γινώσκουσι χάρις,
ὅτι καιρὸς καὶ συνάντημα συναντήσεται τοῖς πᾶσιν αὐτοῖς·
καί γε οὐκ ἔγνω ἄνθρωπος τὸν καιρὸν αὐτοῦ.

## I 1607 / C cap. Σ 1, 9

Ἀμὼς προφήτου·

Τάδε λέγει κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν

---

**3 – 4** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 4.4./4. (ed. Ihm, p. 81); 66.3c./37.-. (p. 968)

---

**3 – 4 I 1605** Prov. 21, $31^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 104) **7 – 13 I 1606** Eccle. 9, $11^{2}$–$12^{1}$ (Wahl, *Kohelet-Text*, p. 167) **16 – 974, 1 I 1607** Τάδε – μου] Am., re vera Mich. 3, 5 (Wahl, *Prophetenzitate*, p. 198–199)

---

**2 – 4 I 1605** C (251r[8]8–9); $V^{E}$ cap. Σ 8, 4; $V^{W}$ cap. Σ 8, 5; $V^{O}$ cap. Σ 8, 4; $V^{Ph}$ cap. Σ 8, 4; P cap. Σ 22, 5; E cap. 224, 4; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 340, 1–2 **6 – 13 I 1606** C (251r[9]10–15); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **15 – 974, 5 I 1607** C (251r[15]15–22); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1605** (a) C $V^{W}$ P Ἐκ] *om.* $V^{W}$ P (b) *s. a.* $V^{E}V^{Ph}$ E (c) *s. d.* $V^{O}$ **I 1607** Ἀμὼς] *scripsimus*, ἀμῶς $C^{a. c.}$, ἀμμὼς $C^{p. c. man. rec.}$

---

**3** ἐν ἡμέρᾳ] εἰς ἡμέραν $V^{W e corr.}$ P E *(LXX)* **12** συνάντημα] ἀπάντημα *LXX (sed cf. app. crit.)*

μου· Καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλαλήσουσιν κατ᾽ αὐτῶν πάντες αὐτοί, διότι οὐκ ἔσται ὁ ἐπακούσων αὐτῶν, ἐὰν μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν πνεύματι κυρίου καὶ κρίματος καὶ δυναστείας, τοῦ ἀπαγγεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ, καὶ Ἰσραὴλ τὰς ἁμαρτίας αὐτοῦ.

## I 1608 / C cap. Σ 1, 10

Ἀγγαίου προφήτου·

Ἐσπείρατε πολλὰ καὶ εἰσηνέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονήν, ἐπίετε καὶ οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετριμμένον. Ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένοντο ὀλίγα· καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. Ἐνεβάλετε εἰς κυψέλην, κριθῆς εἴκοσι σάτα, καὶ ἐγένοντο κριθῆς δέκα σάτα, καὶ εἰσεπορεύεσθε εἰς τὸ ὑπολήνιον ἀντλῆσαι πεντήκοντα μετρητάς, καὶ ἐγένοντο εἴκοσι.

## I 1609 / C cap. Σ 1, 11

Ἡσαΐου προφήτου·

Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; Ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν;

---

**1 – 5** Καταισχυνθήσονται – αὐτοῦ] Mich. 3, 7–8 (Wahl, *Prophetenzitate*, p. 199–200) **8 – 11 I 1608** Ἐσπείρατε – τετριμμένον] Agg. 1, 6 (Wahl, *Prophetenzitate*, p. 249) **11 – 12** Ἐπεβλέψατε – αὐτά] Ibid. 1, 9 (Wahl, p. 249) **12 – 15** Ἐνεβάλετε – εἴκοσι] Ibid. 2, 16 (Wahl, p. 250) **18 – 19 I 1609** Is. 10, 15 (Wahl, *Prophetenzitate*, p. 324)

---

**7 – 15 I 1608** C (251r[23]23–251v2); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **17 – 19 I 1609** C (251v[3]3–5); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**2** καταλαλήσουσιν] *correximus (LXX)*, καταλαλήσωσιν C **5** ἰακώβ C **11** τετριμμένον] τετρυπημένον *LXX (sed cf. app. crit.)*

## I 1610 / C cap. Σ 1, 12

Ἱερεμίου προφήτου·

Οἶδα, κύριε, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἀνὴρ πορεύσεται καὶ κατορθώσει πορείαν αὐτοῦ.

## I 1611 / C cap. Σ 1, 13

Τοῦ αὐτοῦ·

Οὕτως εἶπεν κύριος ὁ θεὸς Ἰσραήλ· Ἐγὼ ἐποίησα τὴν γῆν ἐν τῇ ἰσχΰϊ μου τῇ μεγάλῃ καὶ τῷ βραχίονί μου τῷ ὑψηλῷ, καὶ δώσω αὐτήν, ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου.

## I 1612 / C cap. Σ 1, 14

Τοῦ Σιράχ·

Ἐν προστάγματι κυρίου, πᾶσα εὐδοκία,
καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ.

---

**3 – 4 I 1610** Ier. 10, 23 (Wahl, *Prophetenzitate*, p. 521–522) **7 – 9 I 1611** Ier. 34, 3–4 (Wahl, *Prophetenzitate*, p. 562–563) **12 – 13 I 1612** Sir. 39, $18^{1-2}$ (Wahl, *Sirach-Text*, p. 155)

---

**2 – 4 I 1610** C (251v[5]5–7); $V^{E}$ cap. Σ 8, 5; $V^{W}$ cap. Σ 8, 6; $V^{O}$ cap. Σ 8, 5; $V^{Ph}$ cap. Σ 8, 5; P cap. Σ 22, 6; E cap. 224, 5; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 340, 3–5 **6 – 9 I 1611** C (251v[7]7–10); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **11 – 13 I 1612** C (251v[10]11–12); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

---

**I 1610** ἰερε $V^{O}$, ϊηρεμίου P, ἥερεμ E προφήτου] *om.* V P

---

**3** οὐχὶ – ἀνθρώπου] οὐκ ἐν ἀνθρώπω $V^{E}V^{O}V^{Ph}$, οὐκ ἐν τῶι ἀνθρώπωι E, οὐχὶ *(*-ι P*)* τῶ *(*τω P*)* ἀνθρώπω $V^{W}$ P **3 – 4** πορεύεται $V^{W\,a.c.}$ P E **4** καὶ] *om.* $V^{O}$ κατορθώσεται *(*-θω- P*)* V P, κατορθοῖ E πορίαν $C^{a.c.}$ $V^{W\,a.c.\,ut\,videtur}$ P

## I 1613 / C cap. Σ 1, 15

Τοῦ αὐτοῦ·

Ἔστιν κοπιῶν καὶ πονῶν καὶ σπεύδων,
καὶ τόσῳ μᾶλλον ὑστερεῖται·
καὶ ἔστιν νωθρός, προσδεόμενος ἀντιλήψεως,
ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ περισσεύων,
καὶ ὀφθαλμὸς κυρίου ἐπέβλεψεν ἐπ᾽ αὐτῷ εἰς ἀγαθά,
καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ,
καὶ ἀνύψωσεν κεφαλὴν αὐτοῦ,
καὶ ἀπεθαύμασαν ἐπ᾽ αὐτῷ πολλοί.

## I 1614 / C cap. Σ 1, 16

Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου·

Εἶπεν ὁ κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος καρπὸν πολὺν φέρει, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ἀφ᾽ ἑαυτῶν ποιεῖν οὐδέν.

---

**3 – 10 I 1613** Sir. 11, $11^{1}$–$13^{2}$ (Wahl, *Sirach-Text*, p. 77) **13 I 1614** Εἶπεν – μαθηταῖς] cf. Ioh. 14, 23 **13 – 15** Ὁ – οὐδέν] Ibid. 15, 5

---

**2 – 10 I 1613** C (251v[12]12–18); $V^{E}$ cap. Σ 8, 6; $V^{W}$ cap. Σ 8, 7; $V^{O}$ cap. Σ 8, 6; $V^{Ph}$ cap. Σ 8, 6; P cap. Σ 22, 7; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ E R **12 – 15 I 1614** C (251v [19]19–22); R cap. Σ 21, 5; *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E

---

**I 1613** (a) C (b) Σιράχ V P **I 1614** εὐαγγελίου] *om.* R

---

**3** καὶ[1]] *om.* V P πόνων P **4** τόσῳ μᾶλλον] τὸ μᾶλλον $C^{a.\,c.}$ $V^{E\,a.\,c.}$, τοσωμαμαλλον P **6** ἰσχύει *(*ϊ- P*)* $V^{W}$ P περισσεύων] -ων *e corr.* $V^{W}$, περισσεύει *(*-σευ- P*)* $V^{E}V^{Ph}$ P, περϊσεύειν $V^{O}$ **7** αὐτὸν C **9** ὕψωσεν C κεφαλὴν] *praem.* τὴν $V^{E}V^{O}V^{Ph}$ **10** ἐπεθαύμασαν $V^{W\,a.\,c.}$, ἐθαύμασεν C **14 – 15** ἀφ᾽ ἑαυτῶν] *om.* R *(NT)*

## I 1615 / C cap. Σ 1, 17

Ἐκ τοῦ αὐτοῦ·

Εἶπεν ὁ κύριος· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.

## I 1616 / C cap. Σ 1, 18

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.

## I 1617 / C cap. Σ 1, 19

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν·

Χωρὶς τῆς παρὰ τοῦ θεοῦ ἀφέσεως ἐπιδιδόναι τινὰ ἑαυτὸν τῷ κατ' ἀρετὴν βίῳ, ἀμήχανον.

---

**3 – 4 I 1615** Ioh., re vera Matth. 15, 13 **7 I 1616** Rom. 9, 16 **10 – 11 I 1617** (Ps.-)Basilius Caesariensis, *Enarratio in prophetam Isaiam*, I, 34 (PG 30, 188, 30–32)

---

**2 – 4 I 1615** C (251v[22]23–24); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **6 – 7 I 1616** C (251v[24–25]25–26); $V^{E}$ cap. Σ 8, 7; $V^{W}$ cap. Σ 8, 8; $V^{O}$ cap. Σ 8, 7; $V^{Ph}$ cap. Σ 8, 7; P cap. Σ 22, 8; E cap. 224, 6; R cap. Σ 21, 6; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 340, 13–14 **9 – 11 I 1617** C (251v[26–27]27–29); $V^{E}$ cap. Σ 8, 8; $V^{W}$ cap. Σ 8, 9; $V^{O}$ cap. Σ 8, 8; $V^{Ph}$ cap. Σ 8, 8; P cap. Σ 22, 9; E cap. 224, 7; R cap. Σ 21, 7; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 340, 15–16

---

**I 1616** (a) C (b) Πρὸς Ῥωμαίους $V^{E}V^{O}V^{Ph}$ P R ρωμαιους P (c) Ἀποστόλου $V^{W}$ E
**I 1617** (a) C P R Τοῦ ἁγίου] *om.* P ἐκ τοῦ] *om.* P (b) Βασιλείου V E

---

**10** τοῦ] *om.* V P E R

## I 1618 / C cap. Σ 1, 20

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ εἰς τὴν νέαν Κυριακήν·

Παρὰ θεοῦ πᾶν ἀνθρώποις τὸ κατορθούμενον.

## I 1619 / C cap. Σ 1, 21

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ εἰς τὸ *Οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ·*

Τὸ ἑλέσθαι τὰ κάλλιστα καὶ βουληθῆναι καὶ σπουδάσαι, καὶ πάντα ὑπομεῖναι πόνον, τῆς ἡμετέρας ἐστὶ προθέσεως, τὸ δὲ εἰς τέλος ἀγαγεῖν αὐτά, καὶ μὴ συγχωρῆσαι διαπεσεῖν, καὶ πρὸς αὐτὸ τὸ πέρας ἐλθεῖν τῶν κατορθωμάτων, τῆς ἄνωθεν ἐστὶν χάριτος. Ἐμερίσατο γὰρ πρὸς ἡμᾶς τὴν ἀρετὴν ὁ θεός, καὶ οὔτε ἐφ᾽ ἡμῖν ἀφῆκεν εἶναι τὸ πᾶν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐπαιρώμεθα, οὔτε αὐτὸς τὸ πᾶν ἔλαβεν, ἵνα μὴ εἰς ῥαθυμίαν ἀποκλίνωμεν, ἀλλ᾽ ὀλίγον ἀφεὶς ἐπὶ τοῖς ἡμετέροις πόνοις, τὸ πλέον αὐτὸς κατορθοῖ.

---

**4 I 1618** GREGORIUS NAZIANZENUS, *In novam Dominicam (Orat. 44)*, 8 (PG 36, 616, 42–43) **8 – 15 I 1619** IOHANNES CHRYSOSTOMUS, *In illud:* Domine, non est in homine *(Ier. 10, 23)*, 4 (PG 56, 160, 19–28)

---

**2 – 4 I 1618** C (251v[29–30]30–252r1); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **6 – 15 I 1619** C (252r[1–2]2–14); $V^{E}$ cap. Σ 8, 9; $V^{W}$ cap. Σ 8, 10; $V^{O}$ cap. Σ 8, 9; $V^{Ph}$ cap. Σ 8, 9; P cap. Σ 22, 10; E cap. 224, 8; R cap. Σ 21, 8; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 340, 17–26

---

**I 1619** (a) C R Τοῦ – Ἰωάννου] *om.* R ἐκ τοῦ] *om.* C τὸ] *om.* R (b) Τοῦ Χρυσοστόμου, ἐκ τοῦ *Οὐκ ἐν ἀνθρώπῳ* P (c) Τοῦ Χρυσοστόμου V E Τοῦ] *om.* $V^{W}V^{Ph}$ E

---

**9** ὑπομένειν C **10** αὐτὸ] αὐτὸν $V^{O}$ **11** τῆς] τὴν $V^{O}$ **11 – 12** Ἐμερίσατο] ἐμετριάσατο *(*-α- P*)* $V^{W\ \text{a. c. ut videtur}}$ P **12 – 13** ἀφῆκεν] *om.* E **13** ἐπερώμεθα *(*-ω- P*)* $V^{W}$ P **14** ῥαθυμίας $V^{E}$ **15** πλεῖον C $V^{W}$

## I 1620 / C cap. Σ 1, 22

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τοῦ περὶ μαρτυρίας·

Πάσης ἀγαθῆς ἡ καταρχὴ πράξεως ἐν τῇ ἡμετέρᾳ βουλῇ τὴν ὑπόστασιν κέκτηται, τὸ δὲ συμπέρασμα ἐν τῷ θεῷ.

## I 1621 / C cap. Σ 1, 23

Κλήμεντος Στρωματέως, ἐκ τοῦ Τίς ὁ σωζόμενος πλούσιος·

Βουλομέναις μὲν ὁ θεὸς ταῖς ἡμετέραις ψυχαῖς συνεπιπνεῖ· εἰ δὲ ἀποσταῖεν τῆς προθυμίας, καὶ τὸ δοθὲν ἐκ θεοῦ πνεῦμα συνεστάλη.

## <I suppl. 435 / V cap. Σ 8, 12>

---

**10 I suppl. 435** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1620** METHODIUS OLYMPIUS, *De martyrio*, locus non repertus, Frg. II (ed. Bonwetsch, p. 520, 6–7); Holl, n° 453 **7 – 9 I 1621** CLEMENS ALEXANDRINUS, *Quis dives salvetur (Marc. 10, 25–26)*, 21, 2 (ed. Stählin/Früchtel/Treu, p. 173, 18–20); Holl, n° 289

---

**2 – 4 I 1620** C (252r[14–15]15–17); $V^{E}$ cap. Σ 8, 10; $V^{W}$ cap. Σ 8, 11; $V^{O}$ cap. Σ 8, 10; $V^{Ph}$ cap. Σ 8, 10; P cap. Σ 22, 11; E cap. 224, 9; R cap. Σ 21, 9; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$; PG 96, 340, 27–29 **6 – 9 I 1621** C (252r[18–19]19–21); $V^{E}$ cap. Σ 8, 11; $V^{W}$ cap. Σ 8, 12; $V^{O}$ cap. Σ 8, 11; $V^{Ph}$ cap. Σ 8, 11; P cap. Σ 22, 12; E cap. 224, 10; *deest in* $H^{II}$ $H^{I}$ $M^{(lac.)}$ $L^{b}$ R; PG 96, 340, 30–32

---

**I 1620** (a) C (b) Τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων R (c) Μεθοδίου V P E **I 1621** (a) C (b) Κλήμεντος V P E

---

**3** ἡ καταρχὴ] *post* πράξεως *transpos.* E R **4** τῷ] *om.* V P E **7** ἐμπνεῖ C **8** ἀποσταῖεν] -αῖεν τις $V^{W\ e\ corr.}$, ἀποστῇ εν *(sic)* $V^{E}$, ἀποστε ἐν P, ἀποστῇεν $V^{Ph}$, ἀπογῇ ἐν $V^{O}$, ἀποστῶσι E **8 – 9** συνεστάλη] -η $V^{W\ e\ corr.}$, συνεστάλει *(-ει e corr.)* P, συνετάγη $V^{O}$

## I 1622 / C cap. Σ 1, 24

Νείλου ἀσκητοῦ·

Πᾶσα σπουδὴ μὴ τυχοῦσα τῆς τοῦ θεοῦ βοηθείας, ἐξ ἀνάγκης ἀτυχεῖ τοῦ τέλους.

## I 1623 / C cap. Σ 1, 25

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας·

Δέον παρὰ μὲν θεοῦ τὸ εἶναι λαβεῖν, παρ' ἑαυτοῦ δὲ τὸ ἀγαθὸν προσγενέσθαι λαβεῖν, συνεργοῦντος τοῦ θεοῦ. Βούλεται γὰρ ὁ θεὸς καὶ παρ' ἑαυτοῦ τὸν ἄνθρωπον ἔχειν τί, λογικὸν ὄντα, πρὸς ἔνδοξον παρρησίαν.

---

**3 – 4 I 1622** Nilus Monachus (Ancyranus?), *Epistulae*, II, 179 (PG 79, 292, 48–50) **7 – 10 I 1623** Titus Bostrensis, *Contra Manichaeos*, II, 16, 10–13 (ed. Roman/Schmidt, p. 127 = Extrait 2 [ed. Declerck, p. CXXVIII])

---

**2 – 4 I 1622** C (252r[21]22–23); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R **6 – 10 I 1623** C (252r[23–24]24–28); *deest in* $H^{II}$ V $H^{I}$ $PM^{(lac.)}$ $L^{b}$ E R

## Τίτλος β′ Περὶ τοῦ ἁγίου σταυροῦ προφητεῖαι.

## κδ′ Περὶ τοῦ ἁγίου σταυροῦ.

### I 1624 / C cap. Σ 2, 1

Δαυῒδ ἐν ψαλμῷ νθ′·

Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν
τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου,
ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.

### I 1625 / C cap. Σ 2, 2

Ἡσαΐου προφήτου·

Φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν.

---

**5 – 7 I 1624** Ps. 59, 6$^{1}$–7$^{1}$ **10 I 1625** Is. 8, 16 (Wahl, *Prophetenzitate*, p. 316)

---

**1 Titlos (a)** C (252r28–29) R **2 Titlos (b)** V$^{E}$V$^{O}$V$^{Ph}$ A$^{I\ pin}$; *deest in* H$^{I}$A$^{I\ txt}$; PG 96, 368, 21 **4 – 7 I 1624** C (252r[30]30–252v2); V$^{E}$ cap. Σ 24, 1; V$^{O}$ cap. Σ 24, 1; V$^{Ph}$ cap. Σ 24, 1; R cap. Σ 22, 1; *deest in* H$^{I}$; PG 96, 368, 22–23 **9 – 10 I 1625** C (252v[2–3]3–4); V$^{E}$ cap. Σ 24, 2; V$^{O}$ cap. Σ 24, 2; V$^{Ph}$ cap. Σ 24, 2; R cap. Σ 22, 2; *deest in* H$^{I}$; PG 96, 368, 24–25

---

**1 Titlos (a)** Τίτλος] *om.* R$^{pin}$ β′] κβ′ R τοῦ – σταυροῦ] σταυροῦ τοῦ σεβασμίου C$^{pin}$ **2 Titlos (b)** κδ′] κγ′ V$^{E\ pin}$V$^{O\ pin}$, *om.* V$^{Ph\ pin}$ *(*κγ′ *secund. ser.)*

---

**I 1624** (a) C (b) Ψαλμοῦ νθ′ R (c) Δαυῒδ V$^{E}$V$^{O}$V$^{Ph}$ **I 1625** ησαίου V$^{E}$ προφήτου] *om.* V$^{E}$V$^{O}$V$^{Ph}$ R

---

**6 – 7** τοῦ – ῥυσθῶσιν] ἕως R **7** ὅπως – σου] *om.* V$^{E}$V$^{O}$V$^{Ph}$

## I 1626 / C cap. Σ 2, 3

Ἰεζεκιὴλ προφήτου·

Εἶπεν κύριος πρὸς τὸν ἄνδρα τὸν ἐνδεδυμένον τὸν ποδήρη· Δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ τῶν κατοδυνωμένων ἐπὶ πάσαις ταῖς ἀδικίαις, καὶ διέλθετε μέσην τὴν Ἱερουσαλήμ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε καὶ μὴ ἐλεήσητε· πρεσβύτην καὶ νεανίσκον, καὶ γυναῖκας, καὶ νήπια θηλάζοντα, πάντας ἐξαλείψατε· ἐπὶ δὲ πάντας, ἐφ’ οὓς ἐστιν τὸ σημεῖον, μὴ ἐγγίσητε.

## I 1627 / C cap. Σ 2, 4

Σοφίας Σολομῶντος·

Εὐλόγηται ξύλον, δι’ οὗ γίνεται σωτηρία.

## I 1628 / C cap. Σ 2, 5

Ἐκ τῆς πρὸς Κορινθίους α′ ἐπιστολῆς·

Ὁ λόγος τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ ἐστιν.

---

**3 – 9 I 1626** Ez. 9, 3–6 (Wahl, *Prophetenzitate*, p. 620–621) **12 I 1627** Sap. 14, 7 **15 – 16 I 1628** I Cor. 1, 18

---

**2 – 9 I 1626** C (252v[4]5–14); $V^{E}$ cap. Σ 24, 3; $V^{O}$ cap. Σ 24, 3; $V^{Ph}$ cap. Σ 24, 3; *deest in* $H^{I}$ R; PG 96, 368, 26–33 **11 – 12 I 1627** C (252v[15]15–16); $V^{E}$ cap. Σ 24, 4; $V^{Ph}$ cap. Σ 24, 4; R cap. Σ 22, 3; *deest in* $V^{O}$ $H^{I}$ **14 – 16 I 1628** C (258v[16]17–19); R cap. Σ 22, 4; *deest in* $V^{E}V^{O}V^{Ph}$ $H^{I}$

---

**I 1626** ἰεζεκιήλ $V^{E}V^{O}V^{Ph}$ προφήτου] *om.* $V^{E}V^{O}V^{Ph}$ **I 1627** (a) C R (b) Βασιλείου $V^{E}$ (c) *s. a.* $V^{Ph}$ **I 1628** (a) C (b) Πρὸς Κορινθίους R

---

**3** τὸν$^{1}$] *om.* C **5** τῶν] *om.* $V^{Ph}$ κατοδυνομένων $V^{E}V^{O}V^{Ph}$ **6** φείδεσθαι $V^{E}V^{O}V^{Ph}$ ἐλεήσετε $V^{E}V^{O\,p.c.}$ $V^{Ph}$, ἐλεήσεται $V^{O\,a.c.}$ **7** καὶ$^{2}$] *om.* C καὶ$^{3}$] *om.* C **8** ἐφ’ – ἐστιν] ἐφοὺς ἐστὶ $V^{E}V^{O}$, ἐφ’ οὓς $V^{Ph}$ **9** ἐγγίσετε $V^{E}V^{O}$ **12** εὐλογεῖται R, εὐλογεῖτε $V^{E}V^{Ph}$, εὐλογεῖ$^{τ}$ R **15** λόγος] *add.* ὁ R *(NT, sed cf. app. crit.)* **16** θεοῦ ἐστιν] θεοῦ R

## I 1629 / C cap. Σ 2, 6

Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς·

Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ.

## <I suppl. 436–438 / V cap. Σ 24, 5–7>

**6 I suppl. 436–438** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3 – 5 I 1629** Gal. 6, 14

**2 – 5 I 1629** C (252v[19]20–22); R cap. Σ 22, 5; *deest in* $V^{E}V^{O}V^{Ph}$ $H^{I}$

**I 1629** (a) C (b) Πρὸς Γαλάτας R

# (Στοιχεῖον Τ)

# Στοιχεῖον Υ

**Τίτλος α′ Περὶ ὑποσχέσεων καὶ συντάξεων καὶ ἀπαρχῶν ἀφιερωμένων θεῷ, καὶ ὅτι χρὴ πληροῦν αὐτά.**

**ι′ Περὶ ὑποσχέσεων καὶ συντάξεων, καὶ ὡς χρὴ πληροῦν αὐτάς.**

## I 1630 / C cap. Υ 1, 1

Τῆς Ἐξόδου·

Ἀπαρχὰς ἅλωνός σου καὶ ληνοῦ σου οὐ καθυστερήσεις.

## I 1631 / C cap. Υ 1, 2

Τῆς αὐτῆς·

Οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός.

---

**3 – 4** Περὶ – αὐτά] cf. I / C$^{\text{pin}}$ Παραπομπὴ Σ 2 (SJD VIII/1) et II$^{1}$ / K$^{\text{pin}}$ Παραπομπὴ Σ 6 (SJD VIII/4)

---

**9 I 1630** Ex. 22, 29 **12 I 1631** Ex. 23, 15

---

**2 Stoicheion** C$^{\text{txt}}$ (252v23) C$^{\text{pin}}$ **3 – 4 Titlos (a)** C (252v23–25) A$^{\text{II pin}}$ R$^{\text{txt}}$; *deest in* H$^{\text{II}}$A$^{\text{II txt}}$ R$^{\text{pin}}$ **5 – 6 Titlos (b)** V A$^{\text{I pin}}$; *deest in* H$^{\text{I}}$A$^{\text{I txt}}$; PG 96, 380, 39–40 **8 – 9 I 1630** C (252v[26]26–27); R cap. Υ 19, 1; *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$ **11 – 12 I 1631** C (252v[27]27–28); R cap. Υ 19, 2; *deest in* H$^{\text{II}}$ V H$^{\text{I}}$

---

**1** (Στοιχεῖον Τ)] *deest in eis quae libri I supersunt* **3 – 4 Titlos (a) 3** Τίτλος] *om.* A$^{\text{II pin}}$ α′] ιθ′ R$^{\text{txt}}$, *propt. mg. resect. non liquet in* A$^{\text{II pin}}$ *(α′ secund. ser.)* **3 – 4** καὶ$^{2}$ – θεῷ] πρὸς θεόν C$^{\text{pin}}$ **4** αὐτάς C$^{\text{pin}}$ **5 – 6 Titlos (b) 5** ι′] τίτλος ι′ V$^{\text{W}}$, *propt. mg. resect. non liquet in* A$^{\text{I pin}}$ *(ι′ secund. ser.)*, *om.* V$^{\text{Ph pin}}$ *(ι′ secund. ser.)* ὑποσχέσεως V$^{\text{Ph txt}}$ συντάξεως V$^{\text{Ph txt}}$, συνάξεων V$^{\text{W}}$ ὡς χρὴ] ὅτι δεῖ V$^{\text{E pin}}$ V$^{\text{O pin}}$ V$^{\text{Ph pin}}$ πληροῖν V$^{\text{E pin}}$ V$^{\text{Ph pin a. c. ut videtur}}$, πληρεῖν V$^{\text{O pin}}$, πληροῦσιν V$^{\text{O txt}}$ **5 – 6** αὐτάς] *add.* ὡς χρὴ μετὰ ἀληθείας V$^{\text{E pin}}$ V$^{\text{O pin}}$ V$^{\text{Ph pin}}$

---

**I 1630** Τῆς] *om.* R **I 1631** (a) C (b) *s. d.* R

---

**9** ἅλωνός σου C

## I 1632 / C cap. Υ 1, 3

Τῆς αὐτῆς·

Ἀπαρχὰς τῶν πρωτογενημάτων τῆς γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ σου.

## I 1633 / C cap. Υ 1, 4

Ἀπὸ τοῦ Λευϊτικοῦ·

Πᾶσα δεκάτη τῆς γῆς σου ἀπὸ τοῦ σπέρματος τῆς γῆς καὶ ἀπὸ τοῦ καρποῦ τοῦ ξύλου τῷ κυρίῳ ἐστὶν ἅγιον.

## I 1634 / C cap. Υ 1, 5

Ἀπὸ τῶν Ἀριθμῶν·

Τὸ ἐκπορευόμενον ἀγαθὸν ἐκ τοῦ στόματος ὑμῶν ποιήσατε.

## <I suppl. 439 / V cap. Υ 10, 2>

**12 I suppl. 439** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3 – 4 I 1632** Ex. 23, 19 **7 – 8 I 1633** Lev. 27, 30 **11 I 1634** Num. 32, 24

**2 – 4 I 1632** C (252v[28]28–30); R cap. Υ 19, 3; *deest in* H$^{II}$ V H$^{I}$ **6 – 8 I 1633** C (252v[30]30–253r2); R cap. Υ 19, 4; *deest in* H$^{II}$ V H$^{I}$ **10 – 11 I 1634** C (253r[3]3–4); V$^{E}$ cap. Υ 10, 1; V$^{W}$ cap. Υ 10, 1; V$^{O}$ cap. Υ 10, 1; V$^{Ph}$ cap. Υ 10, 1; *deest in* H$^{II}$ H$^{I}$ R; PG 96, 380, 41–42

**I 1632** (a) C (b) *s. d.* R **I 1633** Ἀπὸ τοῦ] *om.* R **I 1634** Ἀπὸ τῶν] *om.* V

**3** τὸν] *om.* R **8** τοῦ κυρίου R

## I 1635 / C cap. Υ 1, 6

Ἀπὸ τοῦ Δευτερονομίου·

Ἐὰν εὔξῃ εὐχὴν κυρίῳ τῷ θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν, ὅτι ἐκζητῶν ἐκζητήσει κύριος ὁ θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία. Τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φύλαξον, καὶ ποιήσεις ὃν τρόπον ηὔξω τῷ θεῷ σου ὃ ἐλάλησας τῷ στόματί σου.

## I 1636 / C cap. Υ 1, 7

Τοῦ αὐτοῦ·

Οὐκ ὀφθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου κενός· ἕκαστος κατὰ τὴν δύναμιν τῶν χειρῶν ὑμῶν καὶ κατὰ τὴν εὐλογίαν κυρίου τοῦ θεοῦ σου, ἣν ἔδωκέν σοι.

## I 1637 / C cap. Υ 1, 8

Ἀπὸ τῶν Κριτῶν·

Καὶ εἶπεν Ἰεφθάε· Οἴμοι, θύγατερ, ἐμπεποδοστάτηκάς με, εἰς σκῶλον ἐγένου ἐν ὀφθαλμοῖς μου. Ἐγὼ δὲ περὶ σοῦ ἤνοιξα τὸ στόμα μου πρὸς κύριον, καὶ οὐ δυνήσομαι ἀποστρέψαι.

---

**3–5 I 1635** Ἐὰν – ἁμαρτία] Deut. 23, 21 (Wahl, *Deuteronomium-Text*, p. 141) **5–6** Τὰ – σου] Ibid. 23, 23 (Wahl, p. 141) **9–11 I 1636** Deut. 16, 16–17 (Wahl, *Deuteronomium-Text*, p. 130) **14–16 I 1637** Iud. 11, 35 (Wahl, *Richter-Text*, p. 33)

---

**2–6 I 1635** C (253r[5]5–10); V$^{E}$ cap. Υ 10, 3–4; V$^{W}$ cap. Υ 10, 3; V$^{O}$ cap. Υ 10, 3–4; V$^{Ph}$ cap. Υ 10, 3–4; R cap. Υ 19, 5; *deest in* H$^{II}$ H$^{I}$; PG 96, 380, 48 – 381, 4 **8–11 I 1636** C (253r[11]11–14); R cap. Υ 19, 6; *deest in* H$^{II}$ V H$^{I}$ **13–16 I 1637** C (253r[14]14–18); *deest in* H$^{II}$ V H$^{I}$ R

---

**I 1635** (a) C R Ἀπὸ] *om.* R (b) *s. a.* V$^{W}$ (c) Δευτερονομίου / *s. a.* V$^{E}$V$^{O}$V$^{Ph}$ *(cf. infra, app. crit. txt.)* **I 1636** (a) C (b) *s. d.* R

---

**3** αὐτῷ V$^{W\ a.c.}$ **4** ἐκζητῶν] *praem.* ὁ V$^{O}$ ἐκζητεῖ V$^{E}$V$^{O}$V$^{Ph}$ **4–5** ἔσται – σοὶ] ἔσται σοι R **5** ἁμαρτία] *hic caesura in* V$^{E}$V$^{O}$V$^{Ph}$ φύλαξαι V **6** ποιήσεις ὃν] ποίησον V$^{E}$V$^{O}$V$^{Ph}$ εὔξω V ὃ] καὶ ὃ R, δόμα, ὃ *LXX (sed cf. app. crit.)*

## I 1638 / C cap. Υ 1, 9

Βασιλειῶν α′·

Εἶπεν Ἄννα τῷ Ἡλί· Ἐν ἐμοί, κύριε, ζῇ ἡ ψυχή σου. Ἐγὼ ἡ γυνὴ ἡ καταστᾶσα μετὰ σοῦ ἐν τῷ προσεύξασθαι πρὸς κύριον· ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυξάμην, καὶ ἔδωκέν μοι κύριος τὸ αἴτημά μου, ὃ ᾐτησάμην παρ᾽ αὐτοῦ. Καὶ ἐγὼ κίχρημι αὐτὸν τῷ κυρίῳ πάσας τὰς ἡμέρας, ἃς ζῇ αὐτός, χρῆσιν τῷ κυρίῳ.

## I 1639 / C cap. Υ 1, 10

Δαυῒδ ἐν ψαλμῷ ξε′·

Ἀποδώσω σοι τὰς εὐχάς μου,
ἃς διέστειλεν τὰ χείλη μου,
καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ θλίψει μου.

## <I suppl. 440 / V cap. Υ 10, 6>

## I 1640 / C cap. Υ 1, 11

Ἐν ψαλμῷ ρ′·

Ποιοῦντας παραβάσεις ἐμίσησα.

---

**13 I suppl. 440** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 7 I 1638** I Reg. 1, 25–28 (Wahl, *1 Samuel-Text*, p. 43) **10 – 12 I 1639** Ps. 65, $13^2$–$14^2$ **16 I 1640** Ps. 100, $3^2$

---

**2 – 7 I 1638** C (253r[18]18–24); *deest in* H$^{II}$ V H$^{I}$ R **9 – 12 I 1639** C (253r[24–25] 25–27); V$^{E}$ cap. Υ 10, 5; V$^{W}$ cap. Υ 10, 4; V$^{Ph}$ cap. Υ 10, 5; R cap. Υ 19, 7; *deest in* H$^{II}$ V$^{O}$ H$^{I}$ **15 – 16 I 1640** C (253r[27]27–28); V$^{E}$ cap. Υ 10, 7; V$^{Ph}$ cap. Υ 10, 7; R cap. Υ 19, 8; *deest in* H$^{II}$ V$^{W}$V$^{O}$ H$^{I}$

---

**I 1639** (a) C (b) Ψαλμοῦ ξε′ R (c) Δαυῒδ V$^{E}$V$^{W}$V$^{Ph}$ **I 1640** (a) C (b) Ψαλμοῦ ρ′ R (c) *s. a.* V$^{E}$V$^{Ph}$

---

**3** Ἡλί] *scripsimus*, ἠλί C **11** διέστειλε V$^{E}$V$^{Ph}$, διέστειλαν V$^{W}$ R **12** καὶ – μου$^{2}$] *om.* V$^{W}$ μου$^{1}$ – μου$^{2}$] *om.* V$^{Ph}$ ἐν – μου$^{2}$] *om.* V$^{E}$

## <I suppl. 441 / V cap. ϒ 10, 8>

## I 1641 / C cap. ϒ 1, 12

Τοῦ Ἐκκλησιαστοῦ·

Καθὸ ἂν εὔξῃ εὐχὴν τῷ θεῷ,
μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν.
Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε
ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.

Ἀγαθὸν τὸ μὴ εὔξασθαί σε
ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.

## I 1642 / C cap. ϒ 1, 13

Τῶν Παροιμιῶν·

Παγὶς ἀνδρὶ ταχύ τι τῶν ἰδίων ἁγιάσαι·
μετὰ γὰρ τὸ εὔξασθαι, μετανοεῖν γίνεται.

---

**1 I suppl. 441** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**4–7 I 1641** ***Versio* C R** **4–5** Καθὸ – αὐτήν] Eccle. 5, $3^{1-2}$ (Wahl, *Kohelet-Text*, p. 156) **6–7** Ἀγαθὸν – ἀποδοῦναι] Ibid. 5, $4^{1-2}$ (Wahl, p. 156) **8–9 I 1641** ***Versio* V** Sir., re vera Eccle. 5, $4^{1-2}$ (Wahl, *Kohelet-Text*, p. 156) **12–13 I 1642** Prov. 20, $25^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 99)

---

**3–9 I 1641** C (253r[28]28–253v1); $V^{E}$ cap. ϒ 10, 9; $V^{W}$ cap. ϒ 10, 7; $V^{O}$ cap. ϒ 10, 6; $V^{Ph}$ cap. ϒ 10, 9; R cap. ϒ 19, 9; *deest in* $H^{II}$ $H^{I}$; PG 96, 381, 8–9 **11–13 I 1642** C (253v[1]2–3); *deest in* $H^{II}$ V $H^{I}$ R

---

**I 1641** (a) C R (b) Σιράχ V

---

**4** καθὼς *LXX (cf. etiam app. crit.)* θεῷ] κυρίωι R **5** τοῦ] *om.* R **6** τὸ] τοῦ C **9** τὸ] τοῦ $V^{W}$ εὔξασθαί σε] εὔξασθαι $V^{E}V^{O}V^{Ph}$

## I 1643 / C cap. Υ 1, 14

Τῶν αὐτῶν·

Τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων,
καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης,
ἵνα πίμπλαται τὰ ταμιεῖα σου πλησμονῆς σίτου,
οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν.

## I 1644 / C cap. Υ 1, 15

Ἰεζεκιὴλ προφήτου·

Ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν τοῖς ἱερεῦσιν ἔσται.

## I 1645 / C cap. Υ 1, 16

Τοῦ Σιράχ·

Πρὶν εὔξασθαι, ἑτοίμασον σεαυτόν,
καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν κύριον,
ὅτι κύριος ἐκζητῶν ἐκζητήσει.

## I 1646 / C cap. Υ 1, 17

Τοῦ αὐτοῦ·

Μὴ ὀφθῇς ἐνώπιον κυρίου κενός.

---

**3 – 6 I 1643** Prov. 3, $9^{1}$–$10^{2}$ (Wahl, *Proverbien-Text*, p. 27) **9 I 1644** Ez. 44, 30 (Wahl, *Prophetenzitate*, p. 671) **12 – 13 I 1645** Πρὶν – κύριον] Sir. 18, $23^{1-2}$ (Wahl, *Sirach-Text*, p. 96) **14** ὅτι – ἐκζητήσει] re vera Deut. 23, 21 (Wahl, *Deuteronomium-Text*, p. 141) **17 I 1646** Sir. 32, 6 (Wahl, *Sirach-Text*, p. 135)

---

**2 – 6 I 1643** C (253v[3]3–7); *deest in* $H^{II}$ V $H^{I}$ R **8 – 9 I 1644** C (253v[7]7–8); R cap. Υ 19, 10; *deest in* $H^{II}$ V $H^{I}$ **11 – 14 I 1645** C (253v[8]9–10); R cap. Υ 19, 11; *deest in* $H^{II}$ V $H^{I}$ **16 – 17 I 1646** C (253v[11]11); R cap. Υ 19, 12; *deest in* $H^{II}$ V $H^{I}$

---

**I 1644** προφήτου] *om.* R **I 1645** Τοῦ] *om.* R **I 1646** (a) C (b) *s. d.* R

---

**5** πίμπληται *LXX* **12** εὔξασθαι] εὔξασθαί σε R

## I 1647 / C cap. Υ 1, 18

Τοῦ αὐτοῦ·

Ἐν πάσῃ δόσει ἱλάρυνον τὸ πρόσωπόν σου,
καὶ ἐν εὐφροσύνῃ ἁγίασον.
Δὸς ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ,
ὅτι κύριος ἀνταποδιδούς ἐστιν ὑμῖν,
καὶ ἑπταπλάσια ἀνταποδώσει σοι.

## I 1648 / C cap. Υ 1, 19

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ τῆς χαλάζης·

Ὃς *ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ* τὸν πάντα δεδωκότα θεὸν ἀπεστέρησεν, γέγονεν ἀχάριστός τε ὁμοῦ καὶ ἀνόητος, οὔτε ὑπὲρ ὧν ἔσχεν εὐχαριστήσας, οὐδὲ τὸ μέλλον, εἰ μή τι ἄλλο, διὰ τῆς εὐγνωμοσύνης πραγματευσάμενος.

## I 1649 / C cap. Υ 1, 20

Τοῦ αὐτοῦ·

Ὥσπερ *ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ* καὶ τῶν τέκνων τοὺς ἀληθῶς φιλοτέκνους ἀνατιθέναι θεῷ δίκαιόν τε καὶ ὅσιον, ὅτι παρ᾽ αὐτοῦ καὶ ἡμεῖς αὐτοὶ καὶ τὰ ἡμέτερα, οὕτω καὶ νέας κληρονομίας,

---

**10** Ex. 22, 29 **16** Ibid.

---

**3 – 5 I 1647** Ἐν – αὐτοῦ] Sir. 32, 11[1]–12[1] (Wahl, *Sirach-Text*, p. 136) **6 – 7** ὅτι – σοι] Ibid. 32, 13[1–2] (Wahl, p. 136) **10 – 13 I 1648** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 18 (PG 35, 957, 42 – 960, 1) **16 – 991, 3 I 1649** Gregorius Nazianzenus, *Epistulae*, LXI, 1–2 (ed. Gallay, I, p. 78–79)

---

**2 – 7 I 1647** C (253v[11]12–15); R cap. Υ 19, 13; *deest in* H[II] V H[I] **9 – 13 I 1648** C (253v[15–16]16–20); R cap. Υ 19, 14; *deest in* H[II] V H[I] **15 – 991, 3 I 1649** C (253v[20]21–27); R cap. Υ 19, 15; *deest in* H[II] V H[I]

---

**I 1647** (a) C (b) *s. d.* R **I 1648** Τοῦ – Γρηγορίου] *om.* R **I 1649** (a) C (b) *s. d.* R

---

**4** *post* ἁγίασον *hab.* δεκάτην *LXX* **10** καὶ] ἢ R **12** οὔτε R **16** ἅλωνος C

<ἵνα> τὸ μέρος προθύμως δοθὲν παράσχῃ τῷ πλείονι ἀσφάλειαν. Μὴ τοίνυν ἀναμείνητε μετὰ πάντας γενέσθαι θεῷ χρηστοί, ἀλλὰ πρὸ πάντων θεῷ.

## I 1650 / C cap. Υ 1, 21

Τοῦ αὐτοῦ, ἐκ τῶν Ἐπῶν·

Δῶρον θεῷ κάλλιστόν ἐστιν ὁ τρόπος.
Κἂν πᾶν ἐνέγκῃς, οὐδὲν οἴσεις ἄξιον.
Ὃ καὶ πένης δίδωσι, τοῦτο πρόσφερε.
*Μίσθωμα πόρνης* ἁγνὸς οὐ μερίζεται.

## <I suppl. 442 / V cap. Υ 10, 10>

## I 1651 / C cap. Υ 1, 22

Φίλωνος, ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ὁ μὴ ἐκ προαιρέσεως ἀπάρχων θεῷ, κἂν τὰ μεγάλα πάντα κομίζῃ μετὰ τῶν βασιλικῶν θησαυρῶν, ἀπαρχὰς οὐ φέρει. Οὐ γὰρ ἐν ὕλαις, ἀλλ᾽ ἐν εὐσεβεῖ διαθέσει τοῦ κομίζοντος ἡ ἀληθὴς ἀπαρχή.

---

**6 – 8** Δῶρον – πρόσφερε] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 8.10./10. (ed. Ihm, p. 188) **9** Deut. 23, 18 **10 I suppl. 442** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**6 – 9 I 1650** Gregorius Nazianzenus, *Carmina*, I,2,33 *(Tetrastichae sententiae)*, 25–28 (PG 37, 930, 2–5) **13 – 15 I 1651** Philo Iudaeus, *Quaestiones in Exodum*, II. 50b (ed. Petit, p. 272)

---

**5 – 9 I 1650** C (253v[27]28–30); R cap. Υ 19, 16; *deest in* H$^{II}$ V H$^{I}$ **12 – 15 I 1651** C (254r[1–2]2–6); *deest in* H$^{II}$ V H$^{I}$ R

---

**I 1650** (a) C (b) *s. d.* R

---

**1** ἵνα] *supplevimus (ed.)*, *om.* C R τῷ πλείονι] πλείονα R **2** Μὴ] μήτε C γενέσθαι θεῷ] ἡμῖν γενέσθαι *ed.* **3** θεῷ] *om.* R **6** Δῶρον θεῷ] *scripsimus*, δῶρον θεοῦ C$^{txt}$, *(*δῶρον*)* θεῶ C$^{mg.}$, θεῶ δῶρον R κάλλιστον ἐστὶν R **7** πᾶν] πάντ᾽ *ed. (cf. etiam* I suppl. 96 / V cap. A 32, 12 [SJD VIII/3]*)* **13** ἀπάρχων] *sic* C *(f. l. pro* ἀπαρχόμενος*?)* μεγάλα] μέταλλα *coniec. Harris e vers. arm.* **14** βασιλειων C$^{mg.}$ **15** κομήζοντος C$^{a.\ c.\ man.\ rec.}$

## I 1652 / C cap. Υ 1, 23

Τοῦ αὐτοῦ, ἐκ τοῦ β′ τῶν ἐν Γενέσει ζητημάτων·

Τὸ εὐχαριστεῖν θεῷ καθ’ ἑαυτὸ ὀρθῶς ἔχον ἐστίν· τὸ δὲ μήτε πρώτῳ, μήτε ἐκ τῶν πρώτων ἀπαρχόμενον, ψεκτόν. Οὐ γὰρ δεῖ τὰ μὲν πρεσβεῖα ἐν τῇ γενέσει τιθέναι, τὰ δὲ δεύτερα τῷ δωρησαμένῳ προσφέρειν· ἥδε ἐστὶν ἐπίληπτος διαίρεσις, ἀταξίαν τινὰ τάξεως εἰσηγουμένη.

## I 1653 / C cap. Υ 1, 24

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν γιγάντων·

Τίνι εὐχαριστητέον πλὴν θεῷ; Διὰ τίνων δέ, εἰ μὴ διὰ τῶν ὑπ’ αὐτοῦ δοθέντων ἡμῖν; Οὐδὲ γὰρ ἄλλων εὐπορῆσαι δυνατόν. Χρήζων δὲ οὐδενός, κελεύει προσφέρειν αὐτῷ τὰ ἑαυτοῦ, δι’ ὑπερβολὴν τῆς πρὸς τὸ γένος ἡμῶν εὐεργεσίας. Μελετήσαντες γὰρ εὐχαρισ<τη>τικῶς καὶ τιμητικῶς ἔχειν, καθαρεύσωμεν ἀδικημάτων. Οὕτω ἡ Ἄννα τὸν Σαμουὴλ ἀντιδίδωσι τῷ δόντι, μηδὲν ἴδιον ἑαυτῆς κρίνασα ἀγαθόν. Ἔφη γάρ· *Δοτὸν ὄντα, δίδωμι αὐτὸν* τῷ δόντι θεῷ, κατὰ τὸ ἱερώτατον τοῦ νόμου πρόσταγμα, τὸ φάσκον· *Δῶρα μου, δόματά μου, καρπώματά μου διατηρήσατε προσφέρειν μοι.*

---

**16 – 17** Δοτὸν – θεῷ] cf. I Reg. 1, 28 **17 – 18** Num. 28, 2

---

**3 – 7 I 1652** PHILO IUDAEUS, *Quaestiones in Genesim*, I. 64b–d (ed. Petit, p. 62–63) **10 – 14 I 1653** Τίνι – ἀδικημάτων] PHILO IUDAEUS, *Quod deus sit immutabilis*, 7 (ed. Wendland, p. 57, 19 – 58, 5) **15 – 18** Οὕτω – μοι] IBID., 5–6 (p. 57, 10–19 [pluribus omissis])

---

**2 – 7 I 1652** C (254r[6]7–12); R cap. Υ 19, 17; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ V $\mathrm{H}^{\mathrm{I}}$ **9 – 18 I 1653** C (254r[12]13–24); R cap. Υ 19, 18; *deest in* $\mathrm{H}^{\mathrm{II}}$ V $\mathrm{H}^{\mathrm{I}}$

---

**I 1652** (a) C β′] *sic cod.*, α′ *exspectav.* (b) Φίλωνος R **I 1653** ἐκ – γιγάντων] *om.* R

---

**5** ἐν – τιθέναι] τὴν γένεσιν ἑαυτῇ *ed.* **5 – 6** δωρησαμένῳ] *add.* θεῷ R **6** ἥδε] *scrips. Petit*, ἡ δὲ C R ἐπιλήπτων $\mathrm{C}^{\mathrm{txt}}$, ἐπιληπτὸν $\mathrm{C}^{\mathrm{mg.}}$ **12** ἑαυτοῦ] αὐτοῦ C **13 – 14** εὐχαριστητικῶς] *scripsimus (ed.)*, ευχαριστητικως $\mathrm{C}^{\mathrm{mg.}}$, εὐχαριστικῶς $\mathrm{C}^{\mathrm{txt}}$ *(cf. etiam* *II$^{2}$1578 / T cap. E 49, 17 [SJD VIII/6]*)* R **15** οὔτως R ἄννα C σαμουῆλ C

## I 1654 / C cap. Υ 1, 25

Σχόλιον·

Δίελθε βιβλίῳ β′, εἰς τὸ Ε στοιχεῖον, τὸν Περὶ εὐχαριστίας τίτλον.

---

**3** Περὶ εὐχαριστίας] cf. *II$^{2}$1562–1578 / T cap. E 49, 1–17 (SJD VIII/6)

---

**3 I 1654** *Scholion*

---

**2 – 3 I 1654** C (254r[24]25–26); *deest in* H$^{II}$ V H$^{I}$ R

---

**3** τὸν – εὐχαριστίας] τον περι ευχης C$^{mg.}$

# Στοιχεῖον Φ

**Τίτλος α′ Περὶ φιλανθρωπίας καὶ ἀγαθότητος καὶ μακροθυμίας καὶ πραότητος θεοῦ, καὶ ὅτι κρεῖσσον *ἐμπεσεῖν εἰς χεῖρας* θεοῦ καὶ *μὴ εἰς χεῖρας ἀνθρώπων*.**

**β′ Περὶ φιλανθρωπίας θεοῦ καὶ ἀγαθότητος καὶ μακροθυμίας, καὶ ὅτι κρεῖττον *ἐμπεσεῖν εἰς χεῖρας* θεοῦ καὶ *μὴ εἰς χεῖρας ἀνθρώπων*.**

**ι′ Περὶ φιλανθρωπίας θεοῦ καὶ ἀγαθότητος καὶ μακροθυμίας.**

## I 1655 / C cap. Φ 1, 1

Τῆς Ἐξόδου·

Κύριος ὁ θεός σου οἰκτίρμων καὶ ἐλεήμων ἐστίν, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς καὶ δίκαιος.

---

**2 – 4** Περὶ – ἀνθρώπων] cf. I / C$^{pin}$ Παραπομπαὶ A 6 et E 4 (SJD VIII/1) **3 – 4** Sir. 2, 18$^{1-2}$ **5** Περὶ – θεοῦ] cf. V$^{pin}$ Παραπομπὴ A 13 **6 – 7** Sir. 2, 18$^{1-2}$

---

**11 – 12 I 1655** Ex. 34, 6–7

---

**1 Stoicheion** C$^{txt}$ (254r27) C$^{pin}$ **2 – 4 Titlos (a)** C (254r27–30) R **5 – 7 Titlos (b)** V; PG 96, 392, 34–37 **8 Titlos (c)** PML$^{b\ pin}$ E$^{txt}$; *deest in* L$^{b\ txt}$ E$^{pin\ (lac.)}$ **10 – 12 I 1655** C (254v[1]1–3); V$^{E}$ cap. Φ 2, 1; V$^{W}$ cap. Φ 2, 1; V$^{O}$ cap. Φ 2, 1; V$^{Ph}$ cap. Φ 2, 1; P cap. Φ 10, 1; M cap. Φ 10, 1; E cap. 257, 1; R cap. Φ 12, 1; *deest in* L$^{b}$; PG 96, 392, 38–40

---

**1 Stoicheion** Φ] *scripsimus*, φῖ C **2 – 4 Titlos (a) 2** Τίτλος] *om.* R$^{pin}$ α′] ιβ′ R **3** καὶ πραότητος] *om.* C$^{pin}$ **3 – 4** καὶ$^{2}$ – ἀνθρώπων] *om.* C$^{pin}$ **5 – 7 Titlos (b) 5** β′] τίτλος β′ V$^{W\ txt}$, *om.* V$^{Ph\ pin}$ *(β′ secund. ser.)* **6** εἰς$^{1}$] *om.* V$^{O\ txt}$ μὴ] *om.* V$^{O\ pin}$ **8 Titlos (c)** ι′] σνζ′ E$^{txt}$ θεοῦ – μακροθυμίας] *om.* M$^{pin}$

---

**I 1655** Τῆς] *praem.* ἀπο *(sic)* M, *om.* V P

---

**11** θεός σου] θεὸς M ἐλεήμων ἐστίν] ἐλεήμων *(*-η- M*)* PM E R

## I 1656 / C cap. Φ 1, 2

Βασιλειῶν β′·

Ῥῆμα κυρίου ἐγένετο πρὸς Γὰδ τὸν ὁρῶντα, λέγων· Πορεύου, καὶ λαλήσεις πρὸς Δαυΐδ, λέγων· Ἔκλεξαι σεαυτῷ γενέσθαι ἢ τρία ἔτη λιμὸν ἐπὶ τὴν γῆν, ἢ τρεῖς μῆνας φεύγειν σε ἐκ προσώπου τῶν ἀλλοφύλων, καὶ αὐτοὺς καταδιώκοντάς σε, ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου. Καὶ νῦν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με ῥῆμα. Καὶ εἶπεν Δαυΐδ πρὸς Γάδ· Στενά μοι πάντοθεν σφόδρα ἐστὶν καὶ τὰ τρία· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. Καὶ ἔδωκεν κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἀπέθανον ἐκ τοῦ λαοῦ, ἀπὸ Δὰν ἕως Βηρσαβεέ, ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. Καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ θεοῦ τὴν χεῖρα αὐτοῦ ἐπὶ Ἱερουσαλήμ, τοῦ διαφθεῖραι ἐν αὐτῇ, καὶ παρεκλήθη κύριος ἐπὶ τῇ κακίᾳ, καὶ εἶπεν τῷ ἀγγέλῳ· Ἱκανόν· ἄνες τὴν χεῖρά σου.

## <I suppl. 443–444 / V cap. Φ 2, 3–4>

**17 I suppl. 443–444** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**3–16 I 1656** II Reg. 24, 11–16 (Wahl, *2 Samuel-Text*, p. 98–99)

**2–16 I 1656** C (254v[3]3–22); $V^{E}$ cap. Φ 2, 2; $V^{W}$ cap. Φ 2, 2; $V^{O}$ cap. Φ 2, 2; $V^{Ph}$ cap. Φ 2, 2; P cap. Φ 10, 2; M cap. Φ 10, 2; E cap. 257, 2; R cap. Φ 12, 2; *deest in* $L^{b}$; PG 96, 392, 41 – 393, 2

**I 1656** β′] α′ P E R, *om.* $V^{W}V^{O}$ M

**3** γαδ PM  λέγον E R  **3–4** Πορεύου – λέγων] *om.* R  **4** λαλησον M  ἢ] εἰ ἔλθῃ σοι *LXX*  **5** τρεῖς μῆνας] τρια ἐτη M  φυγεῖν σε $V^{W}$ P E, φυγην σε M  ἐκ] ἀπὸ C R  **6** καταδιώκοντά σε $V^{Ph}$  γενέσθαι] *post* ἡμέρας *transpos.* C R  **7** ἐν – γῇ] επι την γῆν M  γῇ σου] γῆ V PM, γῆι E  **7–8** Καὶ – ῥῆμα] καὶ εἶπε ταῦτα Δαυΐδ R, *om.* V PM E  **8** πρὸς Γάδ] προς γαδ M, *om.* P  **9** δὴ] δὲ C PM E R, μᾶλλον $V^{W\ e\ corr.}$  **10** ἀνθρώπου M  **11** δέδωκεν C  κύριος] *add.* ὁ θεὸς E  **12** ὥρας] *om.* $V^{E}V^{O}V^{Ph}$ E  καὶ[1] – λαῷ] *om.* V PM E  ἀπεθανεν *(sic)* M  **13** δᾶν $V^{W}$, δαν P, αδαδ M  ἕως] *praem.* καὶ R *(LXX)*  ἑβδομήκοντα] ο′ $V^{W}$ P  χιλιάδων $V^{W}$, χιλιαδῶν P, χηλιαδων M  ἀνδρῶν] *om.* P E  **14** τοῦ θεοῦ] *om.* $V^{E}V^{O}V^{Ph}$  χεῖραν $V^{O}$  **14–15** ἰσραήλ $V^{W\ e\ corr.}$ PM E  **15** ἐν αὐτῇ] αὐτὴν R *(LXX)*  παρεκλίθη P, παρεβλήθη $V^{O}$  **16** Ἱκανόν] ἵκανον εστιν M  ἄνες] ἄπες *(sic)* E

## I 1657 / C cap. Φ 1, 3

Δαυῒδ ἐν ψαλμῷ κδʹ·

Μνήσθητι τῶν οἰκτιρμῶν σου, κύριε,
καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνος εἰσίν.

## I 1658 / C cap. Φ 1, 4

Ἐν ψαλμῷ λʹ·

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, κύριε,
ἧς ἔκρυψας τοῖς φοβουμένοις σε,
ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σέ.

## I 1659 / C cap. Φ 1, 5

Ἐν ψαλμῷ λβʹ·

Τοῦ ἐλέους κυρίου, πλήρης ἡ γῆ.

---

**3 – 4 I 1657** Ps. 24, $6^{1-2}$ **7 – 9 I 1658** Ps. 30, $20^{1-3}$ **12 I 1659** Ps. 32, $5^{2}$

---

**2 – 4 I 1657** C (254v[22]22–24); $V^{E}$ cap. Φ 2, 5; $V^{W}$ cap. Φ 2, 4; $V^{O}$ cap. Φ 2, 5; $V^{Ph}$ cap. Φ 2, 5; P cap. Φ 10, 5; M cap. Φ 10, 5; R cap. Φ 12, 5; *deest in* $L^{b}$ E; PG 96, 393, 7 **6 – 9 I 1658** C (254v[24]24–27); $V^{E}$ cap. Φ 2, 6; $V^{O}$ cap. Φ 2, 6; $V^{Ph}$ cap. Φ 2, 6; P cap. Φ 10, 6; M cap. Φ 10, 6; E cap. 257, 4; R cap. Φ 12, 6; *deest in* $V^{W}$ $L^{b}$; PG 96, 393, 7–8 **11 – 12 I 1659** C (254v[27]27–28); $V^{E}$ cap. Φ 2, 7; $V^{W}$ cap. Φ 2, 5; $V^{O}$ cap. Φ 2, 7; $V^{Ph}$ cap. Φ 2, 7; P cap. Φ 10, 7; M cap. Φ 10, 7; E cap. 257, 5; R cap. Φ 12, 7; *deest in* $L^{b}$; PG 96, 393, 9

---

**I 1657** (a) C (b) Ψαλμοῦ κδʹ PM R ψαλμος P (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1658** (a) C (b) Ψαλμοῦ λʹ PM R (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E **I 1659** (a) C (b) Ψαλμοῦ λβʹ PM R Ψαλμοῦ] *om.* P (c) Τοῦ αὐτοῦ $V^{W}$ (d) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E

---

**4** καὶ – εἰσίν] *om.* V P **8 – 9** ἧς – σέ] και τα λοιπα P, *om.* $V^{E}V^{O}V^{Ph}$ M E R **9** ἐξηργάσω $C^{a.c.}$ **12** ἐλέους κυρίου] ἐλέους σου κύριε *(cf. Ps. 118, 64*[1]*)* $V^{W}$ E

## I 1660 / C cap. Φ 1, 6

Ἐν ψαλμῷ λε'·

Ἀνθρώπους καὶ κτήνη σώσεις, κύριε·
ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ θεός.

## I 1661 / C cap. Φ 1, 7

Ἐν ψαλμῷ ος'·

Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος,
ἢ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;
Μὴ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει;
Συνετέλεσεν ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;
Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεός,
ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;

## I 1662 / C cap. Φ 1, 8

Ἐν ψαλμῷ πε'·

Σύ, κύριε, χρηστὸς καὶ ἐπιεικὴς
καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

---

**3 – 4 I 1660** Ps. 35, $7^{3}$–$8^{1}$ **7 – 12 I 1661** Ps. 76, $8^{1}$–$10^{2}$ **15 – 16 I 1662** Ps. 85, $5^{1-2}$

---

**2 – 4 I 1660** C (254v[28]28–29); $V^{E}$ cap. Φ 2, 8; $V^{O}$ cap. Φ 2, 8; $V^{Ph}$ cap. Φ 2, 8; P cap. Φ 10, 8; M cap. Φ 10, 8; *deest in* $V^{W}$ $L^{b}$ E R; PG 96, 393, 10–11 **6 – 12 I 1661** C (254v[30]30–255r5); *deest in* V PM$L^{b}$ E R **14 – 16 I 1662** C (255r[5]5–6); $V^{E}$ cap. Φ 2, 9; $V^{O}$ cap. Φ 2, 9; $V^{Ph}$ cap. Φ 2, 9; P cap. Φ 10, 9; M cap. Φ 10, 9; E cap. 257, 6; *deest in* $V^{W}$ $L^{b}$ R; PG 96, 393, 12–13

---

**I 1660** (a) C (b) Ψαλμοῦ λε' PM ψαλμὸς M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1662** (a) C (b) Ψαλμοῦ πε' PM πε'] ρβ' M (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E

---

**3** σώση $V^{O\,a.\,c.}$, σώσει $V^{O\,p.\,c.}$ **4** ἔλεός – θεός] ἔλεος $V^{E}V^{O}V^{Ph}$ **11** οἰκτειρῆσαι] *sic* C **16** πᾶσι – σε] *om.* P E τοῖς – σε] *om.* $V^{E}V^{O}V^{Ph}$

## I 1663 / C cap. Φ 1, 9

Ἐκ τοῦ αὐτοῦ·

Σύ, κύριε ὁ θεός μου, οἰκτίρμων καὶ ἐλεήμων,
μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

## I 1664 / C cap. Φ 1, 10

Ἐν ψαλμῷ πη′·

Τὰ ἐλέη σου, κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι,
εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ
[στόματί μου,
ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται.

## I 1665 / C cap. Φ 1, 11

Ἐν ψαλμῷ ρβ′·

Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος·
οὐκ εἰς τέλος ὀργισθήσεται,
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ·
οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν,
οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν,
ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς

---

**3 – 4 I 1663** Ps. 85, $15^{1–2}$ **7 – 10 I 1664** Ps. 88, $2^{1}$–$3^{1}$ **13 – 999, 5 I 1665** Ps. 102, $8^{1}$–$13^{2}$

---

**2 – 4 I 1663** C (255r[7]7–8); $V^{E}$ cap. Φ 2, 10; $V^{O}$ cap. Φ 2, 10; $V^{Ph}$ cap. Φ 2, 10; P cap. Φ 10, 10; *deest in* $V^{W}$ $ML^{b}$ E R; PG 96, 393, 13–14 **6 – 10 I 1664** C (255r[9] 9–12); *deest in* V $PML^{b}$ E R **12 – 999, 5 I 1665** C (255r[12]13–22); $V^{E}$ cap. Φ 2, 11; $V^{O}$ cap. Φ 2, 11; $V^{Ph}$ cap. Φ 2, 11; P cap. Φ 10, 11; M cap. Φ 10, 10; R cap. Φ 12, 8; *deest in* $V^{W}$ $L^{b}$ E; PG 96, 393, 15–16

---

**I 1663** (a) C (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ P **I 1665** (a) C (b) Ψαλμοῦ ρβ′ PM R Ψαλμοῦ] *om.* P (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$

---

**4** μακρόθυμος – ἀληθινός] *om.* $V^{E}V^{O}V^{Ph}$ P **14 – 999, 5** καὶ – αὐτόν] *om.* $V^{E}V^{O}V^{Ph}$ **15 – 999, 5** οὐκ – αὐτόν] *om.* PM R

ἐκραταίωσεν κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν·
καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
ἐμάκρυνεν ἀφ’ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς,
οἰκτείρησεν κύριος τοὺς φοβουμένους αὐτόν.

## <I suppl. 445 / V cap. Φ 2, 12>

## I 1666 / C cap. Φ 1, 12

Ἐν ψαλμῷ ρμδʹ·

Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος·
χρηστὸς κύριος τοῖς σύμπασι,
καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

## I 1667 / C cap. Φ 1, 13

Ὠσηὲ προφήτου·

Ἐν τῷ αὐτῷ συνεστράφη ἡ μεταμέλειά μου· οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, διότι θεὸς εἰμὶ ἐγὼ καὶ οὐκ ἄνθρωπος.

---

**6 I suppl. 445** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**9 – 12 I 1666** Ps. 144, $8^1$–$9^2$ **15 – 16 I 1667** Os. 11, 8–9 (Wahl, *Prophetenzitate*, p. 172)

---

**8 – 12 I 1666** C (255r[22]23–25); *deest in* V PML$^b$ E R **14 – 16 I 1667** C (255r[25] 26–28); R cap. Φ 12, 12; *deest in* V PML$^b$ E

---

**I 1667** ωσηὲ C$^{a. c. ut videtur}$ προφήτου] *om.* R

---

**4** οἰκτείρει] *sic* C **5** οἰκτείρησεν] *sic* C

## I 1668 / C cap. Φ 1, 14

Μιχαίου προφήτου·

Λαός μου, τί ἐποίησά σοι, ἢ τί παρηνόχλησά σοι; Ἀποκρίθητί μοι.

## I 1669 / C cap. Φ 1, 15

Τοῦ αὐτοῦ·

Οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐ-στίν.

## I 1670 / C cap. Φ 1, 16

Μαλαχίου προφήτου·

Τίς θεὸς ὥσπερ σύ, ἐξαίρων ἀδικίας καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ; Οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστίν. Αὐτὸς ἐπιστρέψει καὶ οἰ-κτειρήσει ἡμᾶς, καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀπορριφή-σονται εἰς τὰ βάθη τῆς θαλάσσης.

---

**3 I 1668** Mich. 6, 3 (Wahl, *Prophetenzitate*, p. 205) **6 – 7 I 1669** Mich. 7, 18 (Wahl, *Prophetenzitate*, p. 212) **10 – 14 I 1670** Mal., re vera Mich. 7, 18–19 (Wahl, *Prophetenzitate*, p. 212–213)

---

**2 – 3 I 1668** C (255r[28]29–30); R cap. Φ 12, 9; *deest in* V PML$^{b}$ E **5 – 7 I 1669** C (255r[30]30–255v1); R cap. Φ 12, 10; *deest in* V PML$^{b}$ E **9 – 14 I 1670** C (255v [2]2–8); V$^{E}$ cap. Φ 2, 13; V$^{W}$ cap. Φ 2, 7; V$^{O}$ cap. Φ 2, 13; V$^{Ph}$ cap. Φ 2, 13; P cap. Φ 10, 13; M cap. Φ 10, 11; R cap. Φ 12, 11; *deest in* L$^{b}$ E; PG 96, 393, 19–24

---

**I 1668** προφήτου] *om.* R **I 1669** (a) C (b) *s. d.* R **I 1670** μαλαχιου M προφήτου] *om.* V PM R

---

**3** παρενόχλησά σοι C$^{a.\ c.\ man.\ rec.}$ **5 – 7** Τοῦ – ἐστίν] *forsan secludenda (pars est loci sequentis)* **11** κληρονομίας αὐτοῦ] κληρονομιας σου M Οὐ συνέσχεν] οὓς ἂν, ἐσχεν *(sic)* M μαρτῢρΐου V$^{O}$, μαρτυριου M **12** θελητὴς – ἐστίν] θελητης ἐστιν ἐλεους M θελητὸς V$^{W}$ P Αὐτὸς] αυτοὺς M **12 – 13** οἰκτειρήσει] *sic* C V P R, οἰκτηρηση M **13 – 14** ἀπορρηφήσονται V$^{E}$, ἀπορριφείσονται M, ἀποριφήσονται (-ή- *e corr.)* V$^{W}$, ἀπορηφ ήσονται *(sic)* P

## I 1671 / C cap. Φ 1, 17

Ναοὺμ προφήτου·

Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

## I 1672 / C cap. Φ 1, 18

Ἰωνᾶ προφήτου·

Εἶπεν κύριος πρὸς Ἰωνᾶν· Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτήν, καὶ οὐκ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο. Ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευῆ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ οἰκοῦσιν πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

## I 1673 / C cap. Φ 1, 19

Ἡσαΐου προφήτου·

Ἐγὼ ἀνέχομαι ὑμῶν, ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀνήσω, καὶ ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς.

**3 I 1671** Nah. 1, 3 (Wahl, *Prophetenzitate*, p. 228) **6 – 11 I 1672** Ion. 4, 9–11 (quibusdam omissis; Wahl, *Prophetenzitate*, p. 227–228) **14 – 15 I 1673** Is. 46, 4 (Wahl, *Prophetenzitate*, p. 410)

**2 – 3 I 1671** C (255v[8]8–9); V$^{E}$ cap. Φ 2, 14; V$^{W}$ cap. Φ 2, 8; V$^{O}$ cap. Φ 2, 14; V$^{Ph}$ cap. Φ 2, 14; P cap. Φ 10, 14; M cap. Φ 10, 12; R cap. Φ 12, 13; *deest in* L$^{b}$ E; PG 96, 393, 25–26 **5 – 11 I 1672** C (255v[9]10–17); *deest in* V PML$^{b}$ E R **13 – 15 I 1673** C (255v[17]17–19); V$^{E}$ cap. Φ 2, 15; V$^{W}$ cap. Φ 2, 9; V$^{O}$ cap. Φ 2, 15; V$^{Ph}$ cap. Φ 2, 15; P cap. Φ 10, 15; M cap. Φ 10, 13; R cap. Φ 12, 14; *deest in* L$^{b}$ E; PG 96, 393, 27–28

**I 1671** ναοῦμ C$^{a. c. man. rec.}$, ναουμ V$^{E}$ M προφήτου] *om.* V P R **I 1673** ἡσαϊου V$^{W}$, ησαϊου PM προφήτου] *om.* V PM R

**14** Ἐγὼ – ὑμῶν] *om.* V PM R ἀνέχομαι] *correximus (LXX)*, ἀνέχωμαι C ἀνήσω] -ήσω *e corr.* V$^{W}$, ἀνέσω P καὶ$^{2}$] *om.* R

## I 1674 / C cap. Φ 1, 20

Τοῦ αὐτοῦ·

Ἀπὸ τοῦ ὕδατος τοῦ Νῶε τοῦτό μοι ἐστίν· καθότι ὤμοσα αὐτῇ ἐν τῷ καιρῷ ἐκείνῳ τῇ γῇ μὴ θυμωθήσεσθαι ἐπ᾽ αὐτῇ ἔτι, μὴ δὲ ἐν ἀπειλῇ μου τὰ ὄρη αὐτῆς μεταστῆσαι, οὐδὲ οἱ βουνοὶ αὐτῆς μετακινηθήσονται, οὕτως οὐδὲ τὸ παρ᾽ ἐμοῦ σοι ἔλεος οὐκ ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης σου οὐ μὴ μεταστῇ· εἶπεν γὰρ κύριος ἵλεώς σοι. Ταπεινὴ καὶ ἀκατάστατος…

## I 1675 / C cap. Φ 1, 21

Τοῦ αὐτοῦ·

Ἐσιώπησα· μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι;

## I 1676 / C cap. Φ 1, 22

Τοῦ αὐτοῦ·

Ἡ ἐλεημοσύνη αὐτοῦ εἰς σταθμούς.

---

**3–8 I 1674** Is. 54, 9–11 (Wahl, *Prophetenzitate*, p. 434–435) **11 I 1675** Is. 42, 14 (Wahl, *Prophetenzitate*, p. 392) **14 I 1676** Is. 28, 17 (Wahl, *Prophetenzitate*, p. 354–355)

---

**2–8 I 1674** C (255v[19]19–27); R cap. Φ 12, 15; *deest in* V PML$^{b}$ E **10–11 I 1675** C (255v[27]27–28); V$^{E}$ cap. Φ 2, 16; V$^{W}$ cap. Φ 2, 10; V$^{O}$ cap. Φ 2, 16; V$^{Ph}$ cap. Φ 2, 16; P cap. Φ 10, 16; M cap. Φ 10, 14; R cap. Φ 12, 16; *deest in* L$^{b}$ E; PG 96, 393, 29–30 **13–14 I 1676** C (255v[28]28–29); *deest in* V PML$^{b}$ E R

---

**I 1674** (a) C (b) *s. d.* R **I 1675** (a) C PM (b) Ἡσαΐου V$^{W}$ (c) *s. a.* V$^{E}$V$^{O}$V$^{Ph}$ (d) *s. d.* R

---

**3** αὐτῇ] αὐτῷ *LXX (sed cf. app. crit.)* **4** αὐτῇ] αὐτὴν R **5** ὄρη] ὅρια R μεταστήσειν (-στη- C$^{mg.}$) C$^{mg.}$ R **6** τὸ] ὁ R **11** ἀεὶ] ἀεῖ P, αη M, ἔτι C σιωπήσωμαι V$^{E}$V$^{O}$ ἀνέχομαι R

## I 1677 / C cap. Φ 1, 23

Τοῦ αὐτοῦ·

Οὐκ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς.

## I 1678 / C cap. Φ 1, 24

Τοῦ αὐτοῦ·

Ποῦ ἐστιν τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν, κύριε; Σὺ γὰρ ἡμῶν εἶ πατήρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σύ, κύριε πάτερ ἡμῶν, ῥῦσαι ἡμᾶς.

## <I suppl. 446 / V cap. Φ 2, 18>

## I 1679 / C cap. Φ 1, 25

Τοῦ αὐτοῦ·

Εὐφρανθήσομαι ἐπ᾽ αὐτοὺς ἐν τῷ ἀγαθοποιεῖν με αὐτούς.

---

**11 I suppl. 446** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1677** Is. 28, 28 (Wahl, *Prophetenzitate*, p. 356) **7 – 10 I 1678** Is. 63, 15–16 (Wahl, *Prophetenzitate*, p. 464–465) **14 I 1679** Is., re vera Ier. 39, 41 (in app. crit.) (Wahl, *Prophetenzitate*, p. 569)

---

**2 – 4 I 1677** C (255v[29]29–256r1); $V^{E}$ cap. Φ 2, 17; $V^{W}$ cap. Φ 2, 11; $V^{O}$ cap. Φ 2, 17; $V^{Ph}$ cap. Φ 2, 17; P cap. Φ 10, 17; M cap. Φ 10, 15; R cap. Φ 12, 17; *deest in* $L^{b}$ E; PG 96, 393, 31–32 **6 – 10 I 1678** C (256r[1]1–5); R cap. Φ 12, 18; *deest in* V PM$L^{b}$ E **13 – 14 I 1679** C (256r[5]5–6); R cap. Φ 12, 19; *deest in* V PM$L^{b}$ E

---

**I 1677** (a) C (b) *s. a.* V (c) *s. d.* PM R **I 1678** (a) C (b) *s. d.* R **I 1679** (a) C (b) *s. d.* R

---

**3** ἐγὼ] λέγω $V^{W}$ PM φωνὴ] φωνὴ τίς R **3 – 4** πικρίας μου] ἀδικίας *(*-ιας M*)* μου $V^{E}V^{W}V^{Ph}$ PM, ἀδϊκΐας $V^{O}$ **7** ποῦ ἐστὶν C **8** Σὺ] σοὶ C ἀβραὰμ R **9** ἡμᾶς – ἐπέγνω] *om.* R

## I 1680 / C cap. Φ 1, 26

Τοῦ αὐτοῦ·

Ὡσεί τινα μήτηρ αὐτοῦ παρακαλέσει, οὕτως κἀγὼ παρακαλέσω ὑμᾶς.

## I 1681 / C cap. Φ 1, 27

Ναοὺμ προφήτου·

Τί λογίζεσθε ἐπὶ κύριον; Συντέλειαν αὐτὸς ποιήσεται, καὶ οὐκ ἐκδικήσει δὶς ἐπιτοαυτὸ ἐν θλίψει.

## I 1682 / C cap. Φ 1, 28

Ἰεζεκιὴλ προφήτου·

Ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; Διότι οὐ βούλομαι τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν τὴν ψυχὴν αὐτοῦ, λέγει κύριος.

---

**3 – 4 I 1680** Is. 66, 13 (Wahl, *Prophetenzitate*, p. 476) **7 – 8 I 1681** Nah. 1, 9 (Wahl, *Prophetenzitate*, p. 229) **11 – 13 I 1682** Ez. 18, 31–32 (cum app. crit.; Wahl, *Prophetenzitate*, p. 640)

---

**2 – 4 I 1680** C (256r[6]6–7); R cap. Φ 12, 20; *deest in* V PML$^{b}$ E **6 – 8 I 1681** C (256r[8]8–10); *deest in* V PML$^{b}$ E R **10 – 13 I 1682** C (256r[10]10–14); R cap. Φ 12, 21; *deest in* V PML$^{b}$ E

---

**I 1680** (a) C (b) *s. d.* R **I 1682** προφήτου] *om.* R

---

**12** αὐτὸν] *om.* R

## I 1683 / C cap. Φ 1, 29

Σοφίας Σολομῶντος·

Ἐλεεῖς πάντας, ὅτι πάντα δύνασαι,
καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.

## I 1684 / C cap. Φ 1, 30

Τῆς αὐτῆς·

Σὺ ὁ θεὸς ἡμῶν χρηστὸς καὶ ἐπιεικής,
μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα.

## I 1685 / C cap. Φ 1, 31

Τῆς αὐτῆς·

Φείδῃ πάντων, ὅτι σά ἐστιν, δέσποτα φιλόψυχε·
τὸ γὰρ ἅγιόν σου πνεῦμα ἐστὶν ἐν πᾶσιν.

---

**3 – 4 I 1683** Sap. 11, $23^{1-2}$ **7 – 8 I 1684** Sap. 15, $1^{1-2}$ **11 – 12 I 1685** Sap. 11, 26 – 12, 1

---

**2 – 4 I 1683** C (256r[14]14–16); $V^{E}$ cap. Φ 2, 19; $V^{W}$ cap. Φ 2, 13; $V^{O}$ cap. Φ 2, 19; $V^{Ph}$ cap. Φ 2, 19; P cap. Φ 10, 19; M cap. Φ 10, 17; E cap. 257, 7; R cap. Φ 12, 22; *deest in* $L^{b}$; PG 96, 393, 36–37 **6 – 8 I 1684** C (256r[16]16–18); *deest in* V $PML^{b}$ E R **10 – 12 I 1685** C (256r[18]18–19); $V^{E}$ cap. Φ 2, 20; $V^{W}$ cap. Φ 2, 14; $V^{O}$ cap. Φ 2, 20; $V^{Ph}$ cap. Φ 2, 20; P cap. Φ 10, 20; M cap. Φ 10, 18; R cap. Φ 12, 23; *deest in* $L^{b}$ E; PG 96, 393, 37–39

---

**I 1683** (a) C M σοφια M (b) Σολομῶντος V P E R σολομωντος P, σολομ $V^{E}V^{W}$, σολ $V^{O}V^{Ph}$, σο E **I 1685** (a) C (b) Τοῦ αὐτοῦ PM (c) *s. a.* V (d) *s. d.* R

---

**3** ἐλεῆς $V^{E}V^{O}$ **4** ἄνθρωπον $P^{p.\,c.}$ **11** φείδη (-ηι R) δὲ $V^{E}V^{Ph}$ R *(LXX)*, ἐφείδη δὲ $V^{O}$ σά ἐστιν] σά ἐστι πάντα $V^{E}V^{O}V^{Ph}$ δέσποτα] *om.* $V^{E}V^{O}V^{Ph}$ **12** πνεῦμα ἔστιν C, πνευμα ἐστιν P, πνεῦμα R πᾶσιν] πᾶσιν ἐστί R

## I 1686 / C cap. Φ 1, 32

Τῆς αὐτῆς·

Σὺ δεσπόζων ἰσχύος, ἐν ἐπιεικείᾳ κρίνεις,
καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς·
πάρεστιν δέ σοι, ὅταν θέλῃς, τὸ δύνασθαι.
Ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων
ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον.

## I 1687 / C cap. Φ 1, 33

Ἀπὸ τοῦ Σιράχ·

Ἐμπεσούμεθα εἰς χεῖρας κυρίου
καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων·
ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ,
οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

---

**3 – 4** Σὺ – ἡμᾶς] exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.3./48.3. (ed. Ihm, p. 740)

---

**3 – 7 I 1686** Sap. 12, $18^{1}$–$19^{2}$ **10 – 13 I 1687** Sir. 2, $18^{1-4}$ (Wahl, *Sirach-Text*, p. 48)

---

**2 – 7 I 1686** C (256r[20]20–24); $V^{E}$ cap. Φ 2, 21; $V^{W}$ cap. Φ 2, 15; $V^{O}$ cap. Φ 2, 21; $V^{Ph}$ cap. Φ 2, 21; P cap. Φ 10, 21; M cap. Φ 10, 19; E cap. 257, 8; R cap. Φ 12, 24; *deest in* $L^{b}$; PG 96, 393, 40–44 **9 – 13 I 1687** C (256r[24]25–26); $V^{E}$ cap. Φ 2, 22; $V^{W}$ cap. Φ 2, 16; $V^{O}$ cap. Φ 2, 22; $V^{Ph}$ cap. Φ 2, 22; P cap. Φ 10, 22; M cap. Φ 10, 20; E cap. 257, 9; R cap. Φ 12, 25; *deest in* $L^{b}$; PG 96, 393, 45–47

---

**I 1686** (a) C (b) Τοῦ αὐτοῦ $V^{W}$ PM (c) *s. a.* $V^{E}V^{O}V^{Ph}$ E (d) *s. d.* R **I 1687** (a) C (b) Σιράχ V PM R σίραχ $V^{W}$, σιραχ M (c) *s. a.* E

---

**3** κρινεῖς M, κρίνης $V^{Ph}$ **5 – 7** πάρεστιν – φιλάνθρωπον] *om.* E **5** πάρεστιν – σοι] πάρεστί σοι $V^{E}V^{Ph}$, πάρέστϊ σοι $V^{O}$, πάρέστι σοι δὲ $V^{W}$, παρεστιν σοι δε P, παρεστι σοι δέσποτα M ὅταν] εἰ M θέλεις $V^{E}V^{O}$ **6** σου] συ $V^{Ph}$ **7** δεῖ] δὴ M τὸν] τὸ $V^{W}$, το PM **12** μεγαλοσύνη $V^{E}V^{O}V^{Ph}$ P

## I 1688 / C cap. Φ 1, 34

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ μʹ·

Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

## I 1689 / C cap. Φ 1, 35

Τοῦ αὐτοῦ, ἐν κεφαλαίῳ νγʹ·

Εἰ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν.

## <I suppl. 447 / V cap. Φ 2, 25>

---

**10 I suppl. 447** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 4 I 1688** Matth. 5, 45 **7 – 9 I 1689** Matth. 7, 11

---

**2 – 4 I 1688** C (256r[27]27–29); $V^{E}$ cap. Φ 2, 23; $V^{W}$ cap. Φ 2, 17; $V^{O}$ cap. Φ 2, 23; $V^{Ph}$ cap. Φ 2, 23; P cap. Φ 10, 23; M cap. Φ 10, 21; E cap. 257, 10; R cap. Φ 12, 26; *deest in* $L^{b}$; PG 96, 393, 48–49 **6 – 9 I 1689** C (256r[29]30–256v2); $V^{E}$ cap. Φ 2, 24; $V^{W}$ cap. Φ 2, 18; $V^{O}$ cap. Φ 2, 24; $V^{Ph}$ cap. Φ 2, 24; P cap. Φ 10, 24; M cap. Φ 10, 22; E cap. 257, 11; *deest in* $L^{b}$ R; PG 96, 393, 50–53

---

**I 1688** (a) C μʹ] ιεʹ $C^{mg.}$ (b) Κατὰ Ματθαῖον, κεφαλαίου μʹ P (c) Ματθαίου, κεφαλαίου μʹ M (d) Ματθαίου R (e) Εὐαγγελίου $V^{W}$ E (f) *s. a.* $V^{E}V^{O}V^{Ph}$ **I 1689** (a) C PM ἐν κεφαλαίῳ] κεφαλαίου PM νγʹ] κʹ $C^{mg.}$ (b) Τοῦ αὐτοῦ $V^{W}$ (c) Ματθαίου $V^{E}V^{O}V^{Ph}$ (d) *s. a.* E

---

**7** δώματα C $V^{W}V^{Ph}$ τοῖς] *om.* M **8** ὑμῶν$^{2}$] ἡμῶν $V^{O}V^{Ph}$ **9** αἰτοῦσιν] ζητουσιν M αὐτόν] *om.* $V^{E}V^{O}V^{Ph}$

## I 1690 / C cap. Φ 1, 36

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Πολύσπλαγχνός ἐστιν ὁ κύριος καὶ οἰκτίρμων.

## I 1691 / C cap. Φ 1, 37

Ἐκ τῆς Πέτρου β′ ἐπιστολῆς·

Τὴν τοῦ κυρίου μακροθυμίαν σωτηρίαν ἡγεῖσθε.

## I 1692 / C cap. Φ 1, 38

Τοῦ ἁγίου Διονυσίου <τοῦ> Ἀρεοπαγίτου, ἐκ τοῦ περὶ θείων ὀνομάτων, κεφαλαίου α′·

Πάντα πρὸς ἑαυτὴν ἡ ἀγαθότης ἐπιστρέφει, καὶ ἀρχισυνάγωγος ἐστὶν τῶν ἐσκεδασμένων ὡς ἐναρχικὴ καὶ ἑνοποιὸς θεότης, καὶ πάντα αὐτῆς ὡς ἀρχῆς, ὡς συνοχῆς, ὡς τέλους ἐφίεται. Καὶ τἀγαθόν ἐστιν, ὡς τὰ λόγια φησίν, ἐξ οὗ τὰ πάντα ὑπέστη καὶ ἔστιν, ὡς ἐξ αἰτίας παντελοῦς παρηγμένα, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν, ὡς ἐν παντοκρατορικῷ πυθμένι φρουρούμενα καὶ διακρατούμενα,

---

**3 I 1690** Iac. 5, 11 **6 I 1691** II Petr. 3, 15 **10 – 1009, 8 I 1692** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, IV. 4 (ed. Suchla, p. 148, 8 – 149, 1)

---

**2 – 3 I 1690** C (256v[3]3–4); $V^{E}$ cap. Φ 2, 26; $V^{W}$ cap. Φ 2, 20; $V^{O}$ cap. Φ 2, 26; $V^{Ph}$ cap. Φ 2, 26; P cap. Φ 10, 25; M cap. Φ 10, 23; E cap. 257, 12; R cap. Φ 12, 27; *deest in* $L^{b}$; PG 96, 396, 6–7 **5 – 6 I 1691** C (256v[4]5); $V^{E}$ cap. Φ 2, 27; $V^{W}$ cap. Φ 2, 21; $V^{O}$ cap. Φ 2, 27; $V^{Ph}$ cap. Φ 2, 27; P cap. Φ 10, 26; M cap. Φ 10, 24; R cap. Φ 12, 28; *deest in* $L^{b}$ E; PG 96, 396, 8–9 **8 – 1009, 8 I 1692** C (256v[5–7]7–26); *deest in* V PM$L^{b}$ E R

---

**I 1690** (a) C $V^{E}$ PM R ἰάκώβου $V^{E}$, ϊακώβου P, ϊακωβου M ἐπιστολῆς] *om.* $V^{E}$ (b) Ἰακώβου $V^{W}$ ἰακωβου *cod.* (c) *s. a.* $V^{O}V^{Ph}$ (d) Ἀποστόλου Ἰακὼβ E **I 1691** (a) C PM R πετρου M β′] δευτέρας R (b) Πέτρου $V^{W}$ (c) Ἐκ τῆς Ἰακώβου $V^{Ph}$ (d) *s. a.* $V^{E}V^{O}$ **I 1692** τοῦ[1]] *supplevimus*, *om.* C α′] *sic cod.*, δ′ *exspectav.*

---

**3** πολύσπλαγχνος ἐστὶν R, πολυεὐσπλαγχνος ἐστίν M οἰκτίρμων] *add.* πρὸ πάντων *(cf. Iac. 5, 12)* $V^{W}$ P E, προ παντων M **6** ἡγεῖσθαι *(*-ει- M*)* PM **10 – 11** ἀρχισυνάγωγος ἐστὶν] *sic acc.* C

καὶ εἰς ὃ τὰ πάντα ἐπιστρέφεται, καθάπερ εἰς οἰκεῖον ἕκαστα πέρας, καὶ οὗ ἐφίεται πάντα, τὰ μὲν νοερὰ καὶ λογικά, γνωστικῶς, τὰ δὲ αἰσθητικά, αἰσθητικῶς, τὰ δὲ αἰσθήσεως ἄμοιρα, τῇ ἐμφύτῳ κινήσει τῆς ζωτικῆς κινήσεως, τὰ δὲ ἄζωα καὶ μόνον ὄντα, τῇ πρὸς μόνην τὴν οὐσιώδη μέθεξιν ἐπιτηδειότητι. Κατὰ τὸν αὐτὸν τῆς ἐμφανοῦς εἰκόνος λόγον, καὶ τὸ φῶς συνάγει καὶ ἐπιστρέφει πρὸς ἑαυτὸ πάντα τὰ ὁρῶντα, τὰ κινούμενα, τὰ φωτιζόμενα, τὰ θερμαινόμενα, τὰ ὅλως ὑπὸ τῶν αὐτοῦ μαρμαρυγῶν συνεχόμενα.

## I 1693 / C cap. Φ 1, 39

Τοῦ αὐτοῦ, ἐκ τοῦ δʹ κεφαλαίου·

Τῷ εἶναι τὸ ἀγαθὸν οὐσιῶδες ἀγαθόν, εἰς πάντα τὰ ὄντα διατείνει τὴν ἀγαθότητα. Καὶ γὰρ ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος οὐ λογιζόμενος ἢ προαιρούμενος, ἀλλ' αὐτῷ τῷ εἶναι φωτίζει πάντα τὰ μετέχειν τοῦ φωτὸς αὐτοῦ κατὰ τὸν οἰκεῖον δυνάμενα λόγον, οὕτω δὴ καὶ τἀγαθὸν ὑπὲρ ἥλιον †ὥσπερ† ἀμυδρὰν εἰκόνα †ἐξηρημένος† ἀρχέτυπον αὐτῇ τῇ ὑπάρξει πᾶσιν τοῖς οὖσιν ἀναλόγως ἐφίησι τὰς τῆς ὅλης ἀγαθότητος ἀκτῖνας.

## <I suppl. 451 / V cap. Φ 2, 37>

## <I suppl. 448 / V cap. Φ 2, 28>

**18 I suppl. 451** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **19 I suppl. 448** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

**11 – 17 I 1693** Ps.-Dionysius Areopagita, *De divinis nominibus*, IV. 1 (ed. Suchla, p. 143, 12 – 144, 5)

**10 – 17 I 1693** C (256v[26–27]27–257r5); *deest in* V PML$^{b}$ E R

**1** ὃ] *correximus (ed.)*, ἣν C *(in multis Ps.-Dionysii codicibus legitur* ὃν*)* **4** κινήσεως] ἐφέσεως *ed.* **11** Τῷ] *correximus (ed.)*, τὸ C *(cf. etiam app. crit.)* **13** αὐτῷ τῷ] *correximus (ed.)*, αὐτὸ τὸ C **15** †ὥσπερ†] *cruces apposuimus*, *sic* C, ὡς ὑπὲρ *ed. (sed cf. app. crit.)* †ἐξηρημένος†] *cruces apposuimus*, *sic* C, τὸ ἐξηρημένως *ed.*

## I 1694 / C cap. Φ 1, 40

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸν α′ ψαλμόν·

Τὸ κυρίως καὶ πρώτως μακαριστόν ἐστιν τὸ ἀληθινῶς ἀγαθόν· τοῦτο δέ ἐστιν ὁ θεός.

## I 1695 / C cap. Φ 1, 41

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ φθόνου·

Ἀγαθὸς ὁ θεός, καὶ ἀγαθῶν τοῖς ἀξίοις παρεκτικός.

## I 1696 / C cap. Φ 1, 42

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ περὶ εὐταξίας·

Πολλῶν ὄντων ἐφ᾽ οἷς θαυμάζεται ὁ θεός, οὐδὲν οὕτως αὐτοῦ ὡς τὸ πάντας εὐεργετεῖν ἰδιαίτατον.

---

**3 – 4 I 1694** Basilius Caesariensis, *Homilia in Psalmum I*, 3 (PG 29, 216, 20–22) **7 I 1695** Basilius Caesariensis, *Homilia de invidia*, 1 (PG 31, 372, 22–23) **10 – 11 I 1696** Gregorius Nazianzenus, *De moderatione in disputando (Orat. 32)*, 26, 11–12 (ed. Moreschini, p. 140)

---

**2 – 4 I 1694** C (257r[6]6–8); *deest in* V PML$^{b}$ E R **6 – 7 I 1695** C (257r[8]9); R cap. Φ 12, 30; *deest in* V PML$^{b}$ E **9 – 11 I 1696** C (257r[10]11–12); V$^{E}$ cap. Φ 2, 29; V$^{W}$ cap. Φ 2, 23; V$^{O}$ cap. Φ 2, 29; V$^{Ph}$ cap. Φ 2, 29; P cap. Φ 10, 28; M cap. Φ 10, 26; E cap. 257, 14; R cap. Φ 12, 31; *deest in* L$^{b}$; PG 96, 396, 12–13

---

**I 1695** ἐκ – φθόνου] *om.* R **I 1696** (a) C PM Τοῦ – Γρηγορίου] *om.* PM ἐκ τοῦ] *om.* M (b) Τοῦ Θεολόγου V E R Τοῦ] *om.* V$^{W}$ E

---

**10** θαυμάζεται] *praem.* θαυμα M **11** πάντα C ἰδιότατον V$^{W}$, ἰδιώτατον *ed. (sed cf. app. crit.)*, ἴδιον C

## I 1697 / C cap. Φ 1, 43

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ βαπτίσματος·

Διψᾷ τὸ διψᾶσθαι, ποτίζει τοὺς πιεῖν ἐθέλοντας, εὐεργετεῖ τὴν εὐεργεσίαν αἰτούμενος· πρόχειρός ἐστιν, μεγαλόδωρος. Δίδωσιν ἥδιον ἢ λαμβάνουσιν ἕτεροι. Μόνον, μὴ μικρολογίαν καταγνωσθῶμεν, τῷ μικρὰ αἰτεῖν καὶ τοῦ διδόντος ἀνάξια.

## I 1698 / C cap. Φ 1, 44

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῆς χαλάζης·

…ἐγὼ τῆς τοῦ θεοῦ φιλανθρωπίας ἐγγυητής. Καὶ ὃ παρὰ φύσιν ἐστὶν αὐτῷ, τῆς ὀργῆς ἀφείς, ἐπὶ τὸ κατὰ φύσιν χωρήσει, τὸν ἔλεον· εἰς ἐκεῖνο μὲν γὰρ ὑφ' ἡμῶν βιάζεται, πρὸς τοῦτο δὲ ὁρμὴν ἔχει. Καὶ εἰ πατάσσει βιαζόμενος, πῶς οὐκ ἀνήσει τῇ φύσει χρώμενος;

---

**3 – 6 I 1697** Gregorius Nazianzenus, *In S. baptisma (Orat. 40)*, 27, 28–32 (ed. Moreschini, p. 260) **9 – 13 I 1698** Gregorius Nazianzenus, *De grandine, in patrem tacentem (Orat. 16)*, 14 (PG 35, 953, 10–15)

---

**2 – 6 I 1697** C (257r[13]13–18); R cap. Φ 12, 32; *deest in* V PML$^{b}$ E **8 – 13 I 1698** C (257r[18–19]19–24); *deest in* V PML$^{b}$ E R

---

**I 1697** ἐκ – βαπτίσματος] *om.* R

---

**3** τὸ] τῶ R εὐεργετεῖται *ed.* **4 – 5** ἥδιον] *correximus (ed.)*, ἡδίων R, ἡδεῖον C **6** τῷ] *praem.* ἐν C αἰτεῖν] *add.* ἡμᾶς C **12** εἰ πατάσσει] ἐπιτάσσει C$^{a. c. ut videtur}$ *(εἰ πατά man. rec. in mg.)*

## I 1699 / C cap. Φ 1, 45

Τοῦ αὐτοῦ, ἐκ τοῦ α′ στηλιτευτικοῦ·

Πολλὰς καὶ παραδόξους ὁδοὺς σωτηρίας οἶδεν τὸ θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον.

## <I suppl. 449 / V cap. Φ 2, 31>

## I 1700 / C cap. Φ 1, 46

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ πρὸς Σταγείριον γ′ λόγου·

Οὐδεὶς οὕτως ἑαυτοῦ φείσαιτο ἄν, ὡς πάντων ἡμῶν ὁ θεός. Πολλῷ γὰρ ἡμῶν αὐτὸς βούλεται μᾶλλον μηδὲν ἡμᾶς πάσχειν κακόν.

---

**5 I suppl. 449** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **9 – 10** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 41.8./48.8. (ed. Ihm, p. 742)

---

**3 – 4 I 1699** GREGORIUS NAZIANZENUS, *Contra Iulianum imperatorem I (Orat. 4)*, 54, 12–14 (ed. Bernardi, p. 158) **9 I 1700** Οὐδεὶς – θεός] IOHANNES CHRYSOSTOMUS, *Ad Stagirium a daemone vexatum*, III, 14 (PG 47, 493, 32–33) **9 – 10** Πολλῷ – κακόν] IBID. (PG 47, 493, 30–31)

---

**2 – 4 I 1699** C (257r[24–25]25–26); $V^{E}$ cap. Φ 2, 30; $V^{W}$ cap. Φ 2, 24; $V^{O}$ cap. Φ 2, 30; $V^{Ph}$ cap. Φ 2, 30; P cap. Φ 10, 29; M cap. Φ 10, 27; E cap. 257, 15; R cap. Φ 12, 33; *deest in* $L^{b}$; PG 96, 396, 14–15 **7 – 10 I 1700** C (257r[27–28]28–30); $V^{E}$ cap. Φ 2, 32; $V^{W}$ cap. Φ 2, 26; $V^{O}$ cap. Φ 2, 32; $V^{Ph}$ cap. Φ 2, 32; P cap. Φ 10, 31; M cap. Φ 10, 29; R cap. Φ 12, 35; *deest in* $L^{b}$ E; PG 96, 396, 18–19

---

**I 1699** (a) C (b) Ἐκ τοῦ α′ εἰρηνικοῦ P (c) Ἐκ τοῦ περὶ εἰρηνικοῦ α′ M (d) Τοῦ αὐτοῦ R (e) *s. a.* V E **I 1700** (a) C (b) Τοῦ Χρυσοστόμου, εἰς Ταγήριον PM ταγηριον M (c) Τοῦ Χρυσοστόμου V R Τοῦ] *om.* $V^{Ph}$

---

**3** Πολλὰς καὶ] πολλάκις *(*-λα- P*)* PM E παραδόξας $V^{O}$ ὁδοὺς] *om.* V PM E **3 – 4** καινοτομεῖν] *om.* M **4** νεύων V **9** φείσαιτο ἄν] φείσαιτ᾽ ἂν *ed.*, φείδετο *(*-ει- $V^{O}$*)* ἂν *(*ὰν P*)* $V^{E}V^{O}V^{Ph}$ P, φείσαιτο C, φείδεται $V^{W}$, φειδέτω M **9 – 10** πάντων – βούλεται] *om.* $V^{O}$ **9 – 10** πολλοι M **10** *post* ἡμῶν *hab.* αὐτῶν *ed.* βούλεται] *post* μᾶλλον *transpos.* M μᾶλλον] *om.* C

## I 1701 / C cap. Φ 1, 47

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸν ἅγιον Βαβύλαν·

Τοιαύτη ἡ τοῦ θεοῦ μακροθυμία· τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ πικροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην, καὶ καθάπερ τοῖς μετανοοῦσιν ὠφέλιμος, οὕτω τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις.

## I 1702 / C cap. Φ 1, 48

Τοῦ αὐτοῦ·

Οὐδέποτε παύεται διὰ τὴν πρόγνωσιν τῆς ἡμετέρας κακίας τὰ αὐτοῦ ποιῶν ὁ θεός. Κἂν γὰρ ἡμεῖς μὴ δεχώμεθα τὴν νουθεσίαν, αὐτὸς τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείκνυται. Εἰ δὲ εἰς μείζονα ἑαυτοὺς ὠθοῦμεν κακά, οὐκέτι τοῦτο παρὰ τὸν οὐ διατοῦτο μα-

---

**12 – 1014, 1** μακροθυμήσαντα – σωθῶμεν] cf. II Petr. 3, 9 et 15; Ioh. 3, 17; I Tim. 2, 4

---

**3 – 6 I 1701** IOHANNES CHRYSOSTOMUS, *De Babyla contra Iulianum et gentiles*, 124, 9–13 (ed. Schatkin/Blanc/Grillet, p. 270) **9 – 1014, 2 I 1702** IOHANNES CHRYSOSTOMUS, *De Babyla contra Iulianum et gentiles*, 125, 3–9 (ed. Schatkin/Blanc/Grillet, p. 270)

---

**2 – 6 I 1701** C (257v[1]1–6); $V^E$ cap. Φ 2, 33; $V^W$ cap. Φ 2, 27; $V^O$ cap. Φ 2, 33; $V^{Ph}$ cap. Φ 2, 33; P cap. Φ 10, 32; M cap. Φ 10, 30; E cap. 257, 17; R cap. Φ 12, 36; PG 96, 396, 20–24; *deest in* $L^b$ **8 – 1014, 2 I 1702** C (257v[6]6–14); $V^E$ cap. Φ 2, 34; $V^W$ cap. Φ 2, 28; $V^O$ cap. Φ 2, 34; $V^{Ph}$ cap. Φ 2, 34; P cap. Φ 10, 33; M cap. Φ 10, 31; R cap. Φ 12, 37; *deest in* $L^b$ E; PG 96, 396, 25–33

---

**I 1701** (a) C βαβυλὰν $C^{a.\,c.}$ (b) Τοῦ αὐτοῦ $V^W V^O$ M R (c) Χρυσοστόμου E (d) *s. a.* $V^E V^{Ph}$ (e) *s. d.* P **I 1702** (a) C $V^E V^W$ R (b) Τοῦ αὐτοῦ, εἰς τὸν ἅγιον Βαβύλαν PM Τοῦ αὐτοῦ] *om.* P βαβυλᾶν M (c) *s. a.* $V^O V^{Ph}$

---

**3** Τοιαύτη] *om.* E **4** αὐτὴν P πικροτέραν] *correximus (ed.)*, πικρότερον C R, μακρότερον $V^W$ PM, μακροτέραν $V^E V^O V^{Ph}$ E ἐπάγη $V^E V^O V^{Ph}$ δίκην] *hic perperam caesura in* E **5** ὠφέλιμος] *praem.* ὁ πόλεμος R **6** μειζόνως C κολάσεως C πρόφασις] πρόξενος R **9** Οὐδέποτε] οὐδὲ τότε C **10** Κἂν – ἡμεῖς] καὶ γὰρ ἡμεῖς κἂν C δεχόμεθα *(-*χο- P*)* V P **11** εἰς] *om.* $V^O$ μείζονα] μειζω τὰ M **12** ὠθῶμεν C $V^W$ R, ὀθῶμεν P οὐκέτι] οὐκ ἔτι R, ουκετι M, οὐκ ἔστι *(*ἔστι *e corr.* $V^W$*)* V, οὐκέστι P **12 – 1014, 1** οὐ – μακροθυμήσαντα] μακροθυμήσαντα· οὐ τοῦτο μακροθυμήσαντα $V^E V^O V^{Ph}$ **12** οὐ διατοῦτο] οὐ τοῦτο *(-*ού P*)* $V^W$ P, οὕτω M

κροθυμήσαντα ἵνα ἀπολώμεθα, ἀλλ’ ἵνα σωθῶμεν, ἀλλὰ παρ’ ἡμᾶς τοὺς ἐξυβρίσαντας εἰς τὴν ἄφατον ἀνεξικακίαν αὐτοῦ.

## I 1703 / C cap. Φ 1, 49

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν παραβολὴν τῶν μυρίων ταλάντων·

Ἐπὶ ἡμῶν, τῶν ἀνθρώπων, τὸ ἀπαιτῆσαι τὰ ὀφειλόμενα, πλοῦτος· ἐπὶ δὲ θεῷ τὸ συγχωρῆσαι, πλοῦτος. Καὶ ἡμεῖς ἐπειδὰν λάβωμεν τὰ κεχρεωστημένα, τότε εὐπορώτεροι γινόμεθα· ὁ δὲ θεὸς ἐπειδὰν συγχωρήσῃ τὰ πλημμελήματα, τότε μάλιστα πλουτεῖ. Πλοῦτος γὰρ τῆς ἀγαθότητος τοῦ θεοῦ, τῶν ἀνθρώπων ἡ σωτηρία, καθάπερ καὶ Παῦλος φησίν· *Ὁ πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν.*

## <I suppl. 450 / V cap. Φ 2, 36>

## <I suppl. 452 / V cap. Φ 2, 38>

---

**10 – 11** Rom. 10, 12 **12 I suppl. 450** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3) **13 I suppl. 452** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**5 – 11 I 1703** Iohannes Chrysostomus, *De decem millium talentorum debitore*, 5 (PG 51, 24, 59 – 25, 3)

---

**4 – 11 I 1703** C (257v[14–15]15–23); $V^{E}$ cap. Φ 2, 35; $V^{W}$ cap. Φ 2, 29; $V^{O}$ cap. Φ 2, 35; $V^{Ph}$ cap. Φ 2, 35; P cap. Φ 10, 34; M cap. Φ 10, 32; R cap. Φ 12, 38; *deest in* $L^{b}$ E; PG 96, 396, 34–42

---

**I 1703** (a) C R Τοῦ αὐτοῦ] *om.* R (b) Τοῦ αὐτοῦ, εἰς τὰ μύρια τάλαντα PM (c) Τοῦ αὐτοῦ $V^{E}V^{W}V^{O}$ (d) *s. a.* $V^{Ph}$

---

**1** ἀπωλόμεθα $V^{E}V^{O}V^{Ph}$, ἀπολλώμεθα M **2** ἐξυβρίσαντας εἰς] ὑβρίσαντας *(*ϋ- $V^{E}$ P*)* V P, ὑβρησαντας M ἀνεξικακίαν] φιλανθρωπίαν $V^{E}V^{O}V^{Ph}$ **5** ἀπαιτῆσαι] ἀποτίσαι R **5 – 6** πλοῦτος – συγχωρῆσαι] *om.* M R **6** τὸ] τῶ $V^{E}V^{O}$ ἡμεῖς] *post* ἐπειδὰν *transpos.* $V^{W\,a.\,c.}$ **7** εὐπορώτερον $V^{O}$, ἐμποροτεροι M γινώμεθα $V^{E}V^{O}V^{Ph}$ P **8** συγχωρήσῃ] συγχωρήσει $V^{E}V^{O}V^{Ph}$ P, *post* πλημμελήματα *transpos.* R τὰ] *s. l.* R πλημμελήματα] ἁμαρτήματα $V^{E}$ **10** καὶ[1]] *om.* V PM, ὁ *ed.* πάντας[1]] ἡμᾶς *(*η- M*)* $V^{E}V^{W}V^{O}V^{Ph\,a.\,c.}$ PM R, ὑμᾶς $V^{Ph\,p.\,c.}$

## I 1704 / C cap. Φ 1, 50

Κλήμεντος, ἐκ τοῦ α′ Παιδαγωγοῦ·

Καθάπερ οὐκ ἔστιν φῶς ὃ μὴ φωτίζει, οὐδὲ κινοῦν ὃ μὴ κινεῖ, οὐδὲ φιλοῦν ὃ μὴ φιλεῖ, οὐδὲ ἀγαθόν ἐστιν ἄρα ὃ μὴ ὠφελεῖ καὶ εἰς σωτηρίαν καθοδηγεῖ.

## I 1705 / C cap. Φ 1, 51

Τοῦ ἁγίου Εἰρηναίου, ἐκ τοῦ δ′ ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως·

Βία θεῷ οὐ πρόσεστιν, ἀγαθὴ δὲ γνώμη πάντοτε συμπάρεστιν αὐτῷ.

## <I suppl. 453–454 / V cap. Φ 2, 41–42>

---

**11 I suppl. 453–454** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3–5 I 1704** Clemens Alexandrinus, *Paedagogus*, I. Cap. III. 9, 3 (ed. Stählin/Treu, p. 95, 17–19); Holl, n° 185 **9–10 I 1705** Irenaeus Lugdunensis, *Adversus haereses*, IV, 37, 6–7 (Fr. gr. 20) (ed. Rousseau/Hemmerdinger/Doutreleau/Mercier, p. 920); Holl, n° 151 (cf. etiam $II^{1}$536 / K cap. B 4, 13 [SJD VIII/4; Holl, n° 498])

---

**2–5 I 1704** C (257v[24]24–27); $V^{E}$ cap. Φ 2, 39; $V^{W}$ cap. Φ 2, 33; $V^{O}$ cap. Φ 2, 39; $V^{Ph}$ cap. Φ 2, 39; P cap. Φ 10, 38; M cap. Φ 10, 36; R cap. Φ 12, 41; *deest in* $L^{b}$ E; PG 96, 396, 50 – 397, 2 **7–10 I 1705** C (257v[27–29]29–30); $V^{E}$ cap. Φ 2, 40; $V^{W}$ cap. Φ 2, 34; $V^{O}$ cap. Φ 2, 40; $V^{Ph}$ cap. Φ 2, 40; P cap. Φ 10, 39; M cap. Φ 10, 37; E cap. 257, 18; R cap. Φ 12, 42; *deest in* $L^{b}$; PG 96, 397, 3–4

---

**I 1704** (a) C (b) *s. a.* V (c) *s. d.* PM R **I 1705** (a) C R ἐκ – γνώσεως] *om.* R (b) Εἰρηναίου V PM E ειρηναιου P

---

**3** κινεῖ] κινοῦν *(-οῦν e corr.)* $V^{W}$ **4** ἄρα C $V^{Ph}$ P, αρα M ὀφελεῖ $V^{E}V^{O}V^{Ph}$, ἀφελὴ $V^{W\ a.\ c.\ ut\ videtur}$, ὠφελὴ $V^{W\ p.\ c.\ ut\ videtur}$ **5** καθοδηγεῖ] *praem.* οὐ $V^{E}V^{O}V^{Ph}$ **9** ἀγαθὴ – γνώμη] ἀγαπη δε γνώμης M

## I 1706 / C cap. Φ 1, 52

Φίλωνος, ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ἀεὶ φθάνουσι τὴν δίκην αἱ τοῦ θεοῦ χάριτες· ἔργον γὰρ αὐτῷ προηγούμενον τὸ εὐεργετεῖν, τὸ δὲ κολάζειν, ἑπόμενον. Φιλεῖ δέ, ὅταν μέλλῃ μεγάλα συνίστασθαι κακά, μεγάλων καὶ πολλῶν ἀγαθῶν ἀφθονίαν προγενέσθαι.

## I 1707 / C cap. Φ 1, 53

Τοῦ αὐτοῦ, ἐκ τοῦ γʹ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Θεοῦ ἴδιον τὰ μὲν ἀγαθὰ προτείνειν καὶ φθάνειν δωρούμενον, τὰ δὲ κακὰ μὴ ῥαδίως ἐπάγειν.

## I 1708 / C cap. Φ 1, 54

Τοῦ αὐτοῦ·

Οὐδὲ τοῖς ἁμαρτάνουσιν εὐθὺς ἐπέξεισιν ὁ θεός, ἀλλὰ δίδωσι χρόνον εἰς μετάνοιαν καὶ τὴν τοῦ σφάλματος ἴασίν τε καὶ ἐπανόρθωσιν.

---

**3–6 I 1706** Philo Iudaeus, *Quaestiones in Genesim*, I. 89 (ed. Petit, p. 74) **9–10 I 1707** Philo Iudaeus, *Legum allegoriae*, III, 105 (ed. Cohn, p. 136, 22–23) **13–15 I 1708** Philo Iudaeus, *Legum allegoriae*, III, 106 (ed. Cohn, p. 137, 2–4)

---

**2–6 I 1706** C ([257v30–258r1]258r1–6); *deest in* V PM$L^{b}$ E R **8–10 I 1707** C (258r[6]7–8); $V^{E}$ cap. Φ 2, 43; $V^{W}$ cap. Φ 2, 37; $V^{O}$ cap. Φ 2, 43; $V^{Ph}$ cap. Φ 2, 43; P cap. Φ 10, 42; M cap. Φ 10, 40; E cap. 257, 20; R cap. Φ 12, 45; *deest in* $L^{b}$; PG 96, 397, 9–10 **12–15 I 1708** C (258r[9]9–11); $V^{E}$ cap. Φ 2, 44; $V^{W}$ cap. Φ 2, 38; $V^{O}$ cap. Φ 2, 44; $V^{Ph}$ cap. Φ 2, 44; P cap. Φ 10, 43; M cap. Φ 10, 41; E cap. 257, 21; R cap. Φ 12, 46; *deest in* $L^{b}$; PG 96, 397, 11–13

---

**I 1707** (a) C (b) Φίλωνος V PM E R φιλωνος M **I 1708** (a) C $V^{W}$ (b) *s. a.* $V^{E}V^{O}V^{Ph}$ (c) *s. d.* PM E R

---

**6** ἀφθονίαν] *sic* C, ἀφθονία *Mangey (in notis)* **9** προτίνειν $V^{E}V^{O}V^{Ph}$ **13** Οὐδὲ] *add.* γὰρ E ἐπέξεισιν] -έξεισιν *e corr.* $V^{W}$, ἐπέξησιν $V^{E}V^{O}$, ἐπέξησεν P, ἐπηύξησεν M **13–14** χρόνον] ὁ θεὸς M **14** εἰς μετάνοιαν] *om.* $V^{W}$ PM μετάνοιαν καὶ] *om.* $V^{E}V^{O}V^{Ph}$

## I 1709 / C cap. Φ 1, 55

Βασιλείου Σελευκίας·

Ἄφθονος ἀεὶ ἐπὶ τοῖς ἀγαθοῖς ὁ θεός.

---

**3** Ἄφθονος – θεός] cf. Bas. Seleuc., *Sermo XIX* (*In centurionem*), 1 (PG 85, 237, 40)

---

**3 I 1709** BASILIUS SELEUCENSIS, locus non repertus

---

**2 – 3 I 1709** C (258r[12]12–13); *deest in* V PML[b] E R

---

**I 1709** Σελευκίας] *sic* C

# Στοιχεῖον X

**Τίτλος α′ Περὶ χαρισμάτων καὶ δωρεῶν θεοῦ, καὶ ὅτι *παρ’ αὐτοῦ* *πᾶσα σοφία* καὶ *πᾶσα δόσις ἀγαθή*.**

**Τίτλος κ′ Περὶ δομάτων καὶ δωρεῶν ἀγαθῶν, ὅτι παρὰ θεοῦ πᾶν ἀγαθόν.**

**$^{*}II^{2}$990 / T cap. Δ 20, 1**

## I 1710 / C cap. X 1, 1

Ἀπὸ τοῦ Ἰώβ·

Πότερον οὐχὶ ὁ κύριος ἐστὶν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην, αὐτὸς δὲ σοφοὺς διακρίνει;

## I 1711 / C cap. X 1, 2

Τοῦ αὐτοῦ·

Εἶπα δέ· Οὐχ’ ὁ χρόνος ἐστὶν ὁ λαλῶν,
ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴδασιν σοφίαν,
ἀλλὰ πνεῦμα ἐστὶν ἐν βροτοῖς,
πνοὴ δὲ παντοκράτορος ἐστὶν ἡ διδάσκουσα.

---

**2 – 3** Περὶ – ἀγαθή] cf. I / $C^{pin}$ Παραπομπὴ Δ 4 (SJD VIII/1) **2 – 3** παρ’ – σοφία] Sir. 1, $1^{1}$ **3** πᾶσα² – ἀγαθή] Iac. 1, 17

---

**8 – 9 I 1710** Iob 21, $22^{1-2}$ **12 – 15 I 1711** Iob 32, $7^{1}$–$8^{2}$

---

**1 Stoicheion** $C^{txt}$ (258r14) $C^{pin}$ **2 – 3 Titlos (a)** C (258r14–16) **4 – 5 Titlos (b)** $T^{txt}$ $H^{III\ txt}$ $A^{III}$ R *(sub littera* Δ*)*; *deest in* $T^{pin\ (lac.)}$ $H^{III\ pin\ (lac.)}$ **7 – 9 I 1710** C (258r [17]17–18); T cap. Δ 20, 1; $H^{III}$ cap. Δ 16, 1; R cap. Δ 19, 1 **11 – 15 I 1711** C (258r [18]18–21); *deest in* T $H^{III}$ R

---

**1 Stoicheion** X] *scripsimus*, χι C **2 – 3 Titlos (a) 2 – 3** καὶ² – ἀγαθή] *om.* $C^{pin}$ **4 – 5 Titlos (b) 4** Τίτλος] *om.* $A^{III\ pin}$ $R^{pin}$ κ′] ις′ $H^{III\ txt}$ $A^{III}$, ιθ′ R ἀγαθῶν] *om.* $H^{III\ txt}$ $A^{III}$ ὅτι] ὅ $T^{txt}$ *(s. l. add.* τϊ *man. rec. ut videtur)* θεοῦ] θεῶ $R^{pin}$, κυρίου $H^{III\ txt}$ $A^{III}$

---

**I 1710** Ἀπὸ τοῦ] *om.* $H^{III}$ R ϊώβ T

---

**8** ὁ¹] *om.* R διδάσκων] *add.* ἄνθρωπον R **9** αὐτὸς – διακρίνει] *om.* C

## I 1712 / C cap. X 1, 3

*II$^2$991 / T cap. Δ 20, 2

Τῶν Παροιμιῶν·

Κύριος δίδωσι σοφίαν,
καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις.

## I 1713 / C cap. X 1, 4

Σοφίας Σολομῶντος·

Ἐμοὶ δὲ δῴη ὁ θεὸς εἰπεῖν κατὰ γνώμην,
καὶ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων,
ὅτι αὐτὸς καὶ τῆς σοφίας ἐστὶν ὁδηγός,
καὶ τῶν σοφῶν διορθωτής.
Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν
καὶ πᾶσα φρόνησις καὶ ἐργατ<ε>ιῶν ἐπιστήμη.

## I 1714 / C cap. X 1, 5

*II$^2$992 / T cap. Δ 20, 3

Ἐκ τοῦ κατὰ Ἰωάννην, ἐν κεφαλαίῳ κζʹ·

Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· Οὐ δύναται ἄνθρωπος λαμβάνειν ἀφʼ ἑαυτοῦ οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.

Οὐδεὶς λαμβάνει ἀφʼ ἑαυτοῦ οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.

---

**3 – 4 I 1712** Prov. 2, 6$^{1-2}$ (Wahl, *Proverbien-Text*, p. 24) **7 – 12 I 1713** Sap. 7, 15$^1$–16$^2$ **15 – 16 I 1714 *Versio* C** Ioh. 3, 27 **17 – 18 I 1714 *Versio* T H$^{III}$ R** Ioh. 3, 27

---

**2 – 4 I 1712** C (258r[22]22–23); T cap. Δ 20, 2; H$^{III}$ cap. Δ 16, 2; R cap. Δ 19, 2 **6 – 12 I 1713** C (258r[23]24–28); *deest in* T H$^{III}$ R **14 – 18 I 1714** C (258r[28]29–258v1); T cap. Δ 20, 3; H$^{III}$ cap. Δ 16, 3; R cap. Δ 19, 3

---

**I 1712** Τῶν] *om.* R **I 1714** (a) C (b) Ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου T H$^{III}$ R εὐαγγελίου] *om.* H$^{III}$

---

**12** ἐργατειῶν] *scripsimus*, ἐργατιῶν C **17** δεδομένον] *add.* ἄνωθεν H$^{III}$

## I 1715 / C cap. X 1, 6

Ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς·

Ἀμεταμέλητα τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ θεοῦ.

## I 1716 / C cap. X 1, 7

Ἐκ τῆς Ἰακώβου ἐπιστολῆς·

Εἴ τις λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν πίστει μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ θεοῦ, ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

***II²993 / T cap. Δ 20, 4**

## I 1717 / C cap. X 1, 8

Ἐκ τῆς αὐτῆς·

Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ᾽ ᾧ οὐκ ἔστιν παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα.

---

**3 I 1715** Rom. 11, 29 **6 – 11 I 1716** Iac. 1, 5–8 **14 – 16 I 1717** Iac. 1, 17

---

**2 – 3 I 1715** C (258v[1]2); *deest in* T H$^{III}$ R **5 – 11 I 1716** C (258v[3]3–10); *deest in* T H$^{III}$ R **13 – 16 I 1717** C (258v[11]11–14); T cap. Δ 20, 4; H$^{III}$ cap. Δ 16, 4; R cap. Δ 19, 4

---

**I 1717** (a) C (b) Ἐκ τῆς Ἰακώβου καθολικῆς ἐπιστολῆς T H$^{III}$ R ϊακώβου T, ἰακωβου H$^{III}$ καθολικῆς] *om.* R ἐπιστολῆς] *om.* T

---

**15** ἀπὸ] παρὰ R ἔστιν] ἔνι *(*ἐ- T*)* T H$^{III}$

## I 1718 / C cap. X 1, 9

Ἐκ τῆς Πέτρου α′ ἐπιστολῆς·

…ἕκαστος καθὼς ἔλαβεν χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος θεοῦ. Εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς ἐπιχορηγεῖ ὁ θεός, ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ Χριστοῦ.

## <I suppl. 455 / T cap. Δ 20, 5>

***II$^{2}$994 / T cap. Δ 20, 5**

## I 1719 / C cap. X 1, 10

***II$^{2}$995 / T cap. Δ 20, 6**

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ περὶ προνοίας β′·

Πρὸς δὲ τοῖς ἅπασι, τῶν συνήθως ὑπὸ θεοῦ δωρουμένων κοινῇ πᾶσιν ἀνθρώποις εἰ μηδεμία τίς ἔστιν ὅτε συνέβαινεν κώλυσις, φορᾷ φύσεως ἄν τινος ἀμεταβλήτου τὴν χορηγίαν αὐτῶν <ἀν>έθεσαν ἄνθρωποι, καὶ οὐκ ἂν μὲν δεχόμενοι ταῦτα, χάριν ὡμολόγησαν τῷ διδόντι, οὐκ ἂν δὲ ᾔτησαν, <μὴ> ἔχοντες. Στεροῦνται τοιγαροῦν ἐνίοτε πρὸς ὀλίγον, ἵνα αἰτήσωσιν, καὶ δέχονται αὖθις,

---

**7 I suppl. 455** cf. *Sacra*. Liber I. *Supplementum* (SJD VIII/3)

---

**3 – 6 I 1718** I Petr. 4, 10–11 **10 – 1022, 9 I 1719** Titus Bostrensis, *Contra Manichaeos*, II, 27, 1–17 (ed. Roman/Schmidt, p. 159–161 = Extrait 4a [ed. Declerck, p. CXXXI])

---

**2 – 6 I 1718** C (258v[14]15–19); *deest in* T H$^{III}$ R **9 – 1022, 9 I 1719** C (258v[19–20]20–259r10); T cap. Δ 20, 6; H$^{III}$ cap. Δ 16, 6; R cap. Δ 19, 6; R cap. X 4, 3; PG 96, 540, 35–53

---

**I 1719** (a) C R$^{\text{cap. X 4}}$ β′] *om.* R$^{\text{cap. X 4}}$ (b) Τοῦ μακαρίου Τίτου, ἐκ τοῦ περὶ προνοίας β′ λόγου T R$^{\text{cap. Δ 19}}$ β′] *om.* R$^{\text{cap. Δ 19}}$ Τίτου] *add.* ἐπισκόπου R$^{\text{cap. Δ 19}}$ *(forsan* Βόστρων *vel* Βοστρῶν *supplendum)* (c) Τίτου, ἐκ τοῦ περὶ προνοίας H$^{III}$

---

**10** θεοῦ] *praem.* τοῦ C R$^{\text{cap. Δ 19}}$ δεδομένων R$^{\text{cap. X 4}}$ **11** τίς ἔστιν] τίς ἐστιν *(*-ι R$^{\text{cap. Δ 19}}$*)* C R$^{\text{cap. X 4}}$ H$^{III}$ R$^{\text{cap. Δ 19}}$ **12** φωρᾶ T ἀμετακλήτου T, μετακλήτου H$^{III}$ χωρηγίαν T **12 – 13** ἀνέθεσαν] *scrips. Declerck (ed.)*, ἔθεσαν C T H$^{III}$ R$^{\text{cap. Δ 19}}$, ἠθέλησαν R$^{\text{cap. X 4}}$ **13** μὲν] *om.* R$^{\text{cap. X 4 et cap. Δ 19}}$ ταῦτα] πᾶντα T, πάντα H$^{III}$ **13 – 14** ὁμολόγησαν T H$^{III}$ **14 – 15** τῷ – τοιγαροῦν] *om.* R$^{\text{cap. Δ 19}}$ **14** οὐκ – ἔχοντες] *scrips. Declerck (ed.)*, οὐκ ἂν δὲ ᾔτησαν *(*ᾖ- R$^{\text{cap. X 4}}$, αἴ- H$^{III}$*)* ἔχοντες C R$^{\text{cap. X 4}}$ H$^{III}$, οὐκανδεαιτης ἀνέχοντες T

ἵνα χάριν ὁμολογήσωσιν τῷ χορηγοῦντι, γινώσκοντες ὡς αὐτός γε ἐστὶν ὁ παρέχων, καὶ οὐ φύσις ἄλλη τίς ἐστι παρὰ τὸν θεόν, ἄκριτός τε καὶ ἀμετάβλητος, ἡ χορηγοῦσα. Βούλεται δὲ ὁ θεὸς εἰδέναι χάριν ἀνθρώπους αὐτῷ, ἵνα ἀξιώτεροι τοῦ λαμβάνειν παρ' αὐτοῦ γένωνται, οὐχ' ἵνα τί καρπώσηται εἰς ἑαυτόν. Βούλεται γὰρ τὰ ἀγαθὰ τούτους αἰτεῖν, ἵνα δεχόμενοι, αἴσθησιν τοῦ χορηγοῦντος ἔχωσιν. Χαίρει μὲν γὰρ τὰ παρ' ἑαυτοῦ διδούς, χαίρει δὲ μᾶλλον ἀξίοις διδούς, ὡς τῆς φιλανθρωπίας τρόπον τινὰ ἀτιμαζομένης, εἰ μὴ πρὸς εὐαισθήτους γένοιτο.

***II²996 / T cap. Δ 20, 7**

## I 1720 / C cap. X 1, 11

Φίλωνος, ἐκ τοῦ η′ καὶ θ′ τῆς νόμων ἱερῶν ἀλληγορίας·

Οὐ πάντα πᾶσιν χαριστέον, ἀλλὰ τὰ οἰκεῖα τῇ τῶν δεομένων χρείᾳ, ἀλλὰ μὴ δὲ ὅσα δύνασαι χαρίζου, φησὶν ὁ ὀρθὸς λόγος, ἀλλ' ὅσα ἱκανός ἐστιν ὁ δεχόμενος δέξασθαι. Ἢ οὐχ' ὁρᾷς ὅτι καὶ ὁ θεὸς οὐκ ἀναλογοῦντας ἡμᾶς τῷ μεγέθει τῆς αὐτοῦ τελειότητος χρησμοὺς ἀναφθέγγεται, πρὸς <δὲ> τὴν τῶν ὠφεληθησομένων δύναμιν; Ἐπεὶ καὶ τίς ἂν ἐχώρησεν θεοῦ λόγων ἰσχύν, τῶν ἁπάσης κρειττόνων ἀκοῆς; Τὸ γὰρ γενητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρισμάτων, ἐπεὶ πάντως ἂν διέφθαρτο, φέρειν δὲ τὴν πολ-

---

**12 – 1023, 3 I 1720 *Versio* C R$^{\text{cap. X 4}}$** **12 – 13** Οὐ – χρείᾳ] PHILO IUDAEUS, *Legum allegoriae*, VIII et IX *(De posteritate Caini)*, 142 (ed. Wendland, p. 31, 18–19) **13 – 18** ἀλλὰ – ἀκοῆς] IBID., 142–143 (p. 31, 25 – 32, 4) **18 – 1023, 3** Τὸ – σταθμᾶται] IBID., 145 (p. 32, 16–20)

---

**11 – 1023, 7 I 1720** C (259r[10–11]11–25); T cap. Δ 20, 7; H$^{\text{III}}$ cap. Δ 16, 7; R cap. Δ 19, 7; R cap. X 4, 4

---

**I 1720** ἐκ – ἀλληγορίας] *om.* R$^{\text{cap. X 4}}$ H$^{\text{III}}$ R$^{\text{cap. Δ 19}}$ τοῦ – θ′] *om.* T

---

**1** χωριγοῦντι T H$^{\text{III}}$ **1 – 2** αὐτός γε ἔστιν T H$^{\text{III}}$, αὐτός γέ ἐστιν R$^{\text{cap. Δ 19}}$ **2** τί ἐστι H$^{\text{III}}$ **3** ἀμετάβλητος] ἀμεταμέλητος R$^{\text{cap. X 4}}$ χωρηγοῦσα T **4** ἀνθρώπους] ἀνθρώπου R$^{\text{cap. Δ 19}}$, *om.* R$^{\text{cap. X 4}}$ ἀξιότεροι T H$^{\text{III}}$ **5** καρπώσητε T H$^{\text{III}}$ **6** τὰ ἀγαθὰ] ταγαθὰ T, τ' ἀγαθὰ H$^{\text{III}}$ τούτοις H$^{\text{III}}$ **6 – 7** χωρηγοῦντος T **7** παρ' αὐτοῦ H$^{\text{III}}$ R$^{\text{cap. Δ 19}}$, παραυτοῦ T διδούς] *add.* ἅτε *(*ἄ- H$^{\text{III}}$*)* ἀένναος τῶν ἀγαθῶν *(forsan* πηγὴ *addendum)* ὑπάρχων T H$^{\text{III}}$ R$^{\text{cap. Δ 19}}$ **8** ὡς] ὁ C τρόπόν τινα T **12** χαριστητέον R δεομένων] δεχομένων R **13** ὀρθὸς] ἱερὸς C **14** ἀλλ'] ἀλλὰ R δεχόμενος] δεόμενος *ed.* **16** δὲ] *supplevimus (ed.)*, *om.* C R τῶν] *om.* R **18** κρειττόνων] *correximus (ed.)*, κρείττονος C R μὲν] *om.* R

λὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ· διὸ βουλόμενος ὄνησιν ἡμᾶς ἔχειν ὧν ἐπιδίδωσιν, πρὸς τὴν τῶν λαμβανόντων ἰσχὺν τὰ διδόμενα σταθμᾶται.

Τὸ γεννητὸν οὐδέποτε μὲν ἀμοιρεῖ τῶν τοῦ θεοῦ χαρισμάτων, ἐπεὶ πάντως ἂν διέφθαρτο, φέρειν δὲ τὴν πολλὴν καὶ ἄφθονον αὐτῶν ῥύμην ἀδυνατεῖ· διὸ βουλόμενος ὄνησιν ἡμᾶς ἔχειν ὧν ἐπιδίδωσιν, πρὸς τὴν τῶν λαμβανόντων ἰσχὺν τὰ διδόμενα σταθμᾶται.

## I 1721 / C cap. X 1, 12

***II²997 / T cap. Δ 20, 8**

Τοῦ αὐτοῦ, ἐκ τῶν περὶ τῶν μετονομαζομένων·

Οὐχ' ἃ δοῦναι θεῷ, ταῦτα καὶ ἀνθρώπῳ λαβεῖν δυνατόν, ἐπειδὴ τῷ μὲν πλεῖστα καὶ μέγιστα χαρίσασθαι ῥάδιον, ἡμῖν δὲ οὐκ εὐμαρὲς τὰς προτεινομένας δέξασθαι δωρεάς.

## I 1722 / C cap. X 1, 13

***II²998 / T cap. Δ 20, 9**

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ μέθης β′·

Τῶν θείων δωρεῶν ἱκανὸς οὐδεὶς χωρῆσαι τὸ ἄφθονον πλῆθος,

**4 – 7 I 1720** ***Versio*** **T $H^{III}$ $R^{cap.\,\Delta\,19}$** PHILO IUDAEUS, *Legum allegoriae*, VIII et IX *(De posteritate Caini)*, 145 (ed. Wendland, p. 32, 16–20) **10 – 12 I 1721** PHILO IUDAEUS, *De mutatione nominum*, 218 (ed. Wendland, p. 194, 13–15) **15 – 1024, 5 I 1722** PHILO IUDAEUS, *De ebrietate I*, 32 (ed. Wendland, p. 176, 14–18)

**9 – 12 I 1721** C (259r[25–26]26–30); T cap. Δ 20, 8; $H^{III}$ cap. Δ 16, 8; R cap. Δ 19, 8; R cap. X 4, 5 **14 – 1024, 5 I 1722** C (259r[30]30–259v7); T cap. Δ 20, 9; $H^{III}$ cap. Δ 16, 9; R cap. Δ 19, 9; R cap. X 4, 6

**I 1721** (a) C T (b) Τοῦ αὐτοῦ $R^{cap.\,X\,4\ et\ cap.\,\Delta\,19}$ (c) *s. a.* $H^{III}$ **I 1722** (a) C $R^{cap.\,X\,4}$ T β′] *scripsimus*, δευτερου T, *om.* C $R^{cap.\,X\,4}$ (b) Τοῦ αὐτοῦ $R^{cap.\,\Delta\,19}$ *(cf. etiam app. crit.)* (c) *s. a.* $H^{III}$

**1** ἀδύνατον R **4** πάντος T, πάντων $H^{III}$ **5** διήφθαρτο T αὐτῶν ῥύμην] ῥύμην τούτων R ἀδυνατοῖ $H^{III}$ **6** διὸ] δι' ἃ R **10** θεὸν C $R^{cap.\,X\,4}$ λαμβάνειν C $R^{cap.\,X\,4}$ **11** μέγιστα] μεστὰ μεγέθους $R^{cap.\,X\,4}$ **12** δωρεὰς δέξασθαι $H^{III}$ **15** Τῶν] *praem.* δεύτερον $R^{cap.\,\Delta\,19}$ *(forsan e lemmate)*

ἴσως δὲ οὐδὲ ὁ κόσμος, †ἀλλὰ βραχεῖα δεξάμενος† μεγάλαις ἐπιρρεούσαις τῶν θεοῦ χαρισμάτων δωρεαῖς τάχιστα ἀποπληρωθήσεται, ὡς ἀναβλύζεσθαι καὶ ὑπερεκχεῖσθαι. Εἰ δὲ τὰς εὐεργεσίας ἀδυνατοῦμεν δέχεσθαι, τὰς κολαστηρίους δυνάμεις, πῶς ἐπιφερομένας οἴσομεν;

***II²999 / T cap. Δ 20, 10**

## I 1723 / C cap. X 1, 14

Τοῦ αὐτοῦ, ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ ζητημάτων·

Ὅταν οἱ τῶν σπαρτῶν καρποὶ τελειωθῶσιν, οἱ τῶν δένδρων γενέσεως ἀρχὴν λαμβάνουσιν, ἵνα δολιχεύωσιν αἱ τοῦ θεοῦ χάριτες τὸν αἰῶνα, παρ’ ἄλλων ἄλλαι δεχόμεναι καὶ συνάπτουσαι τέλη μὲν ἀρχαῖς, ἀρχὰς δὲ τέλεσιν.

***II²1000 / T cap. Δ 20, 11**

## I 1724 / C cap. X 1, 15

Ἐκ τοῦ β′ τῶν αὐτῶν·

Αἱ τοῦ θεοῦ χάριτες οὐ μόνον τὰ ἀναγκαῖα παρέχονται, ἀλλὰ καὶ ὅσα πρὸς περιττὴν καὶ δαψιλεστέραν ἀπόλαυσιν.

---

**8 – 11 I 1723** PHILO IUDAEUS, *Quaestiones in Exodum*, I. 1 (ed. Petit, p. 233) **14 – 15 I 1724** PHILO IUDAEUS, *Quaestiones in Exodum*, II. 71 (ed. Petit, p. 275)

---

**7 – 11 I 1723** C (259v[8]9–13); T cap. Δ 20, 10; H$^{III}$ cap. Δ 16, 10; R cap. Δ 19, 10; R cap. X 4, 7; PG 96, 540, 54–59 **13 – 15 I 1724** C (259v[13]14–16); T cap. Δ 20, 11; H$^{III}$ cap. Δ 16, 11; R cap. Δ 19, 11; R cap. X 4, 8; PG 96, 541, 1–3

---

**I 1723** (a) C T τοῦ α′] *om.* T (b) Ἐκ τοῦ α′ τῶν ἐν Ἐξόδῳ R$^{\text{cap. X 4}}$ (c) Τοῦ αὐτοῦ R$^{\text{cap. Δ 19}}$ (d) *s. a.* H$^{III}$ **I 1724** (a) C R$^{\text{cap. X 4}}$ (b) Ἐκ τῶν αὐτῶν T (c) Ἐκ τοῦ αὐτοῦ R$^{\text{cap. Δ 19}}$ (d) *s. a.* H$^{III}$

---

**1** ἴσω T H$^{III}$ †ἀλλὰ – δεξάμενος†] *cruces apposuimus*, *sic* C, ἀλλὰ βραχεία δεξάμενος T H$^{III}$, ἀλλὰ βραχέα δεξάμενος R$^{\text{cap. X 4 et cap. Δ 19}}$, ἀλλ’ οἷα βραχεῖα δεξαμενὴ *ed.* **1 – 2** ἐπιρεούσαις (-οῦ- T) T H$^{III}$ **3** ἀναβλύεσθαι T H$^{III}$ R$^{\text{cap. Δ 19}}$ **4** δέξασθαι R$^{\text{cap. X 4}}$ **5** οἴσωμεν T H$^{III}$ **8 – 9** ἀρχὴν γενέσεως R$^{\text{cap. Δ 19}}$ **9** δολιχεύουσιν T H$^{III}$ αἱ] οἱ H$^{III}$ **10** παρ’ – ἄλλαι] παρὰ ἄλλων ἄλλα H$^{III}$, ἵνα ἄλλον ἄλλαι C R$^{\text{cap. X 4}}$ διαδεχόμεναι C R$^{\text{cap. X 4}}$ τέλει C T H$^{III}$ **11** ἀρχὰς] *sic* R$^{\text{cap. X 4}}$ T H$^{III}$ R$^{\text{cap. Δ 19}}$, ἀρχαῖ C$^{\text{a. c.}}$, ἀρχαὶ C$^{\text{p. c.}}$ τέλεσιν] *add.* ἀτελεύτητοι ὦσι(ν) R$^{\text{cap. X 4 et cap. Δ 19}}$ **14** τὰ] τανῦν R$^{\text{cap. Δ 19}}$ **14 – 15** ἀλλ’ ὅσα καὶ C

## I 1725 / C cap. X 1, 16

*II²suppl. 7 / R cap. Δ 19, 12

Τοῦ αὐτοῦ, ἐκ τῆς κατὰ Μωσέα κοσμοποιΐας·

Οὐχ' ὡς πέφυκεν ὁ θεὸς εὖ ποιεῖν, οὕτω καὶ τὸ γενόμενον εὖ πάσχειν, ἐπεὶ τοῦ μέν, αἱ δυνάμεις ὑπερβάλλουσιν, τὸ δέ, ἀσθενέστερόν ἐστιν δέξασθαι τὸ μέγεθος αὐτῶν.

**3 – 5 I 1725** Philo Iudaeus, *De opificio mundi*, 23 (ed. Cohn, p. 7, 7–9)

**2 – 5 I 1725** C (259v[16]17–20); R cap. Δ 19, 12; R cap. X 4, 9; *deest in* T $H^{III}$

**I 1725** Τοῦ αὐτοῦ] *om.* $R^{cap. X 4}$ ἐκ – κοσμοποιΐας] *om.* $R^{cap. Δ 19}$

**3** τὸ] *om.* $R^{cap. X 4}$

**Τίτλος β′ Ὅτι χρὴ θεὸν φοβεῖσθαι μᾶλλον ἢ τοὺς ἀνθρώπους, καὶ αὐτῷ ἐν πᾶσι πειθαρχεῖν.**

**ε′ Ὅτι χρὴ μᾶλλον φοβεῖσθαι θεὸν ἢ ἀνθρώπους.**

**η′ Ὅτι χρὴ μᾶλλον φοβεῖσθαι θεὸν ἢ ἀνθρώπους.**

## I 1726 / C cap. X 2, 1

Τῆς Ἐξόδου·

Ἐφοβήθησαν αἱ μαῖαι τὸν θεόν, καὶ οὐκ ἐποίησαν καθὰ συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐζωογόνουν τὰ ἄρσενα. Εὖ δὲ ἐποίει ὁ θεὸς ταῖς μαίαις.

---

**1 – 2** θεὸν – πειθαρχεῖν] cf. Act. 5, 29

---

**7 – 8 I 1726** Ἐφοβήθησαν – ἄρσενα] Ex. 1, 17 **8 – 9** Εὖ – μαίαις] Ibid. 1, 20

---

**1 – 2 Titlos (a)** C (259v20–22) R **3 Titlos (b)** V; PG 96, 429, 16–17 **4 Titlos (c)** PML$^{b\ pin}$; *deest in* L$^{b\ txt}$ **6 – 9 I 1726** C (259v[22]23–26); V$^{E}$ cap. X 5, 1; V$^{W}$ cap. X 8, 1; V$^{O}$ cap. X 5, 1; V$^{Ph}$ cap. X 5, 1; P cap. X 8, 1; M cap. X 6, 1; *deest in* L$^{b}$ R; PG 96, 429, 18–20

---

**1 – 2 Titlos (a) 1** Τίτλος] *om.* R$^{pin}$ β′] ζ′ R Ὅτι] *praem.* Περὶ τοῦ R$^{pin}$ μᾶλλον ἢ] καὶ μὴ C$^{pin}$ **2** ἅπασι R$^{txt}$ **3 Titlos (b)** ε′] η′ V$^{W\ pin}$, τίτλος η′ V$^{W\ txt}$, *om.* V$^{Ph\ pin}$ *(ς′ secund. ser.)* Ὅτι] τϊ *(rubricatoris vitio)* V$^{Ph\ pin}$, *praem.* περὶ V$^{O\ pin}$ **4 Titlos (c)** η′] ς′ M$^{txt}$ Ὅτι] *praem.* περὶ τοῦ ML$^{b}$ μᾶλλον] *om.* M$^{txt}$ θεὸν – ἀνθρώπους] τὸν θεον M ἀνθρώπους] *add.* τέλος τοῦ Χ στοιχείου L$^{b\ pin}$

---

**I 1726** (a) C V$^{W}$ P Τῆς] *om.* V$^{W}$ P (b) Γενέσεως V$^{E}$V$^{O}$V$^{Ph}$ (c) *s. a.* M

---

**7** μαῖαι] μαῖ- *e corr.* V$^{W}$, μαίαι M, μέαι V$^{E}$V$^{O}$V$^{Ph\ a.\ c.\ ut\ videtur}$ P **8** αιγύπτου M, αἰγυπτου P ἄρρενα V$^{E}$V$^{Ph}$ P, ἄρενα V$^{O}$, ἄρρεννα M **8 – 9** Εὖ – μαίαις] *om.* V PM

## I 1727 / C cap. X 2, 2

Ἀπὸ τῶν Ἀριθμῶν·

Ἀπεκρίθη Βαλαὰμ καὶ εἶπε τοῖς ἄρχουσιν Βαλάκ· Ἐὰν δῷ μοι Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα κυρίου τοῦ θεοῦ, ποιῆσαι αὐτὸ μικρὸν ἢ μέγα ἐν τῇ διανοίᾳ μου.

## I 1728 / C cap. X 2, 3

Παραλειπομένων β′·

Ἀνέστησαν οἱ ἄρχοντες καὶ εἶπον αὐτοῖς· Οὐ μὴ εἰσαγάγητε τὴν αἰχμαλωσίαν ὧδε πρὸς ἡμᾶς, ὅτι πολλὴ ἡ ἁμαρτία ἡμῶν, καὶ ὀργὴ κυρίου ἐπὶ τὸν Ἰσραήλ. Καὶ ἀφῆκαν οἱ πολεμισταὶ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα ἐναντίον τῶν ἀρχόντων καὶ πάσης τῆς ἐκκλησίας. Καὶ ἀνέστησαν ἄνδρες καὶ ἀντελάβοντο τῆς αἰχμαλωσίας, καὶ πάντας τοὺς γυμνοὺς περιέβαλον ἀπὸ τῶν σκύλων, καὶ ἐνέδυσαν αὐτούς, καὶ ἔδωκαν φαγεῖν καὶ ἀλείψασθαι, καὶ ἀνελάβοντο ἐν ὑποζυγίοις πάντας ἀσθενοῦντας, καὶ κατέστησαν αὐτοὺς ἐν Ἰεριχῷ πρὸς τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἀπέστρεψαν εἰς Σαμάρειαν.

---

**3 – 6 I 1727** Num. 22, 18 **9 – 18 I 1728** II Par. 28, 12–15 (Wahl, *2 Chronik-Text*, p. 153)

---

**2 – 6 I 1727** C (259v[26]26–30); $V^{E}$ cap. X 5, 2; $V^{W}$ cap. X 8, 2; $V^{O}$ cap. X 5, 2; $V^{Ph}$ cap. X 5, 2; P cap. X 8, 2; M cap. X 6, 2; R cap. X 7, 1; *deest in* $L^{b}$; PG 96, 429, 21–25 **8 – 18 I 1728** C (260r[1]1–13); R cap. X 7, 4; *deest in* V $PML^{b}$

---

**I 1727** (a) C $V^{W}$ PM R Ἀπὸ τῶν] *om.* $V^{W}$ PM R ἀριθμοι *(sic)* M (b) Κριτῶν $V^{E}V^{O}V^{Ph}$ **I 1728** (a) C (b) Τῶν αὐτῶν R

---

**3** βαλααμ PM βαλακ C, βαλαάκ *(*-ακ M*)* $P^{a. ras. ut videtur}$ M, βαλάμ $V^{W\ a. c. man. rec.}$ **3 – 4** βαλαὰκ *(*-ακ PM*)* $V^{W}$ PM **4** πλήρης $V^{E}V^{O}V^{Ph}$ $M^{p. c.}$, πληρες $M^{a. c. ut videtur}$ αὐτοῦ] *om.* M καὶ χρυσίου] *om.* M δυνῆσαι $V^{E}V^{O}V^{Ph}$ **5** παραβῆναι – ποιῆσαι] *om.* $V^{E}V^{O}V^{Ph}$ θεοῦ] *om.* $V^{W}$ PM αὐτῶ R **9** Οὐ] *om.* R **10** ἡμῶν] ὑμῶν R **12** σκύλα C $R^{p. c.}$ **14** περιέβαλλον C **17** Ἰεριχῷ] *scripsimus (LXX)*, ἱεριχῶ C R

## I 1729 / C cap. X 2, 4

Σχόλιον·

Χρὴ ἡμᾶς τὸ θέλημα τοῦ θεοῦ ποιεῖν, κἂν δοκῇ πρὸς τὸ παρὸν ζημίαν ἐπάγειν. Ὠδὴδ γὰρ ὁ προφήτης, τοῦ Ἰσραὴλ αἰχμαλωτεύσαντος τὸν Ἰούδαν, διεμαρτύρατο, λέγων αὐτοῖς· Κύριος ὁ θεὸς ὑμῶν βούλεται ὑμᾶς *ἀποστρέψαι τὴν αἰχμαλωσίαν, ἣν ἠχμαλωτεύσατε τῶν ἀδελφῶν ὑμῶν*. Καὶ πειθαρχήσαντες, ἀπέστρεψαν αὐτοὺς ἐν εἰρήνῃ.

## I 1730 / C cap. X 2, 5

Ἐκ τῆς αὐτῆς·

Εἶπεν Ἀμεσίας τῷ ἀνθρώπῳ τοῦ θεοῦ· Καὶ τί ποιήσω τὰ ἑκατὸν τάλαντα, ἃ ἔδωκα τῇ δυνάμει Ἰσραήλ; Καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ· Ἔστιν τῷ κυρίῳ δοῦναί σοι πλείονα τούτων. Καὶ διεχώρισεν Ἀμεσίας τῇ δυνάμει τῇ ἐλθούσῃ πρὸς αὐτὸν ἀπὸ Ἐφραὶμ ἀπελθεῖν εἰς τὸν τόπον αὐτῶν.

---

**6–7** II Par. 28, 11

---

**3–8 I 1729** *Scholion in II Par. 28, 12–15* **11–15 I 1730** II Par. 25, 9–10 (Wahl, *2 Chronik-Text*, p. 152)

---

**2–8 I 1729** C (260r[13]13–20); R cap. X 7, 5; *deest in* V PML$^{b}$ **10–15 I 1730** C (260r[21]21–26); $V^{E}$ cap. X 5, 3; $V^{W}$ cap. X 8, 3; $V^{O}$ cap. X 5, 3; $V^{Ph}$ cap. X 5, 3; P cap. X 8, 3; M cap. X 6, 3; R cap. X 7, 2; *deest in* L$^{b}$; PG 96, 429, 26–31

---

**I 1730** (a) C (b) Παραλειπομένων β′ $V^{W}$ PM R β′] δευτέρας M R, *om.* $V^{W}$ (c) Βασιλειῶν γ′ $V^{E}V^{O}V^{Ph}$

---

**4** Ὠδὴδ] *scripsimus*, ὠδὴδ C, δαυῒδ R **6** ὑμῶν] ἡμῶν R **6–7** αἰχμαλωτεύσατε C *(cf. LXX app. crit.)* **11** ποιήσω] *add.* τῶ ἀνθρωπω M ἑκατὸν] ρ′ $V^{W}$ **12** δέδωκα $V^{W}$ P **13** δοῦναι σοι $V^{E}V^{O}V^{Ph}$ PM διεχώρησεν *(*-χω- P*)* C $V^{E}V^{O}$ P R **14** αμεσίας M ἐπελθούσῃ C, ἐλθούσει *(*-θου- P*)* $V^{E\,a.c.}$ P ἐφρὲμ M

## I 1731 / C cap. X 2, 6

Σχόλιον·

Ἀμεσία τοῦ βασιλέως ἑκατὸν χιλιάδας μισθωσαμένου ἀπὸ Ἰσραήλ, καὶ δεδωκότος ἑκατὸν τάλαντα ἀργυρίου, ὁ προφήτης κυρίου ἐλθὼν εἴρηκεν αὐτῷ τοὺς μισθοφόρους εἰς συμμαχίαν μὴ λαβεῖν, καὶ περιφρονήσας τῶν ἑκατὸν ταλάντων τοῦ ἀργυρίου, θεῷ ἐπείσθη, καὶ τρόπαιον κατὰ τῶν πολεμίων ἤγειρεν, καὶ νίκην αὐτῷ ἡ ὑπακοὴ προεξένησεν.

Ἀμεσίας ὁ βασιλεὺς μισθωσάμενος ἀπὸ Ἰσραήλ, καὶ δεδωκὼς ἑκατὸν τάλαντα ἀργυρίου, ὁ προφήτης ἐλθὼν εἴρηκεν αὐτῷ μὴ λαβεῖν τοὺς μισθωθέντας εἰς συμμαχίαν ἐπὶ πόλεμον, καὶ περιφρονήσας τῶν ἑκατὸν ταλάντων, θεῷ ἐπείσθη, καὶ νίκην αὐτῷ ἡ ὑπακοὴ προεξένησεν.

## I 1732 / C cap. X 2, 7

Βασιλειῶν γʹ·

Καὶ ὁ ἄγγελος ὁ πορευθεὶς καλέσαι τὸν Μιχαίαν, ἐλάλησεν αὐτῷ, λέγων· Ἰδοὺ δὴ οἱ προφῆται ἐν στόματι ἑνὶ πάντες λαλοῦσιν καλὰ ὑπὲρ τοῦ βασιλέως. Γενοῦ δὴ καὶ σὺ εἰς λόγους σου κατὰ τοὺς λόγους ἑνὸς τούτων, καὶ λάλησον καλά. Καὶ εἶπεν Μιχαίας· Ζῇ κύριος, ὅτι ἐὰν εἴπῃ ὁ κύριος πρός με, ταῦτα λαλήσω.

---

**3 – 5** Ἀμεσία – λαβεῖν] cf. ibid. 25, 6–7 **6 – 7** περιφρονήσας – ἤγειρεν] cf. ibid., 25, 10–11 **9 – 11** Ἀμεσίας – πόλεμον] cf. ibid. 25, 6–7 **11 – 12** περιφρονήσας – προεξένησεν] cf. ibid. 25, 10–11

---

**3 – 8 I 1731 *Versio* C R** *Scholion in II Par. 25, 9–10* **9 – 12 I 1731 *Versio* V PM** *Scholion in II Par. 25, 9–10* **15 – 19 I 1732** III Reg. 22, 13–14 (Wahl, *3 Könige-Text*, p. 119)

---

**2 – 12 I 1731** C (260r[27]27–260v3); $V^{E}$ cap. X 5, 4; $V^{W}$ cap. X 8, 4; $V^{O}$ cap. X 5, 4; $V^{Ph}$ cap. X 5, 4; P cap. X 8, 4; M cap. X 6, 4; R cap. X 7, 3; *deest in* $L^{b}$; PG 96, 429, 32–38 **14 – 19 I 1732** C (260v[3]3–9); *deest in* V $PML^{b}$ R

---

**4** ἑκατὸν] ρʹ C **5** μισθοφόρους] μϊσθωθέντας R **6** τῶν] τὰ R ἑκατὸν] ρʹ C τάλαντα R **7 – 8** καὶ² – προεξένησεν] *om.* C **10 – 11** μισθωθεντες M **11** συμμαχείαν P, εὐμαχΐαν $V^{O}$ ἑκατὸν] ρʹ $V^{W}$ PM **12** ἐπίσθη *(*-ι- M*)* $V^{E}V^{W\,a.c.}V^{O}V^{Ph}$ PM αὐτῷ ἡ] αὐτῶν $V^{E}V^{O}$ προεξένισεν $V^{W}$, πρὸ *(*προ M*)* ἐξενισεν PM

## I 1733 / C cap. X 2, 8

Ἡσαΐου προφήτου·

Ἐφοβήθησαν ἀπὸ ἀνθρώπου θνητοῦ καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν, καὶ ἐπελάθοντο θεὸν τὸν ποιήσαντα αὐτούς.

## I 1734 / C cap. X 2, 9

Δανιὴλ προφήτου·

Εἶπον οἱ πρεσβύτεροι πρὸς Σουσάνναν· Ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κεκλεισμέναι, καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπιθυμίᾳ σου ἐσμέν· διὸ συγκατάθου ἡμῖν καὶ γενοῦ μεθ’ ἡμῶν· εἰ δὲ μή, καταμαρτυρήσομέν σου ὅτι ἦν μετὰ σοῦ νεανίσκος, καὶ διατοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ. Καὶ ἀνεστέναξεν Σουσάννα καὶ εἶπεν· Στενά μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοι ἐστίν, ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν· αἱρετόν μοι ἐστὶν μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν με ἐνώπιον κυρίου.

---

**3 – 5 I 1733** Is. 51, 12–13 (Wahl, *Prophetenzitate*, p. 427) **8 – 16 I 1734** Su. 20–23 (Wahl, *Prophetenzitate*, p. 672–674)

---

**2 – 5 I 1733** C (260v[10]10–13); R cap. X 7, 6; *deest in* V PML$^{b}$ **7 – 16 I 1734** C (260v[13]13–24); $V^{E}$ cap. X 5, 5; $V^{W}$ cap. X 8, 5; $V^{O}$ cap. X 5, 5; $V^{Ph}$ cap. X 5, 5; P cap. X 8, 5; M cap. X 6, 5; *deest in* $L^{b}$ R; PG 96, 429, 39–49

---

**I 1733** προφήτου] *om.* R **I 1734** δανιηλ PM προφήτου] *om.* V PM

---

**3** οἳ] *om.* R **8** σουσᾶναν $V^{W\,a.\,c.}$, σουσάναν $V^{W\,p.\,c.}$, σωσάνναν $C^{p.\,c.}$ M, σωσάναν $C^{a.\,c.}$ **8 – 9** παραδείσσου M **10** συγκατάθου] συνκαταθου P, *praem.* σου M **10 – 11** καταμαρτυρήσωμέν σου C $V^{W}$, καταμαρτυρίσομέν σου $V^{E\,a.\,c.}$ $V^{O}V^{Ph}$ **11 – 12** ἐξαπεστείλας M, ἐξαπέστελας $V^{O}$, ἐξαπέσταλκας C **12** σουσάνα $V^{W\,a.\,c.}$, σωσάννα C, σωσανα M, σουσανναν P **13 – 14** θάνατός – πράξω] *in mg. sup.* $V^{W}$, *om.* M **14** εκφεύξομαι $V^{O}$, ευφεύξομαι *(sic)* $V^{E}$, ἐκφευξωμαι M **15** μὴ] μηδὲν C **15 – 16** ἁμαρτεῖν με] ἁμαρτίσαι $V^{E}V^{O\,p.\,c.}$ $V^{Ph}$, ἁμαρτήσασαν $V^{W}$ PM, ἁμαρτίαν $V^{O\,a.\,c.}$

## I 1735 / C cap. X 2, 10

Τοῦ αὐτοῦ·

Ἀπεκρίθησαν οἱ τρεῖς παῖδες τῷ βασιλεῖ, λέγοντες· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστιν γὰρ ὁ θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.

## I 1736 / C cap. X 2, 11

Ματθαίου εὐαγγελιστοῦ, ἐν κεφαλαίῳ ργʹ·

Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

---

**3 – 9 I 1735** Dan. 3, 16–18 (Wahl, *Prophetenzitate*, p. 681–682) **12 – 14 I 1736** Matth. 10, 28

---

**2 – 9 I 1735** C (260v[25]25–261r3); $V^{E}$ cap. X 5, 6; $V^{W}$ cap. X 8, 6; $V^{O}$ cap. X 5, 6; $V^{Ph}$ cap. X 5, 6; P cap. X 8, 6; M cap. X 6, 6; *deest in* $L^{b}$ R; PG 96, 429, 50 – 432, 5 **11 – 14 I 1736** C (261r[3–4]4–7); $V^{E}$ cap. X 5, 7; $V^{W}$ cap. X 8, 7; $V^{O}$ cap. X 5, 7; $V^{Ph}$ cap. X 5, 7; P cap. X 8, 7; M cap. X 6, 7; R cap. X 7, 7; *deest in* $L^{b}$; PG 96, 432, 6–9

---

**I 1735** (a) C $V^{E}$ M (b) *s. a.* $V^{W}V^{O}$ P (c) Δανιήλ $V^{Ph}$ **I 1736** (a) C (b) Ἐκ τοῦ κατὰ Ματθαῖον, κεφαλαίου ργʹ PM Ἐκ τοῦ] *om.* P (c) Ματθαίου $V^{E}V^{O}V^{Ph}$ R (d) Εὐαγγελίου $V^{W}$

---

**3** παῖδες] *om.* C λέγοντες] και εἶπαν P **4** ἀποκριθῆναι (-ή- P, -η- M) σοι $V^{E}V^{O}V^{Ph}$ P **5** ὁ] *om.* PM **7 – 9** καὶ – προσκυνοῦμεν] *om.* V PM **12** φοβεῖσθαι (-ει- M) $V^{O\ a.\ c.}$ PM **12 – 13** μὴ δυναμένων] *post* ἀποκτεῖναι *transpos.* $V^{E}V^{O}V^{Ph}$ **13 – 14** καὶ ψυχὴν] τὴν ψυχὴν $V^{E}V^{O}V^{Ph}$, καὶ τὴν ψυχὴν P **14** σῶμα] *praem.* τὸ $V^{E}V^{O}V^{Ph}$ P

## I 1737 / C cap. X 2, 12

Τῶν Πράξεων·

Ἀποκριθέντες Πέτρος καὶ Ἰωάννης, εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε.

## I 1738 / C cap. X 2, 13

Τῶν αὐτῶν·

Ἀποκριθεὶς δὲ Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον· Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.

## I 1739 / C cap. X 2, 14

Ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς·

Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν; Ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

---

**3 – 5 I 1737** Act. 4, 19 **8 – 9 I 1738** Act. 5, 29 **12 – 13 I 1739** Gal. 1, 10

---

**2 – 5 I 1737** C (261r[8]8–11); R cap. X 7, 8; *deest in* V $PML^b$ **7 – 9 I 1738** C (261r [11]11–13); $V^E$ cap. X 5, 8; $V^W$ cap. X 8, 8; $V^O$ cap. X 5, 8; $V^{Ph}$ cap. X 5, 8; P cap. X 8, 8; M cap. X 6, 8; R cap. X 7, 9; *deest in* $L^b$; PG 96, 432, 10–11 **11 – 13 I 1739** C (261r[13]14–15); $V^E$ cap. X 5, 9; $V^W$ cap. X 8, 9; $V^O$ cap. X 5, 9; $V^{Ph}$ cap. X 5, 9; P cap. X 8, 9; M cap. X 6, 9; R cap. X 7, 11; *deest in* $L^b$; PG 96, 432, 12–14

---

**I 1737** Τῶν] *om.* R **I 1738** (a) C (b) Πράξεων V PM (c) *s. d.* R **I 1739** (a) C R Ἐκ τῆς] *om.* R (b) Τοῦ Ἀποστόλου M (c) *s. a.* V P

---

**4** τοῦ θεοῦ$^2$] ἀνθρώπου R **8** δὲ] *om.* V PM οἱ ἀπόστολοι] ἰωάννης R **9** ἀνθρώπους $V^W$ **12** γὰρ] *om.* C R **13** Εἰ – ἤρεσκον] *om.* $R^{a.c.}$ ἔτι] ἐστιν $V^O$ Χριστοῦ] θεοῦ R ἤμην] *add.* τελος τοῦ X M

## I 1740 / C cap. X 2, 15

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου, ἐκ τοῦ περὶ ἱερωσύνης β′ λόγου·

Οὐδὲ λόγον ποιεῖσθαι δεῖ τῆς εἰς ἀνθρώπους ὕβρεως, ὅταν διὰ τῆς ἐκείνων τιμῆς ἀναγκαζώμεθα προσκρούειν θεῷ.

## I 1741 / C cap. X 2, 16

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου, ἐκ τοῦ α′ εἰρηνικοῦ·

Οὐδὲν οὕτως τῶν πάντων φοβητέον, ὡς ἄλλό τι πρὸ θεοῦ φοβηθῆναι.

## I 1742 / C cap. X 2, 17

Τοῦ αὐτοῦ·

Ἓν φοβηθῶμεν μόνον, τὸ φοβηθῆναι θεοῦ τί πλέον.

---

**12** exstat etiam ap. Ps.-Max. Conf., *Loci communes*, 24.8./9. (ed. Ihm, p. 549)

---

**4 – 5 I 1740** Iohannes Chrysostomus, *De sacerdotio*, II, 7, 9–11 (ed. Malingrey, p. 130) **8 – 9 I 1741** Gregorius Nazianzenus, *De pace I ob monachorum reconciliationem (Orat. 6)*, 20, 12–13 (ed. Calvet-Sebasti, p. 172) **12 I 1742** Gregorius Nazianzenus, *Ad Gregorium Nyssenum (Orat. 11)*, 5, 9–10 (ed. Calvet-Sebasti, p. 338)

---

**2 – 5 I 1740** C (261r[16–17]17–19); R cap. X 7, 10; *deest in* V PML$^{b}$ **7 – 9 I 1741** C (261r[20–21]21–22); R cap. X 7, 12; *deest in* V PML$^{b}$ **11 – 12 I 1742** C (261r[22]23–24); R cap. X 7, 13; *deest in* V PML$^{b}$

---

**I 1740** ἐκ – λόγου] *om.* R **I 1741** Τοῦ – Γρηγορίου] *om.* R α′] δ′ R **I 1742** (a) C (b) *s. d.* R

---

**4** ὅταν] ὅτι R **5** ἀναγκαζώμεθα] *correximus (ed.)*, ἀναγκαζόμεθα C R **8** πάντων] ἄλλων R φοβητέον] εὐλαβητεον R *(ed., sed cf. app. crit.)* πρὸ] πρὸς R **12** φοβηθῆναι] *praem.* μὴ R

**Τίτλος γ′ Περὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν προφητεῖαι.**

## I 1743 / C cap. X 3, 1

Γενέσεως·

Εἶπεν ὁ θεὸς πρὸς Ἀβραάμ· Ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

## I 1744 / C cap. X 3, 2

Τῆς αὐτῆς·

Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα
καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ,
ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται,
καὶ αὐτὸς προσδοκία ἐθνῶν.
Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ
καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ·
πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ
καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ·
χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου,
καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

## I 1745 / C cap. X 3, 3

Τῶν Ἀριθμῶν·

Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ,
καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ,

---

**4 I 1743** Εἶπεν – Ἀβραάμ] cf. Gen. 26, 2 (cf. etiam ibid. 22, 15) **4 – 5** Ἐν – γῆς] Ibid. 26, 4 (cf. etiam ibid. 22, 18) **8 – 17 I 1744** Gen. 49, $10^{1}$–$12^{2}$ **20 – 1035, 2 I 1745** Num. 24, $17^{3-6}$

---

**1 Titlos** C (261r24–25) **3 – 5 I 1743** C (261r[25]26–27) **7 – 17 I 1744** C (261r[28]28–261v5) **19 – 1035, 2 I 1745** C (261v[5]6–8)

καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ,
καὶ προνομεύσει πάντας τοὺς υἱοὺς Σήθ.

## I 1746 / C cap. X 3, 4

Τοῦ Δευτερονομίου·

Εἶπεν κύριος πρός με· Ὀρθῶς πάντα, ὅσα ἐλάλησαν· προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σέ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν ἐντελοῦμαι αὐτῷ· καὶ ὁ ἄνθρωπος ἐκεῖνος, ὃς ἐὰν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.

## I 1747 / C cap. X 3, 5

Τοῦ αὐτοῦ·

Ἔσται ἡ ζωή σου κρεμαμένη σοι ἀπέναντι, καὶ φοβηθήσῃ νυκτὸς καὶ ἡμέρας, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου.

## I 1748 / C cap. X 3, 6

Δαυῒδ ἐν ψαλμῷ β′·

Κύριος εἶπεν πρός με· Υἱός μου εἶ σύ,
ἐγὼ σήμερον γεγέννηκά σε·
αἴτησαι παρ’ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου
καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

---

**5 – 10 I 1746** Deut. 18, 17–19 (deest apud Wahl, *Deuteronomium-Text*) **13 – 14 I 1747** Deut. 28, 66 (deest apud Wahl, *Deuteronomium-Text*) **17 – 20 I 1748** Ps. 2, $7^2$–$8^2$

---

**4 – 10 I 1746** C (261v[9]9–16) **12 – 14 I 1747** C (261v[16]16–18) **16 – 20 I 1748** C (261v[18]19–22)

---

**2** υἱοὺς] *scripsimus (LXX)*, ὑοὺς $C^{mg.}$, ἄρχοντας $C^{txt}$ σῆθ $C^{a.\ c.\ man.\ rec.}$ **8** ἐντείλωμαι *LXX* **13** *post* ἀπέναντι *hab.* τῶν ὀφθαλμῶν σου *LXX (sed cf. app. crit.)*

## I 1749 / C cap. X 3, 7

Ἐν ψαλμῷ ιζ′·

Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη,
καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.
Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη,
ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων,
καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.

## I 1750 / C cap. X 3, 8

Ἐν ψαλμῷ κα′·

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με,
ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.
Ἤλπισεν ἐπὶ κύριον· ῥυσάσθω αὐτόν,
σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.

## I 1751 / C cap. X 3, 9

Ἐκ τοῦ αὐτοῦ·

Περιεκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με,
ὤρυξαν χεῖράς μου καὶ πόδας μου.
Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου,
αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς,
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

---

**3 – 7 I 1749** Ps. 17, $10^1$–$12^1$ **10 – 13 I 1750** Ps. 21, $8^1$–$9^2$ **16 – 22 I 1751** Ps. 21, $17^1$–$19^2$

---

**2 – 7 I 1749** C (261v[22]22–25) **9 – 13 I 1750** C (261v[26]26–29) **15 – 22 I 1751** C (261v[29]29–262r4)

---

**16** κύνες] *scripsimus*, κῦνες C

## I 1752 / C cap. X 3, 10

Ἐν ψαλμῷ κγ′·

Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,
καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
Κύριος κραταιὸς καὶ δυνατός,
κύριος δυνατὸς ἐν πολέμῳ.
Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,
καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

## I 1753 / C cap. X 3, 11

Ἐν ψαλμῷ λδ′·

Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με·
ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν,
καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

## I 1754 / C cap. X 3, 12

Ἐν ψαλμῷ λζ′·

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξεναντίας μου ἤγγισαν καὶ [ἔστησαν,
καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·
καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου,

---

**3 – 13 I 1752** Ps. 23, 7¹–10² **16 – 18 I 1753** Ps. 34, 11–12² **21 – 1038, 6 I 1754** Ps. 37, 12¹–15²

---

**2 – 13 I 1752** C (262r[4]5–12) **15 – 18 I 1753** C (262r[13]13–16) **20 – 1038, 6 I 1754** C (262r[16]16–24)

---

**8** πολέμῳ] *hic perperam caesura in* C

καὶ οἱ ζητοῦντες τὰ κακά μοι, ἐλάλησαν ματαιότητας,
καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον,
καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ,
καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων
καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

## I 1755 / C cap. X 3, 13

Ἐν ψαλμῷ λθʹ·

Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας,
σῶμα δὲ κατηρτίσω μοι·
ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας.
Τότε εἶπον· Ἰδού, ἥκω·
ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ·
τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ θεός μου, ἠβουλήθην,
καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.
Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ.

## I 1756 / C cap. X 3, 14

Ἐν ψαλμῷ μʹ·

Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπιτοαυτό·
κατʼ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου,
κατʼ ἐμοῦ ἐλογίζοντο κακά μοι,
λόγον παράνομον κατέθεντο κατʼ ἐμοῦ.

## I 1757 / C cap. X 3, 15

Τοῦ αὐτοῦ·

Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπʼ ἐμὲ πτερνισμόν.

---

**9 – 16 I 1755** Ps. 39, $7^1$–$10^1$ **19 – 22 I 1756** Ps. 40, $7^3$–$9^1$ **25 I 1757** Ps. 40, $10^2$

---

**8 – 16 I 1755** C (262r[24]24–30+mg) **18 – 22 I 1756** C (262v[1]1–4) **24 – 25 I 1757** C (262v[4]4–5)

## I 1758 / C cap. X 3, 16

Ἐν ψαλμῷ μζʹ·

Ὄρη Σιών, τὰ πλευρὰ τοῦ βορρᾶ,
ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου,
ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,
ὅταν ἀντιλαμβάνηται αὐτῆς.

## I 1759 / C cap. X 3, 17

Ἐν ψαλμῷ ξζʹ·

Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν,
ἔλαβες δόματα ἐν ἀνθρώποις.

## I 1760 / C cap. X 3, 18

Ἐν ψαλμῷ ξηʹ·

Ἔδωκαν εἰς τὸ βρῶμα μου χολήν,
καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

## I 1761 / C cap. X 3, 19

Ἐν ψαλμῷ οαʹ·

Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δός,
καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως,
κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ
καὶ τοὺς πτωχούς σου ἐν κρίσει.
Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ

---

**3 – 6 I 1758** Ps. 47, $3^2$–$4^2$ **9 – 10 I 1759** Ps. 67, $19^{1-2}$ **13 – 14 I 1760** Ps. 68, $22^{1-2}$ **17 – 1040, 10 I 1761** Ps. 71, $1^2$–$7^2$

---

**2 – 6 I 1758** C (262v[5]6–8) **8 – 10 I 1759** C (262v[9]9–10) **12 – 14 I 1760** C (262v[11]11–12) **16 – 1040, 10 I 1761** C (262v[12–13]13–23)

---

**17** κρῖμα $C^{a.\,c.}$

καὶ οἱ βουνοὶ δικαιοσύνην.
Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ,
καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων,
καὶ ταπεινώσει συκοφάντην,
καὶ συμπαραμενεῖ τῷ ἡλίῳ
καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν.
Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον,
καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.
Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη
καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

## I 1762 / C cap. X 3, 20

Ἐν ψαλμῷ πδ′·

Ἔλεος καὶ ἀλήθεια συνήντησαν,
δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν·
ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν,
καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.
Καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα,
καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς·
δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται
καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

## I 1763 / C cap. X 3, 21

Ἐν ψαλμῷ πς′·

Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος,
καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ,
καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.
Κύριος διηγήσεται ἐν γραφῇ λαῶν.

---

**13–20 I 1762** Ps. 84, $11^1$–$14^2$ **23–26 I 1763** Ps. 86, $5^1$–$6^1$

---

**12–20 I 1762** C (262v[24]24–29) **22–26 I 1763** C (262v[30]30–263r2)

---

**24** ἐγενήθη *LXX*

## I 1764 / C cap. X 3, 22

Ἐν ψαλμῷ πη′·

Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ,
θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου.
Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν,
ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.
Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου,
καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ·
καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ
καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

## I 1765 / C cap. X 3, 23

Ἐκ τοῦ αὐτοῦ·

Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου εἰ τῷ Δαυῒδ ψεύσομαι·
τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ,
καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου,
καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα·
καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.

## I 1766 / C cap. X 3, 24

Ἐν ψαλμῷ ϙζ′·

Ἐγνώρισεν κύριος τὸ σωτήριον αὐτοῦ,
ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.
Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ,
καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ·
εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν.

---

**3 – 10 I 1764** Ps. 88, 27$^{1}$–30$^{2}$ **13 – 17 I 1765** Ps. 88, 36–38$^{2}$ **20 – 24 I 1766** Ps. 97, 2$^{1}$–3$^{3}$

---

**2 – 10 I 1764** C (263r[3]3–9) **12 – 17 I 1765** C (263r[10]10–14) **19 – 24 I 1766** C (263r[14]14–19)

---

**14** μενεῖ] *correximus (LXX)*, μένει C

## I 1767 / C cap. X 3, 25

Ἐν ψαλμῷ ρς′·

Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
ὅτι συνέτριψεν πύλας χαλκᾶς
καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.
Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν,
διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν·
πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν,
καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου·
καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς·
ἀπέστειλεν τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς,
καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

## I 1768 / C cap. X 3, 26

Ἐν ψαλμῷ ρθ′·

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου,
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·
ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών,
καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου
ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου·
ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.
Ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται·
σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

---

**3 – 14 I 1767** Ps. 106, $15^1$–$20^2$ **17 – 25 I 1768** Ps. 109, $1^2$–$4^2$

---

**2 – 14 I 1767** C (263r[19]20–30) **16 – 25 I 1768** C ([263r30]263v1–9)

## I 1769 / C cap. X 3, 27

Ἐν ψαλμῷ ριζʹ·

Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·
παρὰ κυρίου ἐγένετο αὕτη,
καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

## I 1770 / C cap. X 3, 28

Τῶν Ἀσμάτων·

Ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ,
νάρδος ἔδωκεν ὀσμήν.

## I 1771 / C cap. X 3, 29

Ὠσηὲ προφήτου·

Δεῦτε καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἔπαισεν καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει ἡμᾶς. Ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ, καὶ γνωσόμεθα καὶ διώξομεν τοῦ γνῶναι τὸν κύριον.

## I 1772 / C cap. X 3, 30

Τοῦ αὐτοῦ·

Διότι καὶ οὐαὶ αὐτοῖς, σάρξ μου ἐξ αὐτῶν.

---

**3 – 6 I 1769** Ps. 117, $22^{1}$–$23^{2}$ **9 – 10 I 1770** Cant. 1, $12^{1-2}$ **13 – 16 I 1771** Os. 6, 1–3 (Wahl, *Prophetenzitate*, p. 158–160) **19 I 1772** Os. 9, 12 (Wahl, *Prophetenzitate*, p. 167)

---

**2 – 6 I 1769** C (263v[9]9–12) **8 – 10 I 1770** C (263v[12]13–14) **12 – 16 I 1771** C (263v[14]14–19) **18 – 19 I 1772** C (263v[19]19–20)

---

**9** ἀνακλίσει] *correximus (LXX)*, ἀνακλήσει C

## I 1773 / C cap. X 3, 31

Ἀμὼς προφήτου·

Ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος παντοκράτωρ, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς.

## I 1774 / C cap. X 3, 32

Τοῦ αὐτοῦ·

Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν κύριόν σου, Ἰσραήλ, διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὁμίχλην καὶ ἐπιβαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς· κύριος ὁ θεὸς παντοκράτωρ ὄνομα αὐτῷ.

## I 1775 / C cap. X 3, 33

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυῒδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων καὶ πάντα τὰ ἔθνη, ἐφ᾽ οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτούς, λέγει κύριος, ὁ ποιῶν ταῦτα.

---

**3 – 4 I 1773** Am. 8, 9 (Wahl, *Prophetenzitate*, p. 194) **7 – 11 I 1774** Am. 4, 12–13 (Wahl, *Prophetenzitate*, p. 184–185) **14 – 19 I 1775** Am. 9, 11–12 (Wahl, *Prophetenzitate*, p. 196)

---

**2 – 4 I 1773** C (263v[20]20–23) **6 – 11 I 1774** C (263v[23]23–28) **13 – 19 I 1775** C (263v[28]28–264r5)

## I 1776 / C cap. X 3, 34

Μιχαίου προφήτου·

Ὁ λαός μου εἰς ἔχθραν ἀντέστη· κατέναντι τῆς εἰρήνης αὐτοῦ τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα.

## I 1777 / C cap. X 3, 35

Τοῦ αὐτοῦ·

Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον λαῶν πολλῶν, καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς γῆν μακράν.

## I 1778 / C cap. X 3, 36

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἐξωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην· καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος ἰσχυρόν, καὶ βασιλεύσει κύριος ἐπ᾽ αὐτοὺς ἐν Σιὼν ἀπὸ τοῦ νῦν καὶ ἕως εἰς τὸν αἰῶνα. Καὶ σύ, πύργος ποιμνίου αὐχμώδης, θύγατερ Σιών, ἐπὶ σὲ ἥξει καὶ ἐλεύσεται ἡ ἀρχὴ ἡ πρώτη βασιλεία τῇ θυγατρὶ Ἱερουσαλήμ.

---

**3 – 4 I 1776** Mich. 2, 8 (Wahl, *Prophetenzitate*, p. 196–197) **7 – 9 I 1777** Mich. 4, 2–3 (Wahl, *Prophetenzitate*, p. 202) **12 – 18 I 1778** Mich. 4, 6–8 (Wahl, *Prophetenzitate*, p. 202–203)

---

**2 – 4 I 1776** C (264r[5]5–8) **6 – 9 I 1777** C (264r[8]8–10) **11 – 18 I 1778** C (264r[11]11–18)

---

**13** καὶ θήσομαι] και καθησομαι C$^{mg.}$

## I 1779 / C cap. X 3, 37

Τοῦ αὐτοῦ·

Πατάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ.

## I 1780 / C cap. X 3, 38

Ἀκύλας·

Πλήξουσιν ἐπὶ σιαγόνα τὸν κριτὴν Ἰσραήλ.

## I 1781 / C cap. X 3, 39

Σύμμαχος·

Τύψουσιν κατὰ σιαγόνος τὸν κριτὴν Ἰσραήλ.

## I 1782 / C cap. X 3, 40

Θεοδοτίων·

Πατάξει ἐπὶ σιαγόνα τὸν κριτὴν Ἰσραήλ.

## I 1783 / C cap. X 3, 41

Τοῦ αὐτοῦ·

Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χι-

---

**3 I 1779** Mich. 5, 1 (Wahl, *Prophetenzitate*, p. 204) **6 I 1780** Mich. 5, 1 α′ (Wahl, *Prophetenzitate*, p. 204) **9 I 1781** Mich. 5, 1 σ′ (Wahl, *Prophetenzitate*, p. 204) **12 I 1782** Mich. 5, 1 θ′ (Wahl, *Prophetenzitate*, p. 204) **15 – 1047, 7 I 1783** Mich. 5, 2–4 (Wahl, *Prophetenzitate*, p. 204–205)

---

**2 – 3 I 1779** C (264r[18]19) **5 – 6 I 1780** C (264r[19]20) **8 – 9 I 1781** C (264r[20]21) **11 – 12 I 1782** C (264r[21]22) **14 – 1047, 7 I 1783** C (264r[22]23–264v1)

---

**12** πάταξον C$^{mg.}$ **15** ἐφραθά C$^{p. c.}$

λιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Διατοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. Καὶ στήσεται καὶ ποιμανεῖ ἐν ἰσχύϊ κύριος, καὶ ἐν τῇ δόξῃ ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑπάρξουσιν, διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς.

## I 1784 / C cap. X 3, 42

Ναοὺμ προφήτου·

Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου, πονηρὰ βουλευόμενος ἐναντία.

## I 1785 / C cap. X 3, 43

Τοῦ αὐτοῦ·

Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ θεῷ τὰς εὐχάς σου· οὐκέτι οὐ μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν· συντετέλεσται, ἐξῆρ[τη]ται. Ἀνέβη γὰρ ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, ἐξαιρούμενος ἀπὸ θλίψεως.

---

**10 – 11 I 1784** Nah. 1, 11 (Wahl, *Prophetenzitate*, p. 229) **14 – 17 I 1785** Nah. 1, 15 – 2, 2 (Wahl, *Prophetenzitate*, p. 230–231)

---

**9 – 11 I 1784** C (264v[2]2–3) **13 – 17 I 1785** C (264v[4]4–8)

---

**16 Marginalia** ὁ ἐμφυσῶν] ἐμφυσήσαντος τούτου τοὺς ἀποστόλους C

---

**16** ἐξῆρται] *correximus (LXX)*, ἐξήρτηται C

## I 1786 / C cap. X 3, 44

Ἀμβακοὺμ προφήτου·

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου,
τοῦ σῶσαι τοὺς χριστούς σου.

## I 1787 / C cap. X 3, 45

Σοφονίου προφήτου·

Ἐπιφανήσεται κύριος ἐπ᾽ αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.

## I 1788 / C cap. X 3, 46

Τοῦ αὐτοῦ·

Τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῶν, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα.

## I 1789 / C cap. X 3, 47

Τοῦ αὐτοῦ·

Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ Ἱερουσαλήμ· Θάρσει, Σιών, μὴ παρείσθωσαν αἱ χεῖρες σου. Κύριος ὁ θεός σου ἐν σοὶ δυνατὸς

**3 – 4 I 1786** Hab. 3, 13$^{1-2}$ (Wahl, *Prophetenzitate*, p. 238) **7 – 9 I 1787** Soph. 2, 11 (Wahl, *Prophetenzitate*, p. 243–244) **12 – 14 I 1788** Soph. 3, 9 (Wahl, *Prophetenzitate*, p. 246) **17 – 1049, 2 I 1789** Soph. 3, 16–17 (Wahl, *Prophetenzitate*, p. 248)

**2 – 4 I 1786** C (264v[9]9–10) **6 – 9 I 1787** C (264v[10]11–14) **11 – 14 I 1788** C (264v[14]15–17) **16 – 1049, 2 I 1789** C (264v[17]18–22)

σῶσαί σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

## I 1790 / C cap. X 3, 48

Ζαχαρίου προφήτου·

Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέστειλέν με πρὸς σέ. Καὶ κατακληρονομήσει κύριος τὸν Ἰούδαν τὴν μερίδα αὐτοῦ. Εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφῶν ἁγίων αὐτοῦ.

## I 1791 / C cap. X 3, 49

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ ἀνατέλλει, καὶ οἰκοδομήσει τὸν οἶκον κυρίου· καὶ αὐτὸς λήψεται ἀρετὴν καὶ καθιεῖται, καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων.

## I 1792 / C cap. X 3, 50

Τοῦ αὐτοῦ·

Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ.

---

**5 – 12 I 1790** Zach. 2, 10–13 (Wahl, *Prophetenzitate*, p. 252–253) **15 – 18 I 1791** Zach. 6, 12–13 (Wahl, *Prophetenzitate*, p. 257) **21 – 1050, 6 I 1792** Zach. 9, 9–11 (Wahl, *Prophetenzitate*, p. 264)

---

**4 – 12 I 1790** C (264v[23]23–265r2) **14 – 18 I 1791** C (265r[2]2–7) **20 – 1050, 6 I 1792** C (265r[7]7–16)

---

**1** σῶσαί σε] σωσει σε $\mathrm{C}^{\mathrm{mg.}}$ *(LXX, sed cf. app. crit.)*

Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραὶμ καὶ ἵππον ἐξ Ἱερουσαλήμ· καὶ πλῆθος καὶ εἰρήνη[ν] ἐξ ἐθνῶν· καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς. Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας τοὺς δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ.

## I 1793 / C cap. X 3, 51

Τοῦ αὐτοῦ·

Γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος κυρίου ἐστίν. Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρους. Καὶ εἶπεν κύριος πρός με· Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργύρους, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον.

## I 1794 / C cap. X 3, 52

Τοῦ αὐτοῦ·

Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὑπερασπιεῖ κύριος ὑπὲρ τῶν κατοικούντων Ἱερουσαλήμ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαυΐδ, ὁ δὲ οἶκος Δαυῒδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος κυρίου ἐνώπιον αὐτῶν. Καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυῒδ καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ.

---

**9 – 15 I 1793** Zach. 11, 11–13 (Wahl, *Prophetenzitate*, p. 266–267) **18 – 21 I 1794** Καὶ – αὐτῶν] Zach. 12, 8 (Wahl, *Prophetenzitate*, p. 268–269) **21 – 22** Καὶ – οἰκτιρμοῦ] Ibid. 12, 10 (Wahl, p. 269)

---

**8 – 15 I 1793** C (265r[16]17–25) **17 – 22 I 1794** C (265r[25]25–265v1)

---

**1** σώζων· αὐτὸς] *sic interpunx.* C πραος C$^{mg.}$ **3 – 4** εἰρήνη] *correximus (LXX)*, εἰρήνην C *(cf. LXX app. crit.)* **5** διεβολῶν C$^{a. c. s. l.}$ **12** ἀργύρους] *sic acc.* C **14** τριάκοντα] *scripsimus*, λʹ C ἀργύρους] *sic acc.* C

## I 1795 / C cap. X 3, 53–54

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ Δαυῒδ καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εἰς τὴν μετακίνησιν καὶ εἰς τὸν ῥαντισμόν. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος σαβαώθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία· καὶ τοὺς ψευδοπροφήτας καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς, καὶ ἐρῶ πρὸς αὐτούς· Τί αἱ πληγαὶ αὗται ἀναμέσον τῶν χειρῶν σου; Καὶ ἐρεῖ· Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου. Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου καὶ ἐπ᾽ ἄνδρα πολίτην αὐτοῦ, λέγει κύριος παντοκράτωρ· Πάταξον τὸν ποιμένα καὶ διασκορπισθήτωσαν τὰ πρόβατα.

## I 1796 / C cap. X 3, 55

Τοῦ αὐτοῦ·

Ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, ἀλλὰ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ᾽ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην· ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως.

---

**3–8 I 1795** Ἐν – γῆς] Zach. 13, 1–2 (cum app. crit.; Wahl, *Prophetenzitate*, p. 269–270) **8–12** καὶ – πρόβατα] Ibid. 13, 6–7 (Wahl, p. 270) **15–20 I 1796** Zach. 14, 6–8 (Wahl, *Prophetenzitate*, p. 270–271)

---

**2–12 I 1795** C (265v[1]2–8; [mg]8–14) **14–20 I 1796** C (265v[14]14–21)

---

**I 1795** Τοῦ αὐτοῦ / Τοῦ αὐτοῦ C *(cf. infra, app. crit. txt.)* Τοῦ αὐτοῦ[2]] *in mg. et characteribus ligatis*

---

**8** γῆς] *hic caesura in* C πρὸς αὐτούς] προς αυτον C[mg.] **15** ψύχος] *sic acc.* C

## I 1797 / C cap. X 3, 56

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον, ἀπὸ Γαβεὲ ἕως Ῥεμμῶν, κατὰ νότον Ἱερουσαλήμ.

## I 1798 / C cap. X 3, 57

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ κυρίῳ παντοκράτορι.

## I 1799 / C cap. X 3, 58

Μαλαχίου προφήτου·

Νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, [ἰδοὺ ἐξαποστέλω] καὶ ἀδικία οὐχ' εὑρέθη ἐν χείλεσιν αὐτοῦ.

## I 1800 / C cap. X 3, 59

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε.

---

**3 – 5 I 1797** Zach. 14, 9–10 (Wahl, *Prophetenzitate*, p. 271) **8 – 9 I 1798** Zach. 14, 20 (Wahl, *Prophetenzitate*, p. 271–272) **12 – 13 I 1799** Mal. 2, 6 (Wahl, *Prophetenzitate*, p. 274) **16 – 18 I 1800** Mal. 3, 1 (Wahl, *Prophetenzitate*, p. 277)

---

**2 – 5 I 1797** C (265v[21]21–24) **7 – 9 I 1798** C (265v[24]24–26) **11 – 13 I 1799** C (265v[26]26–28) **15 – 18 I 1800** C (265v[28]29–266r2)

---

**4** Γαβεὲ] γαβλὰ C$^{p. c. man. rec.}$ **5** νότον] *scripsimus (LXX)*, νῶτον C **12** ἰδοὺ ἐξαποστέλω] *seclusimus (forsan ex initio loci sequentis)*, *sic* C

## I 1801 / C cap. X 3, 60

Τοῦ αὐτοῦ·

Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.

## I 1802 / C cap. X 3, 61

Ἡσαΐου προφήτου·

Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν· καὶ συγκόψουσιν τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ᾽ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.

## I 1803 / C cap. X 3, 62

Τοῦ αὐτοῦ·

Νῦν κατασταθήσεται εἰς κρίσιν κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων.

## I 1804 / C cap. X 3, 63

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ, καὶ ἔ-

**3 – 4 I 1801** Mal. 4, 2 (Wahl, *Prophetenzitate*, p. 280) **7 – 11 I 1802** Is. 2, 3–4 (Wahl, *Prophetenzitate*, p. 290–291) **14 – 16 I 1803** Is. 3, 13–14 (Wahl, *Prophetenzitate*, p. 295–296) **19 – 1054, 2 I 1804** Is. 4, 2–3 (Wahl, *Prophetenzitate*, p. 301)

**2 – 4 I 1801** C (266r[2]2–4) **6 – 11 I 1802** C (266r[4]5–10) **13 – 16 I 1803** C (266r[10]10–13) **18 – 1054, 2 I 1804** C (266r[13]13–17)

σται τὸ ὑπολειφθὲν ἐν Σιὼν καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες ἐν Ἱερουσαλήμ.

## I 1805 / C cap. X 3, 64

Τοῦ αὐτοῦ·

Προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω οὐδ᾽ οὐ μὴ πειράσω κύριον. Καὶ εἶπεν Ἡσαΐας· Ἀκούσατε δή, οἶκος Δαυΐδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; Διατοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται· πρινὴ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν, διότι πρινὴ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν.

## I 1806 / C cap. X 3, 65

Τοῦ αὐτοῦ·

Καὶ εἶπεν κύριος πρός με· Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου Τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστιν γάρ. Καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν τὸν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν υἱόν. Καὶ εἶπεν κύριος πρός με· Κάλεσον τὸ ὄνομα αὐτοῦ Ταχέως σκύλευσον, ὀξέως προνόμευσον, διότι πρινὴ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων.

---

**5 – 14 I 1805** Is. 7, 10–16 (Wahl, *Prophetenzitate*, p. 311–313) **17 – 25 I 1806** Is. 8, 1–4 (Wahl, *Prophetenzitate*, p. 313–314)

---

**4 – 14 I 1805** C (266r[18]18–29) **16 – 25 I 1806** C (266r[29]30–266v10)

---

**2** *post* γραφέντες *hab.* εἰς ζωὴν *LXX*

## I 1807 / C cap. X 3, 66

Τοῦ αὐτοῦ·

Χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει εἶδεν φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἔλαμψεν ἐφ' ὑμᾶς. Τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.

## I 1808 / C cap. X 3, 67

Τοῦ αὐτοῦ·

…καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος· ἄξει γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαυῒδ καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα.

## I 1809 / C cap. X 3, 68

Τοῦ αὐτοῦ·

Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀ-

---

**3 – 8 I 1807** Is. 9, 1–3 (Wahl, *Prophetenzitate*, p. 317–318) **11 – 20 I 1808** Is. 9, 5–7 (Wahl, *Prophetenzitate*, p. 318–319) **23 – 1056, 9 I 1809** Is. 11, 1–5 (Wahl, *Prophetenzitate*, p. 325–326)

---

**2 – 8 I 1807** C (266v[11]11–18) **10 – 20 I 1808** C (266v[18]18–30) **22 – 1056, 9 I 1809** C ([266v30]267r1–12)

---

**5** εἶδεν] *scripsimus (LXX app. crit.)*, ἴδεν C, ἴδετε *LXX* **8** ἀμητῷ] *sic acc.* C **15** ἄξει γὰρ] *sic* C, ἐγὼ γὰρ ἄξω *LXX* **16** ὑγίαν C[a. c. ut videtur]

ναβήσεται. Καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα θεοῦ, πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· πνεῦμα φόβου θεοῦ ἐμπλήσει αὐτόν. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ἐν δικαιοσύνῃ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει ἐν εὐθύτητι τοὺς ἐνδόξους τῆς γῆς· καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ τῷ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ· καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ.

## I 1810 / C cap. X 3, 69

Τοῦ αὐτοῦ·

Ἐνεπλήσθη ἡ γῆ τοῦ γνῶναι τὸν κύριον ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.

## I 1811 / C cap. X 3, 70

Τοῦ αὐτοῦ·

Ἀντλήσατε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τὸν κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

---

**12 – 15 I 1810** Is. 11, 9–10 (Wahl, *Prophetenzitate*, p. 327) **18 – 24 I 1811** Is. 12, 3–6 (Wahl, *Prophetenzitate*, p. 328–329)

---

**11 – 15 I 1810** C (267r[12]13–17) **17 – 24 I 1811** C (267r[17]17–25)

## I 1812 / C cap. X 3, 71

Τοῦ αὐτοῦ·

Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.

## I 1813 / C cap. X 3, 72

Τοῦ αὐτοῦ·

Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, καὶ τὸ ὄνειδος τοῦ λαοῦ αὐτοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς· τὸ γὰρ στόμα κυρίου ἐλάλησεν ταῦτα. Καὶ ἐροῦσιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ἰδοὺ ὁ θεὸς ἡμῶν, ἐφ᾽ ᾧ ἠλπίζομεν καὶ σώζει ἡμᾶς· οὗτος κύριος· ὑπεμείναμεν αὐτόν, καὶ ἀγαλλιασόμεθα καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. Ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο.

## I 1814 / C cap. X 3, 73

Τοῦ αὐτοῦ·

Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν. Διατοῦτο οὐ μὴ οἰκτειρήσει ὁ ποιήσας αὐτούς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσει.

---

**3 – 5 I 1812** Is. 19, 1 (Wahl, *Prophetenzitate*, p. 337) **8 – 14 I 1813** Is. 25, 8–10 (cum app. crit.; Wahl, *Prophetenzitate*, p. 346–347) **17 – 19 I 1814** Is. 27, 11 (Wahl, *Prophetenzitate*, p. 351)

---

**2 – 5 I 1812** C (267r[26]26–29) **7 – 14 I 1813** C (267r[29]30–267v8) **16 – 19 I 1814** C (267v[8]8–11)

---

**12** ἡμᾶς· οὗτος] *sic interpunx.* C κύριος· ὑπεμείναμεν] *nulla interpunctio in* C
**18** οἰκτειρήσει] *sic* C

## I 1815 / C cap. X 3, 74

Τοῦ αὐτοῦ·

Προσδέχου προσδέχου ἐλπίδα ἐπ᾽ ἐλπίδι, ἔτι μικρὸν ἔτι μικρόν, διὰ φαυλισμοῦ χειλέων, διὰ γλώσσης ἑτέρας, ὅτι λαλήσουσιν τῷ λαῷ τούτῳ, λέγοντες αὐτοῖς· Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν.

## I 1816 / C cap. X 3, 75

Τοῦ αὐτοῦ·

Καὶ ἔσται αὐτοῖς τὸ λόγιον κυρίου θλίψις ἐπὶ θλίψιν· προσδέχου προσδέχου ἐλπίδα ἐπ᾽ ἐλπίδι, ἔτι μικρόν, ἔτι μικρόν, ἵνα πορευθῶσιν καὶ πέσωσιν εἰς τὰ ὀπίσω καὶ συντριβῶσιν καὶ κινδυνεύσωσιν καὶ ἁλώσωνται.

## I 1817 / C cap. X 3, 76

Τοῦ αὐτοῦ·

Διατοῦτο οὕτως λέγει κύριος· Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογωνιαῖον ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων ἐπ᾽ αὐτὸν οὐ μὴ καταισχυνθῇ.

---

**3 – 6 I 1815** Is. 28, 10–12 (Wahl, *Prophetenzitate*, p. 352–353) **9 – 12 I 1816** Is. 28, 13 (Wahl, *Prophetenzitate*, p. 353) **15 – 17 I 1817** Is. 28, 16 (Wahl, *Prophetenzitate*, p. 354)

---

**2 – 6 I 1815** C (267v[11]12–16) **8 – 12 I 1816** C (267v[17]17–21) **14 – 17 I 1817** C (267v[21]21–25)

---

**3 – 6 Marginalia** Προσδέχου – ἀκούειν] περὶ τῆς ἐναλλαγῆς τῶν γλωσσῶν τῶν ἀποστόλων C **9 – 12 Marginalia** Καὶ – ἁλώσωνται] περὶ τῆς ἐν Γεσσιμανῇ προδοσίας, καὶ τῆς τῶν συλλαβόντων τὸν κύριον καταπτώσεως, ὡς φησὶν ὁ Ἰωάννης *(*ϊωαννης *cod.)* C

---

**9** θλίψις] *sic acc.* C θλίψιν] *sic acc.* C

## I 1818 / C cap. X 3, 77

Τοῦ αὐτοῦ·

Ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ ὁμίχλῃ ὀφθαλμοὶ τυφλῶν ὄψονται· καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ κυρίου ἐν εὐφροσύνῃ.

## I 1819 / C cap. X 3, 78

Τοῦ αὐτοῦ·

Καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων πλησθήσονται εὐφροσύνης. Διατοῦτο τάδε λέγει κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ· Οὐ νῦν αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ, ἀλλ’ ὅταν ἴδωσιν τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι’ ἐμὲ ἁγιάσωσιν τὸ ὄνομά μου, καὶ ἁγιάσουσιν τὸν ἅγιον τοῦ Ἰακώβ, καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. Καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.

## I 1820 / C cap. X 3, 79

Τοῦ αὐτοῦ·

Νῦν ἀναστήσομαι, λέγει κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι· νῦν ὄψεσθε, νῦν αἰσχυνθήσεσθε· ματαία ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ ὑμᾶς κατέδεται.

---

**3 – 5 I 1818** Is. 29, 18–19 (Wahl, *Prophetenzitate*, p. 360–361) **8 I 1819** Καὶ – εὐφροσύνης] Is. 29, 19 (Wahl, *Prophetenzitate*, p. 361) **9 – 16** Διατοῦτο – εἰρήνην] Ibid. 29, 22–24 (Wahl, p. 362–363) **19 – 21 I 1820** Is. 33, 10–11 (Wahl, *Prophetenzitate*, p. 373–374)

---

**2 – 5 I 1818** C (267v[25]25–28) **7 – 16 I 1819** C (267v[28]29–268r9) **18 – 21 I 1820** C (268r[9]9–12)

---

**5** κύριον *LXX (sed cf. app. crit.)* **10** Ἀβραάμ] *scripsimus*, ἀβραάμ C **11** ἴδωσιν] *correximus*, εἴδωσιν C **12** ἁγιάσωσιν] *sic* C, ἁγιάσουσι *LXX (sed cf. app. crit.)*

## I 1821 / C cap. X 3, 80

Τοῦ αὐτοῦ·

Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστίν· τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν φάγονται.

## I 1822 / C cap. X 3, 81

Τοῦ αὐτοῦ·

Λαός μου ὄψεται τὴν δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ ἡμῶν. Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων.

## I 1823 / C cap. X 3, 82

Τοῦ αὐτοῦ·

Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν· πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ὅτι κύριος ἐλάλησεν.

---

**3 – 5 I 1821** Is. 3, 9–10 (Wahl, *Prophetenzitate*, p. 293–294) **8 – 14 I 1822** Is. 35, 2–6 (Wahl, *Prophetenzitate*, p. 377–378) **17 – 22 I 1823** Is. 40, 3–5 (Wahl, *Prophetenzitate*, p. 381–382)

---

**2 – 5 I 1821** C (268r[13]13–16) **7 – 14 I 1822** C (268r[16]17–25) **16 – 22 I 1823** C (268r[25]25–268v1)

---

**13 – 14** μογγιλάλων] *sic* C

## I 1824 / C cap. X 3, 83

Τοῦ αὐτοῦ·

Ἔδωκα τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλ᾽ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. Ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

## I 1825 / C cap. X 3, 84

Τοῦ αὐτοῦ·

Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.

## I 1826 / C cap. X 3, 85

Τοῦ αὐτοῦ·

Προσκυνήσουσίν σοι καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστιν, καὶ οὐκ ἔστιν θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ Ἰσραὴλ σωτήρ. Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ.

---

**3 – 8 I 1824** Is. 42, 1–4 (Wahl, *Prophetenzitate*, p. 389–391) **11 – 13 I 1825** Is. 42, 6–7 (Wahl, *Prophetenzitate*, p. 391) **16 – 19 I 1826** Is. 45, 14–16 (Wahl, *Prophetenzitate*, p. 406–407)

---

**2 – 8 I 1824** C (268v[1]2–8) **10 – 13 I 1825** C (268v[9]9–12) **15 – 19 I 1826** C (268v[12]12–17)

## I 1827 / C cap. X 3, 86

Τοῦ αὐτοῦ·

Ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν καὶ κληρονομῆσαι κληρονομίας ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε.

## I 1828 / C cap. X 3, 87

Τοῦ αὐτοῦ·

Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτον μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.

## I 1829 / C cap. X 3, 88

Τοῦ αὐτοῦ·

Γνώσεται ὁ λαός μου τὸ ὄνομά μου διατοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι· αὐτὸς ὁ λαλῶν πάρειμι.

## I 1830 / C cap. X 3, 89

Τοῦ αὐτοῦ·

Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασιν, συνήσουσιν. Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; Καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς παι-

**3 – 5 I 1827** Is. 49, 8–9 (Wahl, *Prophetenzitate*, p. 420) **8 – 10 I 1828** Is. 50, 5–6 (Wahl, *Prophetenzitate*, p. 423–424) **13 – 14 I 1829** Is. 52, 6 (Wahl, *Prophetenzitate*, p. 427–428) **17 – 1063, 21 I 1830** Is. 52, 15 – 53, 10 (Wahl, *Prophetenzitate*, p. 429–432)

**2 – 5 I 1827** C (268v[17]17–20) **7 – 10 I 1828** C (268v[20]21–24) **12 – 14 I 1829** C (268v[24]25–26) **16 – 1063, 21 I 1830** C (268v[27]27–269r27)

**14** ἐγώ εἰμι· αὐτὸς] *sic interpunx.* C

δίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστρεπται τὸ πρόσωπον αὐτοῦ· ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν. Ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ, τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ, ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς αὐτοῦ.

## I 1831 / C cap. X 3, 90

Τοῦ αὐτοῦ·

Τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει.

---

**24 I 1831** Is. 53, 11 (Wahl, *Prophetenzitate*, p. 432)

---

**23 – 24 I 1831** C (269r[27]27–28)

---

**2** εἴδομεν] *correximus (LXX)*, ἴδομεν C **4** ἀπέστρεπται] *sic* C **13 – 14** κήραντος C[a. c. man. rec.], κηροντος C[mg.]

## I 1832 / C cap. X 3, 91

Τοῦ αὐτοῦ·

Ἀνθ’ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν, καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν παρεδόθη.

## I 1833 / C cap. X 3, 92

Τοῦ αὐτοῦ·

Πνεῦμα κυρίου ἐπ’ ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ θεῷ ἡμῶν.

## I 1834 / C cap. X 3, 93

Τοῦ αὐτοῦ·

Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; Οὗτος ὡραῖος ἐν στολῇ αὐτοῦ, βία μετὰ ἰσχύος. Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρους καταπεπατημένης; Ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ’ ἐμοῦ, καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα εἰς γῆν, καὶ πάντα τὰ ἐνδύματά μου ἔπλυνα. Ἡμέρα γὰρ ἀνταποδόσεως ἦλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστιν. Καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός· καὶ προσενόησα, καὶ οὐδεὶς ἀντελαμβάνετο· καὶ ἐρρύ-

---

**3 – 5 I 1832** Is. 53, 12 (Wahl, *Prophetenzitate*, p. 432) **8 – 11 I 1833** Is. 61, 1–2 (Wahl, *Prophetenzitate*, p. 460) **14 – 1065, 3 I 1834** Is. 63, 1–6 (Wahl, *Prophetenzitate*, p. 462–464)

---

**2 – 5 I 1832** C (269r[28]28–269v1) **7 – 11 I 1833** C (269v[2]2–7) **13 – 1065, 3 I 1834** C (269v[7]7–24)

---

**8** ἔχρησέν με C$^{a. c. man. rec.}$ ἀνταποσεως C$^{a. c. man. rec.}$ **21** ἔπλυνα] *sic* C *(f. l. pro* ἐμόλυνα *[cf. LXX app. crit.]?)*

σατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου αὐτοῖς ἐπέστη. Καὶ κατεπάτησα αὐτοὺς ἐν τῇ ὀργῇ μου, καὶ ἐμέθυσα αὐτοὺς ἐν τῷ θυμῷ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν.

## I 1835 / C cap. X 3, 94

Τοῦ αὐτοῦ·

Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ κύριος ἔσωσεν αὐτούς· καὶ διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν, αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

## I 1836 / C cap. X 3, 95

Τοῦ αὐτοῦ·

Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. Εἶπα· Ἰδού εἰμι, ἰδού εἰμι τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσάν μου τὸ ὄνομα. Ἐξεπέτασά μου τὰς χεῖρας ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ὁδῷ οὐ καλῇ, ἀλλ᾽ ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν.

## I 1837 / C cap. X 3, 96

Τοῦ αὐτοῦ·

Ἥξουσιν καὶ ὄψονται τὴν δόξαν μου· καὶ καταλείψω ἐπ᾽ αὐτοὺς σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη, εἰς Θαρσεῖς καὶ Φοὺδ καὶ Λοὺδ καὶ Μοσόχ, καὶ εἰς Θόβελ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόρρω, οἳ οὐκ ἤδεισάν μου τὸ ὄ-

**6 – 9 I 1835** Is. 63, 9 (Wahl, *Prophetenzitate*, p. 464) **12 – 16 I 1836** Is. 65, 1–2 (Wahl, *Prophetenzitate*, p. 468–469) **19 – 1066, 2 I 1837** Is. 66, 18–19 (Wahl, *Prophetenzitate*, p. 477–478)

**5 – 9 I 1835** C (269v[24]24–28) **11 – 16 I 1836** C (269v[28]29–270r5) **18 – 1066, 2 I 1837** C (270r[5]5–11)

νομα, οὐδὲ ἑωράκασιν τὴν δόξαν μου, καὶ ἀναγγελοῦσιν τὴν δόξαν μου τοῖς ἔθνεσιν.

## I 1838 / C cap. X 3, 97

Ἱερεμίου προφήτου·

Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ Δαυῒδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις αὐτοῦ· καὶ σωθήσεται λαός, καὶ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο ὄνομα, ὃ κληθήσεται κύριος δικαιοσύνη ἡμῶν.

## I 1839 / C cap. X 3, 98

Τοῦ αὐτοῦ·

Ἀκάνθαις τῶν ἑαυτοῦ πταισμάτων ὁ λαὸς οὗτος περιεστοίχισέν με.

## I 1840 / C cap. X 3, 99

Τοῦ αὐτοῦ·

Εἰς ἐμπαιγμὸν ἐγενόμην τῷ λαῷ τούτῳ.

---

**15** Εἰς – τούτῳ] adfertur etiam a Georg. Cedr., *Compendium,* 304.1, 83 (ed. Tartaglia, p. 488)

---

**5 – 9 I 1838** Ier. 23, 5–6 (Wahl, *Prophetenzitate*, p. 547–548) **12 I 1839** Ier., locus non repertus (Wahl, *Prophetenzitate*, p. 700) **15 I 1840** Ier., locus non repertus (Wahl, *Prophetenzitate*, p. 700)

---

**4 – 9 I 1838** C (270r[12]12–17) **11 – 12 I 1839** C (270r[18]18–19) **14 – 15 I 1840** C (270r[19]19–20)

---

**9** ἡμῶν] αὐτῶν C$^{mg.}$ **12** περιεστοίχισέν με] *correximus*, περιεστοίχησέν με C

## I 1841 / C cap. X 3, 100

Τοῦ αὐτοῦ·

Πνεῦμα πρὸ προσώπου ἡμῶν χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν.

## I 1842 / C cap. X 3, 101

Τοῦ αὐτοῦ·

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, ἀπολεῖται ἡ καρδία τοῦ βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς ἐκστήσονται, καὶ οἱ προφῆται θαυμάσονται.

## I 1843 / C cap. X 3, 102

Τοῦ αὐτοῦ·

Ἔκτισεν κύριος σωτηρίαν εἰς καταφύτευσιν καινήν, ἐν ᾗ σωτηρίᾳ περιελεύσονται ἄνθρωποι.

## I 1844 / C cap. X 3, 103

Τοῦ αὐτοῦ·

Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ δέδωκα αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέν μοι κύριος.

---

**3 – 4 I 1841** Thren. 4, 20[1] (Wahl, *Prophetenzitate*, p. 608) **7 – 9 I 1842** Ier. 4, 9 (Wahl, *Prophetenzitate*, p. 488–489) **12 – 13 I 1843** Ier. 38, 22 (Wahl, *Prophetenzitate*, p. 566) **16 – 18 I 1844** Ier., re vera Matth. 27, 9–10 (pars loci Ieremiae attribuitur in Matth. 27, 9)

---

**2 – 4 I 1841** C (270r[20]20–22) **6 – 9 I 1842** C (270r[22]22–25) **11 – 13 I 1843** C (270r[25]25–26) **15 – 18 I 1844** C (270r[27]27–30)

---

**7 – 8 Marginalia** τοῦ βασιλέως] περὶ Ἡρώδου C **12** ᾗ σωτηρίᾳ *(ut videtur)*] Ἀκύλας τῇ θηλείᾳ φησίν *(*ακυλας τη θήλεί αφησίν *cod.)* C

## I 1845 / C cap. X 3, 104

Τοῦ αὐτοῦ·

Κύριε, σώζεις ἐν καιρῷ κακῶν· ἱνατί ἐγενήθης ὡς πάροικος ἐπὶ τῆς γῆς, καὶ ὡς αὐτόχθων ἐκκλίνων εἰς κατάλυμα;

## I 1846 / C cap. X 3, 105

Τοῦ αὐτοῦ·

Ἰδοὺ ἐγὼ ἀποστελῶ ἁλιεῖς πολλούς, λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτούς.

## I 1847 / C cap. X 3, 106

Ἀπὸ τοῦ Βαρούχ·

Οὗτος ὁ θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

## I 1848 / C cap. X 3, 107

Ἰεζεκιὴλ προφήτου·

Ἀναστήσω αὐτοῖς φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι.

**3 – 4 I 1845** Ier. 14, 8 (Wahl, *Prophetenzitate*, p. 527) **7 – 8 I 1846** Ier. 16, 16 (Wahl, *Prophetenzitate*, p. 530) **11 – 14 I 1847** Bar. 3, 36–38 (Wahl, *Prophetenzitate*, p. 596) **17 – 18 I 1848** Ez. 34, 29 (Wahl, *Prophetenzitate*, p. 663)

**2 – 4 I 1845** C (270r[30]30–270v3) **6 – 8 I 1846** C (270v[3]3–4) **10 – 14 I 1847** C (270v[5]5–10) **16 – 18 I 1848** C (270v[10]11–12)

## I 1849 / C cap. X 3, 108

Τοῦ αὐτοῦ·

Καὶ εἶπεν κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ὅτι κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη, διότι ὁ ἡγούμενος αὐτὸς καθιεῖται ἐν αὐτῇ.

## I 1850 / C cap. X 3, 109

Δανιὴλ προφήτου·

Ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη. Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία.

## I 1851 / C cap. X 3, 110

Σοφίας Σολομῶντος·

Εἶπαν ἐν ἑαυτοῖς οἱ ἀσεβεῖς·
Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστίν,
καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν,
καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου,
καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν·
ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ,
καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει·
ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν·
βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος,

---

**3 – 6 I 1849** Ez. 44, 2–3 (Wahl, *Prophetenzitate*, p. 670) **9 – 12 I 1850** Dan. 7, 13–14 (Wahl, *Prophetenzitate*, p. 692) **15 I 1851** Εἶπαν – ἀσεβεῖς] cf. Sap. 2, $1^{1}$ **16 – 1070, 11** Δήσωμεν – αὐτόν] Ibid. 2, $12^{1}$–$19^{1}$

---

**2 – 6 I 1849** C (270v[12]12–17) **8 – 12 I 1850** C (270v[17]18–22) **14 – 1070, 14 I 1851** C (270v[22]23–271r12)

---

**16** Δήσωμεν] ἐνεδρεύσωμεν *LXX*

ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ,
καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ·
εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ,
καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν.
Μακαρίζει ἔσχατα δικαίων,
καὶ ἀλαζονεύεται πατέρα θεόν.
Ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς,
καὶ πειράσωμεν τὰς ἐκβάσεις αὐτοῦ·
εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ,
ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.
Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν,
καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ·
θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν·
ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.

### I 1852 / C cap. X 3, 111

Τοῦ αὐτοῦ·

Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν οἱ ἄφρονες·
ἀπετύφλωσεν γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,
καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ,
οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος.

## (Στοιχεῖον Ψ)

## (Στοιχεῖον Ω)

---

**12 – 14** καὶ – αὐτοῦ] Sap. 2, $19^3$–$20^2$ **17 – 20** **I 1852** Sap. 2, $21^1$–$22^2$

---

**16 – 20** **I 1852** C (271r[13]13–17)

---

**21** Στοιχεῖον Ψ] *deest in eis quae libri I supersunt* **22** Στοιχεῖον Ω] *deest in eis quae libri I supersunt*